John Adams Library,



IN THE CUSTODY OF THE
BOSTON PUBLIC LIBRARY.



SHELF No
Adams
134.11
v.1

John Adams 1784
Paris

Relié par Crucifix
Mtre. Relieur rue St.
Jean de Beauvais,
près l'Eglise,
A Paris.

# ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡ-
# τίου περὶ βίων, δογμάτων καὶ ἀπο-
# φθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκι-
# μησάντων, βιβλία ι.

# DIOGENIS LAERTII DE
## vitis, dogmatis & apophthegmatis eorum qui in philosophia claruerunt, libri X.

*In quibus plurimi loci integritati suæ ex multis vetustis codicibus restituuntur, & ij quibus aliqua deerant, explentur. Cum annotationibus Henr. Stephani.*

*PYTHAG. PHILOSOphorum fragmenta.*

Cum Latina interpretatione.




ANNO M. D. LXX,
Excudebat Henricus Stephanus.

Adams
134.11
v.1

# IOANNI CRATONI,
## Cæſaris conſiliario, V. CL.
### HENR. STEPH. S. D.

PHILOSOPHICAS vitas ad te mitto, vir præſtantiſſime, vel potius philoſophorum vitas. Pleræque enim (ſi verum fateri volumus) nihil minus ſunt quàm philoſophicæ, id eſt philoſophis dignæ. Niſi potius dignas quidem illis haſce vitas, ſed illos philoſophorũ nomine indignos fuiſſe dicamus. Aulicæ quidẽ certè philoſophiæ (libet enim cum aulico de rebus aulicis loqui) conuenientes quaſdã philoſophorũ vitas hîc inueniemus. vtpote ex quibus diſcemus primùm quidem τὸ ἐρυθριᾷν ἀποξύσαι τοῦ προσώπου: (quid enim magis perniciosum aulicis quàm verecundia?) deinde verò τὸ κολακευτικῶς ἔχειν, φιλοψευδῶς, φιλοχρημάτως, φιλογελοίως, φιλοσκωμμόνως, φιληδόνως. addo etiam (vt veſtratibus aulicis gratificer) φιλοπότως. Scilicet οὗτός ἐστιν ὁ ἡδὺς βίος, ὁ τριπόθητος, ὁ τρισμακάριστος. Sed quid? (dices mi Crato) me quoque in eorum aulicorum numero ponis? Nequaquam certé. neque enim quicunque eſt aulicus, id eſt, in aula viuit, is etiam vita & moribus aulicus eſſe putãdus eſt. Quum igitur illis quos dixi, vitam aliquam conuenire

existimem ex multorum philosophorum vitiis conflatam, nimirum Aristippi, (qui certè verè aulicus philosophus fuit) Diogenis, Cratetis, Epi curi: tibi contrà tuíque similibus Socraticam quadrare censeo. Sed hactenus iocatus sim. norunt enim omnes, non quæ meliores sed quæ doctiores nos reddant, ex hoc Diogenis opere petenda esse. Dixissem sapientiores: nisi sapientem cum bono copulari ab ipso quoque Horatio meminissem. veluti quũ scribit Epist. lib. 1,

*Néue putes alium sapiẽte bonóque beatum.*

Item,

*An tacitum syluas inter reptare salubres,*
*Curantẽ quicquid dignũ sapiente bonóq; est?*

Item,

*Vir bonus & sapiẽs audebit dicere, Pentheu.*

Item,

*Vir bonus & sapiẽs dignis ait esse paratum.*

Et Cicero ipse sapientes à bonis separari queritur, ídque magnam perniciem afferre dicit. Hæc est igitur illa pernicies (inquit) quòd alios bonos, alios sapientes existimant. Neque tamen quum dico ex his Diogenis libris petenda esse quæ nos doctiores nõ quæ meliores reddãt, hæc velim ita accipi quasi nulla hîc legerentur quæ quod sit boni viri officium nos docerẽt (boni viri, inquam, non ad Christianam, sed ad philosophicam exigendo normam) sed quoniã alii

ſunt aliorũ libri è quibus ea melius à nobis diſci queant. Equidẽ vel vnus Epicteti libellus(cuius vitam à Diogene noſtro prætermiſſam eſſe miror)egregi⁹ nobis huius rei doctor fuerit. Verùm vt rari ſunt aurei iſtius libelli lectores, ſic certè rari ſunt qui meliores ſe quàm doctiores eſſe malint. Doctrina autẽ quæ ex hoc Diogenis operé peti à nobis poteſt, varia eſt atque multiplex. de qua ſi dicere ſigillatim aggrediar, verear ne Cratonẽ (Crãtorẽ verè alterũ)talia docere volẽs, ſus Mineruã docere velle videar. Potius ergo de hac mea editione huius operis, déque eius interpretatione ſimul edita, meum fuerit in præſentia pauca diſſerere. Idq; eo lubẽtius faciã, quòd interim mun⁹ hoc meũ quod tibi mitto, egregiè (ſicut Terentianus ille ) verbis ornabo. Prodit igitur Diogenes Laertius à tribus Henricis (ſed ab Henrico Scrimgero præcipuè, quem honoris cauſa nomino) cum vetuſtis exẽplaribus ſumma cura diligentiáque collatus:& ex iis multorum locorum emẽdationem, multorum etiam quæ deerant verborũ, alicubi & ſententiarum integrarum acceſſionẽ cõſequutus : annotationibus quoq; vnius ex illis Henricis auctus, in quibus multæ lectiones variæ quæ in contextum receptæ non fuerant, afferũtur, quidam etiam loci ex coniectura emendantur: nonnulli in quibus reddẽdis interpres bona fide vſus non

erat,fideliter redduntur.Hæc ſunt quæ in Græca iſta Diogenis editione præſtãtur. At interpretatio Latina meæ editioni hoc præcipuè debet, quòd à multis,(non tamẽ omnibus)mẽdis,quæ ſuperiores editiones commiſerãt,vindicata fuit. Inde autem contigiſſe illa manifeſtum eſt, quòd ii qui primam editionem excuderũt,ipſóque interpretis autographo, aut certè exemplari ab eo miſſo vſi ſunt, compendiarias quaſdam notas,alicubi etiam vocabula quædã integrè & abſque cõpendio ſcripta,legere non potuerunt. (Tanti eſt exemplaria typographis εὐαναγνώστα mittere) Exemplo vel ſola paticula Quanquam eſſe poterit,quæ poſita fuit alicubi pro Quámque,alicubi pro Quomodo,alicubi pro alia particula. Memini & Ion quodã in loco haberi pro Ideo.quod accidit ex cõpẽdio quo voculã iſtam nonnulli ſcribunt,nimirũ cũ i,& o titulũ habente.Quanuis porro talia menda non ab interprete ſed à male exẽplar eius legẽtibus(vti dixi)manaſſe manifeſtũ eſſet,tantum abeſt tamen vt ii qui multa ſe in hac interpretatione reſtituiſſe iactarunt,id præſtiterint,vt ne hæc ipſa quidem emẽdauerint. Hæc ſunt,mi Crato,quæ de vtraque Diogenis editione,id eſt Græca pariter & Latina,ſcire te volui:quas tibi,vt perpetuũ ſint amicitiæ noſtræ pignus, dedi atque dedicaui. Vt autem ſimul cum Diogene editus à me fuit Herodotus,ita eum ſimul ad te miſi. Vale.

# ΦΙΛΟΣΟΦΩΝ ΚΑΤΑΛΟΓΟΣ ὯΝ

τοὺς βίους γέγραφεν ὁ Διογένης.


| | | | |
|---|---|---|---|
| Αἰσχίνης | 70 | Ἐπιμενίδης | 42 |
| Ἀλκμαίων | 338 | Ἐπίχαρμος | 335 |
| Ἀναξαγόρας | 51 | Εὔδοξος | 339 |
| Ἀνάξαρχος | 364 | Εὐκλείδης | 86 |
| Ἀναξίμανδρος | 49 | Ζ. | |
| Ἀναξιμένης | 50 | Ζήνων ὁ Κιτιεύς | 238 |
| Ἀνάχαρσις | 49 | Ζήνων ὁ Ἐλεάτης | 351 |
| Ἀντισθένης | 200 | Η. | |
| Ἀρίστιππος | 72 | Ἡγησιακοί | 82 |
| Ἀριστοτέλης | 165 | Ἡρακλείδης | 196 |
| Ἀρίστων | 292 | Ἡράκλειτος | 342 |
| Ἀρκεσίλαος | 149 | Ἥριλλος | 293 |
| Ἀρχέλαος | 54 | Θ. | |
| Ἀρχύτας | 336 | Θαλῆς | 14 |
| Β. | | Θεοδώρειοι | 83 |
| Βίας | 30 | Θεόφραστος | 177 |
| Βίων | 155 | Ι. | |
| Γ. | | Ἱππαρχία | 233 |
| Γλαύκων | 93 | Ἵππασος | 338 |
| Δ. | | Κ. | |
| Δημήτριος | 192 | Καρνεάδης | 162 |
| Δημόκριτος | 355 | Κέβης | 94 |
| Διογένης ὁ κυνικός | 206 | Κλεάνθης | 294 |
| Διογένης ὁ Ἀπολλωνιάτης | 363 | Κλειτόμαχος | 164 |
| Διόδωρος | 88 | Κλεόβουλος | 44 |
| Διονύσιος | 294 | Κράντωρ | 148 |
| Ε. | | Κράτης ὁ Ἀθηναῖος | 146 |
| Ἐμπεδοκλῆς | 326 | Κράτης | 229 |
| Ἐπίκουρος | 384 | Κρίτων | 92 |

Λ.

Λακύδης 161
Λεύκιππος 353
Λύκων 188

Μ.

Μέλισσος 351
Μενέδημος 94 & 235
Μένιππος 234
Μητροκλῆς 232
Μόνιμος 228
Μύσων 52

Ξ.

Ξενοκράτης 141
Ξενοφάνης 348
Ξενοφῶν 66

Ο.

Ὀνησίκριτος 228

Π.

Παρμενίδης 349
Περίανδρος 36
Πιττακὸς 27
Πλάτων 103
Πολέμων 145
Πρωταγόρας 361
Πυθαγόρας 309
Πύρρων 365

Σ.

Σιμμίας 94
Σίμων 93
Σόλων 16
Σπεύσιππος 139
Στίλπων 89
Στράτων 186
Σφαῖρος 298
Σωκράτης 55

Τ.

Τίμων 380

Φ.

Φαίδων 86
Φερεκύδης 45
Φιλόλαος 338

Χ.

Χείλων 25
Χρύσιππος 299

# ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ α΄ τῶν ι΄.

## ΤΟ ΠΡΟΟΙΜΙΟΝ.

ΤΟ τῆς φιλοσοφίας ἔργον ἔνιοι φασὶ ἀπὸ βαρβάρων ἄρξαι. γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ γυμνοσοφιστὰς παρὰ Ἰνδοῖς· παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους δρυΐδας καὶ σεμνοθέους· καθά φησιν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Σωτίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς διαδοχῆς. Φοίνικά τε γενέσθαι Ὦχον, καὶ Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα. Αἰγύπτιοι μὲν γὰρ Νείλου γενέσθαι παῖδα Ἥφαιστον· ὃν ἄρξαι φιλοσοφίας, ἧς τοὺς προεστῶτας, ἱερέας εἶναι καὶ προφήτας. ἀπὸ δὲ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἐτῶν εἶναι μυριάδας τέσσαρας καὶ ὀκτακισχίλια ὀκτακόσια ἔτη ἑξηκοντατρία. ἐν οἷς ἡλίου μὲν ἐκλείψεις γενέσθαι τριακοσίας ἑβδομηκοντατρεῖς, σελήνης δὲ ὀκτακοσίας τριακονταδύο. ἀπὸ δὲ τῶν μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρσην, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς ἐν τῷ περὶ μαθημάτων φησὶν εἰς τὴν Τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχίλια· Ξάνθος δὲ ὁ Λυδὸς εἰς τὴν Ξέρξου διάβασιν ἀπὸ τοῦ Ζωροάστρου ἑξακόσια φησὶ καὶ μετ' αὐτὸν γεγονέναι πολλούς τινας μάγους κατὰ διαδοχὴν, Ὀστάνας καὶ Ἀ-

στραψύχοις καὶ Γωβρύας καὶ Παζάτας, μέχρι τῆς Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως. λανθάνουσι δ' αὐτοὺς τὰ τῶν Ἑλλήνων κατορθώματα, ἀφ' ὧν μὴ ὅτι γε φιλοσοφία, ἀλλὰ καὶ γένος ἀνθρώπων ἦρξε, βαρβάροις προσάπτοντες. ἰδοὺ γοῦν παρὰ μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, παρὰ δὲ Θηβαίοις Λίνος· καὶ τὸν μὲν, Εὐμόλπου παῖδα φασὶ, ποιῆσαι δὲ θεογονίαν καὶ σφαῖραν πρῶτον· φάναι τε ἐξ ἑνὸς τὰ πάντα γίνεσθαι, καὶ εἰς ταυτὸν ἀναλύεσθαι. τοῦτον τελευτῆσαι Φαληροῖ, καὶ αὐτῷ ἐπιγεγράφθαι τόδε τὸ ἐλεγεῖον,

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας,
Μουσαῖον φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ. ἀπὸ τοῦ πατρὸς δὲ τοῦ Μουσαίου καὶ Εὐμολπίδαι καλοῦνται παρ' Ἀθηναίοις. τὸν δὲ Λίνον, παῖδα εἶναι Ἑρμοῦ καὶ Μούσης Οὐρανίας. ποιῆσαι δὲ κοσμογονίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζώων καὶ καρπῶν γενέσεις. τούτῳ ἀρχὴ τῶν ποιημάτων ἥδε,

Ἦν ποτέ τοι χρόνος οὗτος, ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει.
ὅθεν λαβὼν Ἀναξαγόρας, πάντα ἔφη χρήματα γεγονέναι ὁμοῦ· νοῦν δὲ ἐλθόντα, αὐτὰ διακοσμῆσαι. τὸν δὲ Λίνον τελευτῆσαι ἐν Εὐβοίᾳ, τοξευθέντα ὑπὸ Ἀπόλλωνος· καὶ αὐτῷ ἐπιγεγράφθαι,

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου. καὶ ὧδε μὲν ἀφ' Ἑλλήνων ἦρξε φιλοσοφία, ἧς καὶ αὐτὸ τὸ ὄνομα τὴν βάρβαρον ἀπέστραπται προσηγορίαν. οἱ δὲ τὴν εὕρεσιν διδόντες ἐκείνοις, παράγουσι καὶ Ὀρφέα τὸν Θρᾷκα, λέγοντες φιλόσοφον γεγονέναι καὶ εἶναι ἀρχαιότατον. ἐγὼ δὲ εἰ τὸν περὶ θεῶν ἐξαγορεύσαντα τοιαῦτα, χρὴ φιλόσοφον καλεῖν, οὐκ οἶδα τίνα δεῖ προσαγορεύειν τὸν πᾶν τὸ ἀνθρώπειον πάθος ἀφειδοῦντα τοῖς θεοῖς προστρῖψαι, καὶ τὰ σπανίως ὑπό τινων ἀνθρώπων αἰσχρουργούμενα καὶ τῷ τῆς φωνῆς ὀρ-

γάμῳ. τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δ' ἐν Δίῳ τῆς Μακεδονίας ἐπίγραμμα, κεραυνωθῆναι αὐτόν, λέγον οὕτως,

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
Ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

οἱ δὲ φάσκοντες ἀπὸ βαρβάρων ἄρξαι φιλοσοφίαν, καὶ τὸν τρόπον παρ' ἑκάστοις αὐτῆς ἐκτίθενται· καί φασι τοὺς μὲν γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι, σέβειν θεούς, καὶ μηδὲν κακὸν δρᾶν, καὶ ἀνδρείαν ἀσκεῖν. τοὺς γοῦν γυμνοσοφιστὰς καὶ θανάτου καταφρονεῖν φησι Κλείταρχος ἐν τῇ δωδεκάτῃ· τοὺς δὲ Χαλδαίους περὶ ἀστρονομίαν καὶ πρόρρησιν ἀσχολεῖσθαι· τοὺς δὲ μάγους περί τε θεραπείας θεῶν διατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους ἀκουομένους. ἀποφαίνεσθαί τε περί τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ. τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν· καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων. ἀσκεῖν τε καὶ μαντικὴν καὶ πρόρρησιν, καὶ αὐτοῖς θεοὺς ἐμφανίζεσθαι λέγοντας. ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, κατὰ ἀπόρροιαν ὑπὸ ἀναθυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν. προκοσμήματά τε καὶ χρυσοφορείας ἀπαγορεύειν. τούτων δὲ ἐσθὴς μὲν, λευκή· στιβὰς δέ, γῆ· καὶ λάχανον, τροφή, τυρός τε, καὶ ἄρτος εὐτελής· καὶ κάλαμος, ἡ βακτηρία, ᾧ κεντοῦντες, (φασί) τοῦ τυροῦ ἀνῃροῦντο καὶ ἀπήσθιον. τὴν δὲ γοητικὴν μαντείαν οὐδ' ἔγνωσαν, φησὶν Ἀριστοτέλης ἐν τῷ μαγικῷ, καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν· ὃς καὶ μεθερμηνευόμενον φησὶ τὸν Ζωροάστρην ἀστροθύτην εἶναι. φησὶ

ἢ τοῦτο καὶ ὁ Ἑρμόδωρος. Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ φιλοσοφίας καὶ πρεσβυτέρους εἶναι τῶν Αἰγυπτίων, καὶ δύο κατ' αὐτοὺς εἶναι ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῷ μὲν ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅδης, καὶ Ἀρειμάνιος. φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ περὶ μάγων, καὶ Εὔδοξος ἐν τῇ περιόδῳ, καὶ Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν· ὃς καὶ ἀναβιώσεσθαι κατὰ τοὺς μάγους φησὶ τοὺς ἀνθρώπους, καὶ ἔσεσθαι ἀθανάτους, καὶ τὰ ὄντα ταῖς αὐτῶν ἐπικλήσεσι διαμενεῖν. ταῦτα δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. Ἑκαταῖος δὲ καὶ γεννητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ περὶ παιδείας, καὶ τοὺς γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν μάγων φησίν. ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι. πρὸς τούτοις καταγινώσκουσιν Ἡροδότου οἱ τὰ περὶ μάγων γράψαντες. μὴ γὰρ ἂν εἰς τὸν ἥλιον βέλη Ξέρξην ἀκοντίσαι, μηδ' εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν μάγων παραδεδομένους. τὰ μέντοι ἀγάλματα εἰκότως καθαιρεῖν. τὴν δὲ τῶν Αἰγυπτίων φιλοσοφίαν εἶναι τοιαύτην περί τε θεῶν καὶ ὑπὲρ δικαιοσύνης. φάσκειν τε ἀρχὴν μὲν εἶναι τὴν ὕλην, εἶτα τὰ τέσσαρα στοιχεῖα ἐξ αὐτῆς διακριθῆναι, καὶ ζῷά τινα ἀποτελεσθῆναι. θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην· τὸν μὲν, Ὄσιριν, τὴν δ', Ἶσιν καλουμένην. αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὥς φησι Μανέθως ἐν τῇ τῶν φυσικῶν ἐπιτομῇ, καὶ Ἑκαταῖος ἐν τῇ πρώτῃ περὶ τῆς Αἰγυπτίων φιλοσοφίας. κατασκευάζειν δὲ ἀγάλματα καὶ τεμένη, τῷ μὴ εἰδέναι τὴν τοῦ θεοῦ μορφήν. τὸν κόσμον γεννητὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ· τοὺς ἀστέρας πῦρ εἶναι, καὶ τῇ τούτων κράσει τὰ ἐπὶ γῆς γίνεσθαι· σελήνην ἐκλείπειν εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν· τὴν ψυχὴν καὶ ἐπιδιαμένειν καὶ μεταμβαίνειν· ὑετοὺς κατὰ ἀέρος τροπὴν ἀποτελεῖσθαι· τά τε ἄλλα φυσιολογεῖν ὡς Ἑκαταῖός τε

καὶ Ἀρισταγόρας ἱστοροῦσιν. ἔθεσαν δὲ καὶ νόμους ὑπὲρ δικαιοσύνης, οὓς εἰς Ἑρμῆν ἀνήνεγκαν, καὶ τὰ εὔχρηστα τῶν ζώων θεοὺς ἐδόξασαν. λέγουσι δὲ καὶ ὡς αὐτοὶ γεωμετρίαν καὶ ἀστρολογίαν καὶ ἀριθμητικὴν εὗρον. καὶ τὰ μὲν περὶ τῆς εὑρέσεως ὧδε ἔχει. φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας, καὶ ἑαυτὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυωνίων τυράννῳ ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῇ περὶ τῆς ἄπνου. μηδένα γὰρ εἶναι σοφὸν ἄνθρωπον, ἀλλ᾽ ἢ θεόν. θᾶττον δὲ ἐκαλεῖτο σοφία, καὶ σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος, ὃς εἴη ἂν κατ᾽ ἀκρότητα ψυχῆς ἀπηκριβωμένος· φιλόσοφος δὲ ὁ σοφίαν ἀσπαζόμενος. οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο. καὶ οὐ μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ, σοφισταί· καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν, οὕτως καλεῖ. σοφοὶ δὲ ἐνομίζοντο οἵδε, Θαλῆς, Σόλων, Περίανδρος, Κλεόβουλος, Χίλων, Βίας, Πιττακός. τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μίσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα· ἔνιοι καὶ Πεισίστρατον τὸν τύραννον. καὶ οἱ μὲν, σοφοί.

Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί, ἥ τε ἀπὸ Ἀναξιμάνδρου, καὶ ἡ ἀπὸ Πυθαγόρου· τοῦ μὲν, Θάλου διακηκοότος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο. καὶ ἐκαλεῖτο ἡ μὲν, Ἰωνική, ὅτι Θαλῆς Ἴων ὢν (Μιλήσιος γὰρ) καθηγήσατο Ἀναξιμάνδρου· ἡ δὲ, Ἰταλική ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα κατὰ τὴν Ἰταλίαν διέτριψε. καταλήγει δὲ ἡ μὲν εἰς Κλειτόμαχον καὶ Χρύσιππον καὶ Θεόφραστον, ἡ Ἰωνική, ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θάλου μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης, ὁ τὴν ἠθικὴν εἰσαγαγών· οὗ οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων, ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συστησάμενος· οὗ Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων, οὗ Κράντωρ καὶ Κράτης, οὗ Ἀρκεσίλαος, ὁ τὴν μέσην Ἀκαδη-

μίαν ἡγησάμενος· οὗ Λακύδης, ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας· οὗ Καρνεάδης, οὗ Κλειτόμαχος. καὶ ὧδε μὲν εἰς Κλειτόμαχον. εἰς δὲ Χρύσιππον οὕτω καταλήγει· Σωκράτης Ἀντισθένης, οὗ Διογένης ὁ κύων, οὗ Κράτης ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιτιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. εἰς δὲ Θεόφραστον οὕτως· Πλάτωνος Ἀριστοτέλης, οὗ Θεόφραστος. καὶ ἡ μὲν Ἰωνικὴ τοῦτον καταλήγει τὸν τρόπον· ἡ δὲ Ἰταλικὴ οὕτω. Φερεκύδους Πυθαγόρας, οὗ Τηλαύγης ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ πολλοὶ μὲν, ἐπ᾽ ὀνόματος δὲ, Ναυσιφάνης καὶ Ναυκύδης, ὧν Ἐπίκουρος.

Τῶν δὲ φιλοσόφων, οἱ μὲν γεγόνασι δογματικοί, οἱ δὲ, ἐφεκτικοί. δογματικοὶ μὲν, ὅσοι περὶ τῶν πραγμάτων ἀποφαίνονται ὡς καταληπτῶν· ἐφεκτικοὶ δὲ, ὅσοι ἐπέχουσι περὶ αὐτῶν, ὡς ἀκαταλήπτων. καὶ οἱ μὲν αὐτῶν κατέλιπον ὑπομνήματα, οἱ δ᾽ ὅλως οὐ συνέγραψαν, ὥσπερ κατά τινας, Σωκράτης, Στίλπων, Φίλιππος, Μενέδημος, Πύρρων, Θεόδωρος, Καρνεάδης, Βρύσων· κατά τινας, Πυθαγόρας, Ἀρίστων ὁ Χῖος, πλὴν ἐπιστολῶν ὀλίγων. οἱ δὲ ἀνὰ ἓν συγγράψαντες, Μέλισσος, Παρμενίδης, Ἀναξαγόρας. πολλὰ δὲ Ζήνων, πλείω Ξενοφάνης, πλείω Δημόκριτος, πλείω Ἀριστοτέλης, πλείω Ἐπίκουρος, πλείω Χρύσιππος. τῶν δὲ φιλοσόφων, οἱ μὲν ἀπὸ πόλεων προσηγορεύθησαν, ὡς οἱ Ἠλιακοί, καὶ Μεγαρικοί, καὶ Ἐρετρικοί, καὶ Κυρηναϊκοί· οἱ δὲ ἀπὸ τόπων, ὡς οἱ Ἀκαδημαϊκοὶ καὶ Στωϊκοί· ἀπὸ συμπτωμάτων δὲ, ὡς οἱ Περιπατητικοί· καὶ ἀπὸ σκωμμάτων, ὡς οἱ κυνικοί. οἱ δὲ ἀπὸ διαθέσεων, ὡς οἱ εὐδαιμονικοί. τινὲς ἀπὸ οἰήσεως, ὡς οἱ φιλαλήθεις, καὶ ἐλεγκτικοί, καὶ ἀναλογητικοί. ἔνιοι δ᾽ ἀπὸ τῶν διδασκάλων, ὡς οἱ Σωκρατικοὶ καὶ Ἐπικούρειοι, καὶ τὰ ὅμοια. καὶ οἱ μὲν, ἀπὸ τῆς περὶ φύσιν πραγματείας, φυσικοί· οἱ δὲ, ἀπὸ

τῆς περὶ τὰ ἤθη σχολῆς, ἠθικοί. διαλεκτικοὶ δέ, ὅσοι περὶ τὴν τῶν λόγων τερθρείαν κατατρίβονται. Μέρη δὲ φιλοσοφίας τρία, φυσικόν, ἠθικόν, διαλεκτικόν. φυσικὸν μέν, τὸ περὶ κόσμου, καὶ τῶν ἐν αὐτῷ· ἠθικὸν δέ, τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτικὸν δέ, τὸ ἀμφοτέρων τοὺς λόγους πρεσβεῦον. καὶ μέχρι μὲν Ἀρχελάου τὸ φυσικὸν εἶδος ἦν· ἀπὸ δὲ Σωκράτους, ὡς προείρηται, τὸ ἠθικόν· ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου, τὸ διαλεκτικόν. τοῦ δὲ ἠθικοῦ γεγόνασιν αἱρέσεις δέκα, Ἀκαδημαϊκή, Κυρηναϊκή, Ἠλιακή, Μεγαρική, Κυνική, Ἐρετρική, Διαλεκτική, Περιπατητική, Στωϊκή, Ἐπικούρειος. Ἀκαδημαϊκῆς μὲν οὖν τῆς ἀρχαίας προέστη Πλάτων, τῆς μέσης Ἀρκεσίλαος, τῆς νέας Λακύδης, Κυρηναϊκῆς Ἀρίστιππος ὁ Κυρηναῖος, Ἠλειακῆς Φαίδων ὁ Ἠλεῖος, Μεγαρικῆς Εὐκλείδης Μεγαρεύς, Κυνικῆς Ἀντισθένης ὁ Ἀθηναῖος, Ἐρετρικῆς Μενέδημος Ἐρετριεύς, Διαλεκτικῆς Κλειτόμαχος Καρχηδόνιος, Περιπατητικῆς Ἀριστοτέλης Σταγειρίτης, Στωϊκῆς Ζήνων Κιτιεύς. ἡ δὲ Ἐπικούρειος ἀπ' αὐτοῦ κέκληται Ἐπικούρου. Ἱππόβοτος δ' ἐν τῷ περὶ αἱρέσεων, ἐννέα φησὶν αἱρέσεις καὶ ἀγωγὰς εἶναι· πρώτην Μεγαρικήν, δευτέραν Ἐρετρικήν, τρίτην Κυρηναϊκήν, τετάρτην Ἐπικούρειον, πέμπτην Ἀννικέρειον, ἕκτην Θεοδώρειον, ἑβδόμην Ζηνώνειον, τὴν καὶ Στωϊκήν, ὀγδόην Ἀκαδημαϊκὴν τὴν ἀρχαίαν, ἐνάτην Περιπατητικήν. οὔτε δὲ Κυνικήν, οὔτε Ἠλειακήν, οὔτε Διαλεκτικήν. τὴν μὲν γὰρ Πυρρώνειον οὐδ' οἱ πλείους προσποιοῦνται, διὰ τὴν ἀσάφειαν. ἔνιοι δὲ κατά τι μὲν αἵρεσιν εἶναι φασὶν αὐτήν, κατά τι δὲ οὔ. δοκεῖ μὲν γὰρ αἵρεσις εἶναι. αἵρεσιν δὲ λέγομεν (φασὶ) τὴν λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσαν, ἢ δοκοῦσαν ἀκολουθεῖν· καθ' ὃ εὐλόγως ἂν αἵρεσιν τὴν σκεπτικὴν καλοῖμεν. εἰ δὲ αἵρεσιν νοοῖμεν

πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσιν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις· οὐ γὰρ ἔχει δόγματα. αἵδε μὲν ἀρχαὶ καὶ διαδοχαὶ, καὶ τοσαῦτα μέρη καὶ τόσαι φιλοσοφίας αἱρέσεις. ἔτι δὲ πρὸ ὀλίγου καὶ ἐκλεκτική τις αἵρεσις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. ἀρέσκει δὲ αὐτῷ, (καθά φησιν ἐν τῇ στοιχειώσει) κριτήρια τῆς ἀληθείας εἶναι, τὸ μὲν, ὡς ὑφ' οὗ γίγνεται ἡ κρίσις, τουτέστι τὸ ἡγεμονικόν· τὸ δὲ, ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων, τήν τε ὕλην καὶ τὸ ποιὸν, ποίησίν τε καὶ τόπον. ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ πῶς καὶ ἐν ᾧ. τέλος δὲ εἶναι ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν καὶ τῶν ἐκτός. λεκτέον δὲ περὶ αὐτῶν τῶν ἀνδρῶν, καὶ πρῶτόν γε περὶ Θαλοῦ.

## ΘΑΛΗ͂Σ.

ἮΝ τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτος φασὶν, πατρὸς μὲν Ἐξαμίου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἵ εἰσι Φοίνικες, εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος, καθὰ καὶ Πλάτων φησί. καὶ πρῶτος σοφὸς ὠνομάσθη ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ. ἐπολιτογραφήθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νειλέῳ ἐκπεσόντι Φοινίκης. ὡς δὲ οἱ πλείους φασὶν, ἰθαγενὴς Μιλήσιος ἦν, καὶ γένους λαμπροῦ. μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας, καὶ κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν. ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη ναυτικὴ ἀστρολογία, Φώκου λέγεται εἶναι τοῦ Σαμίου (Καλλίμαχος δὲ αὐτὸν οἶδεν εὑρετὴν τῆς ἄρκτου τῆς μικρᾶς, λέγων ἐν τοῖς ἰάμβοις οὕτως,

Καὶ τῆς ἁμάξης ἐλέγετο σταθμήσασθαι
Τοὺς ἀστερίσκους, ᾗ πλέουσι Φοίνικες) κατά τινας δὲ δύο μόνα συνέγραψε, περὶ τροπῆς καὶ ἰσημερίας, τὰ ἄλλα καταληπτὰ εἶναι δοκιμάσας. δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι, καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῇ περὶ τῶν ἀστρολογουμένων ἱστορίᾳ· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει. μαρτυρεῖ δ' αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος. ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους τὰς ψυχάς· ὧν ἐστι Χοίριλλος ὁ ποιητής. πρῶτος δὲ καὶ τὴν ἀπὸ τροπῆς ἐπὶ τροπὴν πάροδον εὗρε, καὶ πρῶτος τὸ τοῦ ἡλίου μέγεθος τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀπεφήνατο, κατά τινας. πρῶτος δὲ καὶ τὴν ὑστέραν τοῦ μηνός, τριακάδα εἶπε. πρῶτος δὲ καὶ περὶ φύσεως διελέχθη, ὥς τινες. Ἀριστοτέλης δὲ καὶ Ἱππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχάς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. παρά τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη πρῶτον καταγράψαι κύκλου τὸ τρίγωνον ὀρθογώνιον, καὶ θῦσαι βοῦν. οἱ δὲ Πυθαγόραν φασίν, ὧν ἐστιν Ἀπολλόδωρος ὁ λογιστικός. οὗτος προήγαγεν ἐπὶ πλεῖστον ἅ φησι Καλλίμαχος ἐν τοῖς ἰάμβοις Εὔφορβον εὑρεῖν τὸν Φρύγα· οἷον σκαληνὰ καὶ τρίγωνα, καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας. δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γὰρ πέμψαντος πρὸς Μιλησίους ἐπὶ συμμαχίᾳ, ἐκώλυσεν· ὅπερ, Κύρου κρατήσαντος, ἔσωσε τὴν πόλιν. καὶ αὐτὸς δέ φησιν ὡς Ἡρακλείδης ἱστορεῖ μονήρη αὐτὸν γεγονέναι καὶ ἰδιαστήν. ἔνιοι δὲ καὶ γῆμαι αὐτόν, καὶ Κίβισσον υἱὸν ἔχειν. οἱ δέ, ἄγαμον μεῖναι, τῆς δὲ ἀδελφῆς τὸν υἱὸν θέσθαι. ὅτε καὶ ἐρωτηθέντα διὰ τί οὐ τεκνοποιεῖ, Διὰ φιλοτεκνίαν, εἰπεῖν. καὶ λέγουσιν ὅτι τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι, Νὴ Δία, ἔλεγεν, οὐδέπω καιρός. εἶτα, ἐπειδὴ παρήβησεν, ἐγκει-

μένης, εἰπεῖν, οὐκέτι καιρός. φησὶ καὶ ὁ Ῥόδιος Ἱερώνυμος ἐν τῷ δευτέρῳ τῶν σποράδων ὑπομνημάτων, ὅτι βουλόμενος δεῖξαι ῥᾷον εἶναι πλουτεῖν, φορᾶς μελλούσης ἐλαιῶν ἔσεσθαι, προνοήσας, ἐμισθώσατο τὰ ἐλαιουργεῖα, καὶ πάμπλειστα συνεῖλε χρήματα. ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη. τάς τε ὥρας τοῦ ἐνιαυτοῦ φασὶν αὐτὸν εὑρεῖν, καὶ εἰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας διελεῖν. οὐδείς τε αὐτοῦ καθηγήσατο, πλὴν ὅτ' εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψεν. ὁ δὲ Ἱερώνυμος καὶ ἐκμετρῆσαι φησὶν αὐτὸν τὰς πυραμίδας, ἐκ τῆς σκιᾶς παρατηρήσαντα ὅτε ἡμῖν ἰσομεγέθεις εἰσί. συνεβίω δὲ καὶ Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ, καθά φησι Μινύης. τὰ δὲ περὶ τὸν τρίποδα, φανερά, τὸν εὑρεθέντα ὑπὸ τῶν ἁλιέων, καὶ διαπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. φασὶ γὰρ Ἰωνικούς τινας νεανίσκους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων· ἀνασπασθέντος δὲ τοῦ τρίποδος, ἀμφισβήτησις ἦν. ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς, καὶ ὁ θεὸς ἔχρησεν οὕτως,

Ἔκγονε Μιλήτου τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;

Τίς σοφίῃ πάντων πρῶτος; τούτου τρίποδ' αὐδῶ. δίδωσιν οὖν Θαλῇ, ὁ δὲ ἄλλῳ, καὶ ἄλλος ἄλλῳ, ἕως Σόλωνος. ὁ δὲ ἔφη σοφίᾳ πρῶτον εἶναι τὸν θεόν, καὶ ἀπέστειλεν εἰς Δελφούς. ταῦτα δὴ ὁ Καλλίμαχος ἐν τοῖς ἰάμβοις ἄλλως ἱστορεῖ, παρὰ Λεανδρίου λαβὼν τοῦ Μιλησίου. Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλην καταλιπεῖν, καὶ ἐπισκῆψαι δοῦναι τῶν σοφῶν τῷ πρωτίστῳ. ἐδόθη δὴ Θαλῇ, καὶ κατὰ περίοδον πάλιν Θαλῇ. ὁ δὲ τῷ Διδυμαίῳ Ἀπόλλωνι ἀπέστειλεν, εἰπὼν οὕτω, κατὰ τὸν Καλλίμαχον,

Θαλῆς με τῷ μεδεῦντι Νείλεω δήμου

Δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον. τὸ δὲ πεζὸν οὕτως ἔχει. Θαλῆς Ἐξαμίου Μιλήσιος Ἀπόλλωνι Δελφινίῳ

Ἑλλήνων ἀριστεῖον δὶς λαβών. ὁ δὲ περιενεγκὼν τὴν φιάλην τοῦ Βαθυκλέους παῖς, Θυρίων ἐκαλεῖτο, καθά φησιν Ἔλευσις ἐν τῷ περὶ Ἀχιλλέως, καὶ Ἀλέξων ὁ Μύνδιος ἐν ἐνάτῳ μυθικῶν. Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιος φασὶ τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῷ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων. τὸν δὲ δοῦναι Θαλῇ, καὶ περιελθεῖν εἰς Χείλωνα. ὃν πυνθάνεσθαι τοῦ Πυθίου τίς αὐτοῦ σοφώτερος· καὶ τὴν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν. τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ' ἀντὶ Περιάνδρου. περὶ αὐτοῦ δὴ τάδε ἀνεῖπεν ὁ Πύθιος,

Οἰταῖόν τινα φημὶ Μύσων' ἐν Χηνὶ γενέσθαι,
Σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσιν.

ὁ δ' ἐρωτήσας ἦν Ἀνάχαρσις. Δαίδαχος δ' ὁ Πλατωνικὸς καὶ Κλέαρχος φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῷ, καὶ οὕτω περιενεχθῆναι. Ἄνδρων δ' ἐν τῷ τρίποδι, Ἀργείους ἆθλον ἀρετῆς τῷ σοφωτάτῳ τῶν Ἑλλήνων τρίποδα θεῖναι· κριθῆναι δὲ Ἀριστόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χείλωνι. μέμνηται τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος οὕτως,

Ὣς γὰρ δή ποτ' Ἀριστόδαμον φασὶν οὐκ ἀπάλαμνον ἐν Σπάρτα λόγον εἰπεῖν, Χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσθλός.

ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ πλοῖον ἔμφορτον ἀποσταλῆναι. τοῦ δὲ περὶ τὴν Κῴαν θάλασσαν ναυαγήσαντος, ὕστερον εὑρεθῆναι πρός τινων ἁλιέων τὸν τρίποδα. Φανόδικος δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι, καὶ ἀνενεχθέντα εἰς ἄστυ, γενομένης ἐκκλησίας, Βίαντι πεμφθῆναι. διὰ τί δέ, ἐν τῷ περὶ Βίαντος λέξομεν. ἄλλοι φασὶν ἡφαιστότευκτον εἶναι αὐτόν, καὶ δοθῆναι πρὸς τοῦ θεοῦ Πέλοπι γαμοῦντι. αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν, καὶ σὺν τῇ Ἑλένῃ ἁρπασθέντα

ὑπὸ Ἀλεξάνδρου ῥιφθῆναι εἰς τὴν Κῴαν θάλασσαν περὶ τῆς Λακαίνης, εἰπούσης ὅτι περιμάχητος ἔσται. χρόνῳ δὲ Λεβεδίων τινῶν αὐτόθι γρύπον ὠνησαμένων, καταληφθῆναι καὶ τὸν τρίποδα. μαχομένων δὴ πρὸς τοὺς ἁλιέας, ἐρύεσθαι τὴν ἄνοδον ἕως τῆς Κῶ· καὶ ὡς οὐδὲν ἤνυτον, τοῖς Μιλησίοις μητροπόλει οὔσῃ μηνύουσιν. οἱ δ' ἐπειδὴ διαπρεσβευόμενοι ἠλογοῦντο, πρὸς τοὺς Κῴους πολεμοῦσι. καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, ἐκπίπτει χρησμὸς δοῦναι τῷ σοφωτάτῳ· καὶ ἀμφότεροι συνῄνεσαν Θαλῇ. ὁ δὲ μετὰ τὴν περίοδον τῷ Διδυμαίῳ τίθησιν Ἀπόλλωνι. Κῴοις μὲν οὖν τοῦτον ἐχρήσθη τὸν τρόπον,

Μὴ πρότερον λήξει νῖκος μερόπων καὶ Ἰώνων,
Πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος βάλε πόντῳ,
Ἐκ πόλιος πέμψητε, καὶ ἐς δόμον ἀνδρὸς ἵκηται
Ὃς δὲ δάηκε τά τ' ὄντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.

Μιλησίοις δέ,

Ἔκγονε Μιλήτου τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;

ὡς προείρηται. καὶ τάδε μὲν οὕτως. Ἕρμιππος δ' ἐν τοῖς βίοις, εἰς τοῦτον ἀναφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. Ἔφασκε γάρ, φησί, τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῇ τύχῃ. πρῶτον μέν, ὅτι ἄνθρωπος ἐγενόμην, καὶ οὐ θηρίον· εἶτα, ὅτι ἀνήρ, καὶ οὐ γυνή· τρίτον, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος. λέγεται δ' ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ, εἰς βόθρον ἐμπεσεῖν. καὶ αὐτῷ ἀνοιμώξαντι φάναι τὴν γραῦν, Σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν, τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι; οἶδε δ' αὐτὸν ἀστρονομούμενον καὶ Τίμων. καὶ ἐν τοῖς Σίλλοις ἐπαινεῖ αὐτόν, λέγων,

Οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα.

τὰ δὲ γεγραμμένα ὑπ' αὐτοῦ φησὶ Λόβων ὁ Ἀργεῖος εἰς ἔπη τείνειν διακόσια. ἐπιγεγράφθαι δ' αὐτοῦ ἐπὶ τῆς εἰκόνος τάδε,

Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ' ἀνέδειξεν
Ἀστρολόγων πάντων πρεσβύτατον σοφίᾳ.

τῶν τε ᾀδομένων αὐτοῦ τάδε εἶναι, Οὔτι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν. ἕν τι μάτευε σοφὸν, ἕν τι κεδνὸν αἱροῦ. λύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους. φέρεται δὲ ἀποφθέγματα αὐτοῦ τάδε, πρεσβύτατον τῶν ὄντων, θεός· ἀγέννητον γάρ. κάλλιστον, κόσμος· ποίημα γὰρ θεοῦ. μέγιστον, τόπος· ἅπαντα γὰρ χωρεῖ. τάχιστον, νοῦς· διὰ παντὸς γὰρ τρέχει. ἰσχυρότατον, ἀνάγκη· κρατεῖ γὰρ πάντων. σοφώτατον, χρόνος· ἀνευρίσκει γὰρ πάντα. οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. Σὺ οὖν (ἔφη τις) διὰ τί οὐκ ἀποθνήσκεις; Ὅτι, ἔφη, οὐδὲν διαφέρει. πρὸς τὸν πυθόμενον τί πρότερον ἐγεγόνει, νὺξ ἢ ἡμέρα, Ἡ νὺξ (ἔφη) μιᾷ ἡμέρᾳ πρότερον. ἠρώτησέ τις αὐτὸν εἰ λήθει θεοὺς ἄνθρωπος ἀδικῶν, Ἀλλ' οὐδὲ διανοούμενος, ἔφη. πρὸς τὸν μοιχὸν, ἐρόμενον εἰ ὀμόσει μὴ μεμοιχευκέναι, Οὐ χεῖρον (ἔφη) μοιχείας ἐπιορκία. ἐρωτηθεὶς τί δύσκολον, ἔφη, τὸ ἑαυτὸν γνῶναι· τί δὲ εὔκολον, τὸ ἄλλῳ ὑποτίθεσθαι· τί ἥδιστον, τὸ ἐπιτυγχάνειν· τί τὸ θεῖον, τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν. τί δύσκολον εἴη τεθεαμένος, Γέροντα (ἔφη) τύραννον. πῶς ἄν τις ἀτυχίαν ῥᾷστα φέροι, Εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι. πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν, Ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν. τίς εὐδαίμων, Ὁ τὸ μὲν σῶμα ὑγιὴς, τὴν δὲ τύχην εὔπορος, τὴν δὲ ψυχὴν εὐπαίδευτος. φίλων παρόντων καὶ ἀπόντων μεμνῆσθαι φησί. μὴ τὴν ὄψιν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. Μὴ πλούτει (φησὶ) κακῶς, μηδὲ διαβαλλέτω σε λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας. Οὓς ἂν ἐράνους εἰσενέγκῃς (φησὶ) τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων. τὸν Νεῖλον εἶπε πληθύνειν ἀνακοπτομένων τῶν ῥευμάτων ὑπὸ τῶν ἐτησίων ἐναντίων ὄντων. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς γεγ-

νῆσθαι αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς πέμπτης ὀλυμπιάδος. ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτὼ, ἢ (ὡς Σωσικράτης φησὶν) ἐννενήκοντα. τελευτῆσαι δ' ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος, γεγονότα κατὰ Κροῖσον, ᾧ καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περάσαι, τὸ ῥεῖθρον παρατρέψαντα. γεγόνασι δὲ καὶ ἄλλοι Θαλαῖ (καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις) πέντε. ῥήτωρ Καλαντιανὸς, κακόζηλος· ζωγράφος Σικυώνιος, μεγαλοφυής· τρίτος ἀρχαῖος πάνυ, κατὰ Ἡσίοδον καὶ Ὅμηρον καὶ Λυκοῦργον· τέταρτος, οὗ μέμνηται Δοῦρις ἐν τῷ περὶ ζωγραφίας· πέμπτος, νεώτερος, ἄδοξος, οὗ μνημονεύει Διονύσιος ἐν Κριτικοῖς. ὁ δ' οὖν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμνικὸν, ὑπό τε καύματος καὶ δίψους καὶ ἀσθενείας, ἤδη γηραιός· καὶ αὐτοῦ ἐπιγέγραπται τῷ μνήματι,

Ἦ ὀλίγον τόδε σῆμα, τὸ δὲ κλέος οὐρανόμηκες
Τῶ πολυφροντίστω τοῦτο Θάλητος ὅρη.

ἔστι καὶ παρ' ἡμῖν ἐς αὐτὸν ἐν τῷ πρώτῳ τῶν ἐπιγραμμάτων, ἢ παμμέτρῳ, τόδε τὸ ἐπίγραμμα,

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, ἠέλιε Ζεῦ,
Τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίων.
Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες. ἦ γὰρ ὁ πρέσβυς
Οὐκέθ' ὁρᾷν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

τούτου ἐστὶ τὸ Γνῶθι σαυτόν· ὅπερ Ἀντισθένης ἐν ταῖς διαδοχαῖς Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι δὲ αὐτὸ Χείλωνα. περὶ δὴ τῶν ἑπτὰ (ἄξιον γὰρ ἐνταῦθα καθολικῶς κἀκείνων ἐπιμνησθῆναι) λόγοι φέρονται τοιοῦτοι. Δάμων ὁ Κυρηναῖος, γεγραφὼς περὶ τῶν φιλοσόφων, πᾶσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά. Ἀναξιμένης δέ φησι πάντας ἐπιθέσθαι ποιητικῆς. ὁ δὲ Δικαίαρχος οὔτε σοφοὺς οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, συνετοὺς δέ τινας καὶ νομοθετικούς. Ἀρχέτιμός τε ὁ Συρακούσιος ὁμιλίαν αὐτῶν γέγραφε

παρὰ Κυψέλῳ, ᾗ καὶ αὐτός φησι περιτυχεῖν. Ἔφορος δὲ παρὰ Κροίσῳ, πλὴν Θαλοῦ. φασὶ δέ τινες καὶ ἐν Παιωνίῳ καὶ ἐν Κορίνθῳ καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. διαφωνοῦνται δὲ καὶ ἀποφάσεις αὐτῶν, καὶ ἄλλου ἄλλο φασὶν εἶναι, ὡς ἐκεῖνο,

Ἦν Λακεδαιμόνιος Χείλων σοφός, ὃς τάδ᾽ ἔλεξε,
Μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά.

στασιάζεται δὲ καὶ περὶ τοῦ ἀριθμοῦ αὐτῶν. Λεάνδριος μὲν γὰρ ἀντὶ Κλεοβούλου καὶ Μύσωνος Λεώφαντον Γορσιάδα, Λεβέδιον ἢ Ἐφέσιον ἐγκρίνει, καὶ Ἐπιμενίδην τὸν Κρῆτα. Πλάτων δ᾽ ἐν Πρωταγόρᾳ Μύσωνα ἀντὶ Περιάνδρου. Ἔφορος δὲ ἀντὶ Μύσωνος Ἀνάχαρσιν. οἱ δὲ καὶ Πυθαγόραν προσγράφουσι. Δικαίαρχος δὲ τέσσαρας ὁμολογημένους ἡμῖν παραδίδωσι, Θαλῆν, Βίαντα, Πιττακόν, Σόλωνα. ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι τρεῖς, Ἀριστόδημον, Πάμφιλον, Χείλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον. ἔνιοι προστιθέασιν Ἀκουσίλαον, Κάβα ἢ Σκάβρα, Ἀργεῖον. Ἕρμιππος δ᾽ ἐν τῷ περὶ τῶν σοφῶν, ἑπτακαίδεκα φησίν, ὧν τοὺς ἑπτὰ, ἄλλους ἄλλως αἱρεῖσθαι· εἶναι δὲ, Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χείλωνα, Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην, Ἀριστόδημον, Πυθαγόραν, Λᾶσον Χαρμαντίδου ἢ Σισυμβρίνου, ἢ (ὡς Ἀριστόξενος) Χαβρίνου· Ἑρμιονέα, Ἀναξαγόραν. Ἱππόβοτος δ᾽ ἐν τῇ τῶν φιλοσόφων ἀναγραφῇ, Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλῆν, Βίαντα, Πιττακόν, Ἐπίχαρμον, Πυθαγόραν. φέρονται δὲ καὶ τοῦ Θαλοῦ ἐπιστολαὶ αἵδε.

Θαλῆς Φερεκύδῃ.

Πυνθάνομαί σε πρῶτον Ἰώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων χρημάτων εἰς τοὺς Ἕλληνας φαίνειν. καὶ τάχα μὲν ἡ γνώμη τοι δικαίη, ἐς τὸ ξυνὸν καταθέσθαι γραφήν,

μᾶλλον ἢ ἐφ' ὁποιοσοῦν ἐπιτρέπειν χρῆμα εἰς οὐδὲν ὄφελος. εἰ δή τοι ἥδιον, ἐθέλω γενέσθαι λεσχηνώτης περὶ ὁτέων γράφεις· καὶ ἢν κελεύῃς, παρὰ σὲ ἀφίξομαι ἐς Σῦρον. ἦ γὰρ ἂν οὐ φρενήρεες εἴημεν ἐγώ τε καὶ Σόλων ὁ Ἀθηναῖος, πλώσαντες μὲν ἐς Κρήτην κατὰ τὴν κεῖθι ἱστορίην, πλώσαντες δὲ ἐς Αἴγυπτον, ὁμιλήσαντες τοῖς ἐκείνῃ ὅσοι ἱερέες τε καὶ ἀστρονόμοι· παρὰ σὲ δὲ μὴ πλώσαιμεν. ἥξει γὰρ καὶ ὁ Σόλων, ἢν ἐπιτρέπῃς. σὺ μέντοι χωροφιλέων, ὀλίγα φοιτέεις ἐς Ἰωνίην. οὐδέ σε ποθὴ ἴσχει ἀνδρῶν ξείνων, ἀλλὰ (ὡς ἔλπομαι) ἑνὶ μούνῳ χρήματι προσέχεαι, τῇ γραφῇ. ἡμεῖς δὲ οἱ μηδὲν γράφοντες περιχωρέομεν τήν τε Ἑλλάδα καὶ Ἀσίην.

## Θαλῆς Σόλωνι.

Ὑπαποστὰς ἐξ Ἀθηνάων δοκέεις ἄν μοι ἁρμοδιώτατα ἐν Μιλήτῳ οἶκον ποιέεσθαι παρὰ τοῖς ἀποίκοις ὑμέων. καὶ γὰρ ἐνθαῦτά τοι δεινὸν οὐδέν. εἰ δὲ ἀσχαλήσεις ὅτι καὶ Μιλήσιοι τυραννεόμεθα (ἐχθαίρεις γὰρ πάντας αἰσυμνήτας) ἀλλὰ τέρποιο ἂν ζῶν τοῖς ἑταίροις ἡμῖν καταβιούς. ἐπέστειλε δέ σοι καὶ Βίης ἥκειν ἐς Πριήνην· σὺ δὲ εἰ προσηνέστερόν τι τὸ Πριηνέων ἄστυ κεῖθι οἰκέειν, καὶ αὐτοὶ παρὰ σὲ οἰκήσομεν.

## ΣΟΛΩΝ.

ΣΟΛΩΝ Ἐξηκεστίδου Σαλαμίνιος, πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις. τὸ δὲ ἦν λύτρωσις σωμάτων τε καὶ κτημάτων. καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο, καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. ἑπτὰ δὴ ταλάντων ὀφειλομένων αὐτῷ πατρῴων, συνεχώρησε πρῶτος, καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προὔτρεψε πρᾶξαι. καὶ οὗτος ὁ νόμος ἐκλήθη σεισάχθεια. φανερὸν δὲ διὰ τί. ἔπειτα τοὺς λοιποὺς νόμους ἔθηκεν, οὓς μακρὸν ἂν εἴη διεξιέναι, καὶ ἐς τοὺς

ἄξονας

ἄξονας κατέθετο. τὸ δὲ μέγιστον, τῆς πατρίδος αὐτοῦ ἀμφισβητουμένης, δηλονότι τῆς Σαλαμῖνος, ὑπό τε Ἀθηναίων καὶ Μεγαρέων, καὶ πολλάκις τῶν Ἀθηναίων ἐπταικότων ἐν τοῖς πολέμοις, καὶ ψηφισαμένων εἴ τις ἔτι συμβουλεύσῃ περὶ Σαλαμῖνος μάχεσθαι, θανάτῳ ζημιοῦσθαι· οὗτος μαίνεσθαι προσποιησάμενος, καὶ στεφανωσάμενος εἰσέπεσεν εἰς τὴν ἀγοράν. ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω διὰ τοῦ κήρυκος τὰ συντείνοντα περὶ Σαλαμῖνος ἐλεγεῖα, καὶ παρώρμησεν αὐτούς. καὶ αὖθις πρὸς τοὺς Μεγαρέας ἐπολέμησαν, καὶ ἐνίκων διὰ Σόλωνα. ἦν δὲ τὰ ἐλεγεῖα τὰ μάλιστα καθαψάμενα τῶν Ἀθηναίων, ταῦτα,

Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
Ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος.
Αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο.
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμῖν' ἀφέντων.

εἶτα,

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
Ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

ἔπεισε δὲ αὐτοὺς καὶ τὴν ἐν Θρᾴκῃ Χερρόνησον προσκτήσασθαι. ἵνα δὲ μὴ δοκοίη βίᾳ μόνον, ἀλλὰ καὶ δίκῃ τὴν Σαλαμῖνα κεκτῆσθαι, ἀνασκάψας τινὰς τάφους, ἔδειξε τοὺς νεκροὺς πρὸς ἀνατολὰς ἐστραμμένους, ὡς ἦν ἔθος θάπτειν Ἀθηναίοις. ἀλλὰ καὶ αὐτοὺς τοὺς τάφους πρὸς ἕω βλέποντας, καὶ ἀπὸ τῶν δήμων τοὺς χρηματισμοὺς ἐγκεχαραγμένους, ὅπερ ἦν ἴδιον Ἀθηναίων. ἔνιοι δέ φασι καὶ ἐγγράψαι αὐτὸν εἰς τὸν κατάλογον τοῦ Ὁμήρου, μετὰ τὸν

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

τοῦ δὴ λοιποῦ προσεῖχον αὐτῷ ὁ δῆμος, καὶ ἡδέως καὶ τυραννεῖσθαι ἤθελον παρ' αὐτοῦ. ὁ δὲ οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, προαισθόμενος, τὸ ἐφ' ἑαυτῷ διεκώλυσεν. ἦξας γὰρ εἴς τινα ἐκ-

κλησίαν μετὰ θώρακος καὶ ἀσπίδος, προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου· καὶ οὐ μόνον, ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι· λέγων ταυτα· Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν, σοφώτερος, τῶν δὲ, ἀνδρειότερός εἰμι. σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μὲν, διὰ δέος δὲ σιωπώντων. καὶ ἡ βουλή, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί,

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
Δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

τὰ δὲ περὶ τῆς τοῦ Πεισιστράτου τυραννίδος προλέγοντος αὐτοῦ ταυτὰ ἦν,

Ἐκ νεφέλης φέρεται χιόνος βία ἠδὲ χαλάζης,
Βροντὴ τ' ἐκ λαμπρῆς γίνεται ἀστεροπῆς.
Ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
Δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσεν.

ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πείθων, ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγίου, καὶ εἰπών, Ὦ πατρίς, βεβοήθηκά σοι καὶ λόγῳ καὶ ἔργῳ, ἀπέπλευσεν εἰς Αἴγυπτον καὶ εἰς Κύπρον. καὶ πρὸς Κροῖσον ἦλθεν· ὅτε καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, Τίς σοι δοκεῖ εὐδαίμων; Τέλλος (ἔφη) Ἀθηναῖος, καὶ Κλέοβις καὶ Βίτων, καὶ τὰ θρυλλούμενα. φασὶ δέ τινες ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς, καὶ καθίσας εἰς τὸν θρόνον, ἤρετο αὐτὸν εἴ τι θέαμα κάλλιον τεθέαται. ὁ δὲ ἀλεκτρυόνας εἶπε, φασιανούς, καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται, καὶ μυρίῳ καλλίονι. ἐκεῖθέν τε ἀπαλλαγεὶς, ἐγένετο ἐν Κιλικίᾳ, καὶ πόλιν ᾤκισεν ἣν ἀπ' αὐτοῦ Σόλοις ἐκάλεσεν. ὀλίγους τέ τινας τῶν Ἀθηναίων ἐγκατῴκισεν, οἳ τῷ χρόνῳ τὴν φωνὴν ἀποξενωθέντες σολοικίζειν ἐλέχθησαν. καί εἰσιν οἱ μὲν ἔνθεν, Σολεῖς· οἱ δ' ἀπὸ Κύπρου, Σόλιοι. ὅτε δὲ τὸν Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, τάδε ἔγραψε πρὸς τοὺς Ἀθηναίους,

Εἰ δὲ πεπόνθατε δεινὰ δι᾽ ὑμετέρην κακότητα,
Μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τούτους ηὐξήσατε, ῥύσια δόντες,
Καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
Ὑμέων δ᾽ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασι δ᾽ ὑμῖν κοῦφος ἔνεστι νόος.
Εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
Εἰς ἔργον δ᾽ οὐδὲν γιγνόμενον βλέπετε.

καὶ οὗτος μὲν ταῦτα. Πεισίστρατος δ᾽ αὐτῷ φεύγοντι τοῦτόν τινα ἐπιστέλλει τὸν τρόπον·

Πεισίστρατος Σόλωνι.

Οὔτε μόνος Ἑλλήνων τυραννίδι ἐπεθέμην, οὔτε ὡς οὐ προσῆκόν μοι, γένους ὄντι τῶν Κοδριδῶν. ἀνέλαβον γὰρ ἐγὼ ἃ ὀμόσαντες Ἀθηναῖοι παρέξειν Κόδρῳ τε καὶ τῷ ἐκείνου γένει, ἀφείλοντο. τά τε ἄλλα ἁμαρτάνω οὐδὲν ἢ περὶ θεοὺς ἢ περὶ ἀνθρώπους· ἀλλὰ καθότι σὺ διέθηκας τοὺς θεσμοὺς Ἀθηναίοις, ἐπιτροπῶ πολιτεύειν. καὶ ἄμεινόν γε πολιτεύουσιν ἢ κατὰ δημοκρατίαν· ἐῶ γὰρ οὐδένα ὑβρίζειν. καὶ ὁ τύραννος ἐγὼ οὐ πλεῖόν τι φέρομαι τἀξιώματος καὶ τῆς τιμῆς· ὁποῖα δὲ καὶ τοῖς πρὶν βασιλεῦσιν ἦν τὰ ῥητὰ γέρα. ἀπάγει δὲ ἕκαστος Ἀθηναίων τοῦ αὐτοῦ κλήρου δεκάτην, οὐκ ἐμοί, ἀλλὰ ὁπόθεν ἔσται ἀναλοῦν εἴς τε θυσίας δημοτελεῖς, καὶ εἴ τι ἄλλο τῶν κοινῶν, καὶ ἢν ὁ πόλεμος ἡμᾶς καταλάβῃ. σοὶ δ᾽ ἐγὼ οὔτι μέμφομαι μηνύσαντι τὴν ἐμὴν διάνοιαν. εὐνοίᾳ γὰρ τῆς πόλεως μᾶλλον ἢ κατὰ τὸ ἐμὸν ἔχθος ἐμήνυες· ἔτι τε ἀμαθίᾳ τῆς ἀρχῆς ὁποίαν τινὰ ἐγὼ καταστήσομαι. ἐπεὶ μαθὼν, τάχα ἂν ἠνέσχου καθισταμένου, οὐδὲ ἔφυγες. ἐπάνιθι τοίνυν οἴκαδε, πιστεύων μοι καὶ ἀνωμότῳ, ἄχαρι μηδὲν πείσεσθαι Σόλωνα ἐκ Πεισιστράτου. ἴσθι γὰρ μηδὲ ἄλλον τινὰ πεπονθέναι τῶν ἐμῶν ἐχθρῶν. ἢν δὲ ἀξιώσῃς τῶν ἐμῶν φίλων εἷς εἶναι, ἔσῃ ἀνὰ πρώτους (οὐ γάρ τι ἐν σοὶ ἐνορῶ δολερὸν ἢ ἄπιστον) εἴτε ἄλλως

Ἀθήνησιν οἰκεῖν, ἐπιτέτραπται. ἡμῶν δὲ εἵνεκα μὴ ἐστέρησο τῆς πατρίδος.

ταῦτα μὲν Πεισίστρατος. Σόλων δὲ ὅρον ἀνθρωπίνου βίου φησὶν ἔτη ἑβδομήκοντα. δοκεῖ δὲ καὶ κάλλιστα νομοθετῆσαι, Ἐάν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω. ἀλλὰ καὶ ὁ τὰ πατρῷα κατεδηδοκὼς, ὁμοίως· καὶ ὁ ἀργὸς, ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι. Λυσίας δ' ἐν τῷ κατὰ Νικίου Δράκοντα φησὶ γεγραφέναι τὸν νόμον, Σόλωνα δὲ τεθηκέναι. τόν τε ἡταιρηκότα εἴργειν τοῦ βήματος. συνέστειλε δὲ καὶ τὰς τιμὰς τῶν ἐν ἀγῶνι ἀθλητῶν, Ὀλυμπιονίκῃ μὲν τάξας πεντακοσίας δραχμὰς, Ἰσθμιονίκῃ δὲ ἑκατὸν, καὶ ἀνάλογον ἐπὶ τῶν ἄλλων. ἀπειρόκαλον γὰρ ἐξαίρειν τὰς τούτων τιμάς. ἀλλὰ μόνον ἐκείνων τῶν ἐν πολέμοις τελευτησάντων, ὧν καὶ τοὺς υἱοὺς δημοσίᾳ τρέφεσθαι καὶ παιδεύεσθαι. ὅθεν καὶ ἐζήλουν καλοὶ κἀγαθοὶ γίνεσθαι κατὰ πόλεμον· ὡς Πολύζηλος, ὡς Κυναίγειρος, ὡς Καλλίμαχος, ὡς σύμπαντες οἱ Μαραθωνομάχοι. ἔτι δ' Ἁρμόδιος καὶ Ἀριστογείτων καὶ Μιλτιάδης, καὶ μυρίοι ὅσοι. ἀθληταὶ δὲ καὶ ἀσκούμενοι, πολυδάπανοι, καὶ νικῶντες ἐπιζήμιοι, καὶ στεφανοῦνται κατὰ τῆς πατρίδος μᾶλλον ἢ κατὰ τῶν ἀνταγωνιστῶν. γέροντές τε γενόμενοι, κατὰ τὸν Εὐριπίδην,

Τρίβωνες ἐκλείποντες οἴχονται κρόκας. ὅπερ συνιδὼν ὁ Σόλων μετρίως αὐτοὺς ἀπεδέξατο. κάλλιστον δὲ κἀκεῖνο, Τὸν ἐπίτροπον τῇ τῶν ὀρφανῶν μητρὶ μὴ συνοικεῖν, μηδ' ἐπιτροπεύειν, εἰς ὃν ἡ οὐσία ἔρχεται, τῶν ὀρφανῶν τελευτησάντων. κἀκεῖνο, Δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τοῦ πραθέντος δακτυλίου. καὶ ἐὰν ἕνα ὀφθαλμὸν ἔχοντες ἐκκόψῃ τις, ἀντεκκόπτειν τοὺς δύο. Ἃ μὴ ἔθου, μὴ ἀνέλῃ· εἰ δὲ μὴ, θάνατος ἡ ζημία. Τῷ ἄρχοντι, ἂν μεθύων ληφθῇ, θάνατον εἶναι τὴν ζημίαν. τά τε Ὁμήρου ἐξ ὑποβολῆς γέγραφε ῥαψῳδεῖσθαι, οἷον

ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον. μᾶλλον οὖν Σόλων Ὅμηρον ἐφώτισεν ἢ Πεισίστρατος, ὥς φησι Διευχίδας ἐν πέμπτῳ Μεγαρικῶν. ἦν δὲ μάλιστα τὰ ἔπη ταυτὶ, Οἳ δ' ἄρ' Ἀθήνας εἶχον, καὶ τὰ ἑξῆς. πρῶτος δὲ Σόλων τὴν τριακάδα, ἕνην καὶ νέαν ἐκάλεσεν, καὶ πρῶτος τὴν συναγωγὴν τῶν ἐννέα ἀρχόντων ἐποίησεν, εἰς τὸ συνειπεῖν ὡς Ἀπολλόδωρος φησὶν ἐν δευτέρῳ περὶ νομοθετῶν. ἀλλὰ καὶ τῆς στάσεως γενομένης, οὔτε μετὰ τῶν ἐξ ἄστεος οὔτε μετὰ πεδιέων, ἀλλ' οὐδὲ μετὰ τῶν παραλίων ἐτάχθη. ἔλεγε δὲ τὸν μὲν λόγον εἴδωλον εἶναι τῶν ἔργων· βασιλέα δὲ τὸν ἰσχυρότατον τῇ δυνάμει. τοὺς δὲ νόμους τοῖς ἀραχνίοις ὁμοίους· καὶ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀσθενὲς, στέγειν· ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεσθαι. ἔφασκέ τε σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ, τὴν σιγὴν δὲ καιρῷ. ἔλεγε δὲ τοὺς παρὰ τοῖς τυράννοις δυναμένους, παραπλησίους εἶναι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν λογισμῶν. καὶ γὰρ ἐκείνων ἑκάστην ποτὲ μὲν πλείω σημαίνειν, ποτὲ δὲ ἥττω· καὶ τούτων τοὺς τυράννους ποτὲ μὲν ἕκαστον μέγαν ἄγειν καὶ λαμπρὸν, ποτὲ δὲ ἄτιμον. ἐρωτηθεὶς διὰ τί κατὰ πατροκτόνου νόμον οὐκ ἔθηκε, Διὰ τὸ ἀπελπίσαι, ἔφη. πῶς τε ἥκιστα ἀδικοῖεν οἱ ἄνθρωποι, Εἰ ὁμοίως (ἔφη) ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι. καὶ τὸν μὲν κόρον ὑπὸ τοῦ πλούτου γεννᾶσθαι, τὴν δὲ ὕβριν ὑπὸ τοῦ κόρου. ἠξίωσέ τε Ἀθηναίους τὰς ἡμέρας κατὰ σελήνην ἄγειν. καὶ Θέσπιν ἐκώλυσε τραγῳδίας ἄγειν τε καὶ διδάσκειν, ὡς ἀνωφελῆ τὴν ψευδολογίαν. ὅτ' οὖν Πεισίστρατος ἑαυτὸν κατέτρωσεν, ἐκεῖθεν μὲν ἔφη ταῦτα φῦναι. τοῖς τε ἀνθρώποις συνεβούλευσεν (ὥς φησιν Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν φιλοσόφων αἱρέσεων) τάδε, Καλοκαγαθίαν ὅρκου πιστοτέραν ἔχε. μὴ ψεύδου. τὰ σπουδαῖα μελέτα. φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ἀποδοκίμαζε. ἄρχε, πρῶτον μαθὼν ἄρχεσθαι. συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ κάλλιστα. νοῦν ἡγεμόνα ποιοῦ. μὴ

κακοῖς ὁμίλει. θεοὺς τίμα, γονέας αἰδοῦ. φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος,

Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
Ἑξηκονταέτη μοῖρα κίχοι θανάτου, ἐπιτιμῶντα αὐτῷ εἰπεῖν,

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο.
Μηδὲ μέγαιρ' ὅτι σ' εὖ τοῖον ἐπεφρασάμην.
Καὶ μεταποίησον ἀγιαὶ τάδί· ὧδε δ' ἄειδε,
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου. τῶν δὲ ᾀδομένων αὐτοῦ ἐστὶ τάδε,

Πεφυλαγμένος ἄνδρα ἕκαστον,
Ὅρα μὴ κρυπτὸν ἔγχος ἔχων
Κραδίῃ, φαιδρῷ προσεννέπῃ προσώπῳ,
Γλῶσσα δέ οἱ διχόμυθος
Ἐκ μελαίνας φρενὸς γεγωνῇ.

γέγραφε δὲ δῆλον μὲν ὅτι τοὺς νόμους, καὶ δημηγορίας δὲ, καὶ εἰς ἑαυτὸν ὑποθήκας, ἐλεγεῖα, καὶ τὰ περὶ Σαλαμῖνος καὶ τῆς Ἀθηναίων πολιτείας ἔπη πεντακισχίλια, καὶ ἰάμβους καὶ ἐπῳδούς. ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τόδε,

Ἡ Μήδων ἄδικον παύσασ' ὕβριν, ἥδε Σόλωνα
Τόνδε τεκνεῖ Σαλαμὶς θεσμοθέτην ἱερόν.

ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν ἕκτην Ὀλυμπιάδα, ἧς τῷ τρίτῳ ἔτει ἦρξεν Ἀθηναίων, καθά φησι Σωσικράτης. ὅτε καὶ τίθησι τοὺς νόμους. ἐτελεύτησε δ' ἐν Κύπρῳ, βιοὺς ἔτη ὀγδοήκοντα. τοῦτον ἐπισκήψας τοῖς ἰδίοις τὸν τρόπον, ἀποκομίσαι αὐτοῦ τὰ ὀστᾶ εἰς Σαλαμῖνα, καὶ τεφρώσαντας εἰς τὴν χώραν σπεῖραι. ὅθεν καὶ Κρατῖνος ἐν τοῖς Χείροσι φησὶν, αὐτὸν ποιῶν λέγοντα,

Οἰκέω δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος,
Ἐσπαρμένος κατὰ πᾶσαν Αἴαντος πόλιν.

ἔστι δὲ καὶ ἡμέτερον ἐπίγραμμα ἐν τῇ προειρημένῃ παμ-

μέτρῳ, ἔνθα καὶ περὶ πάντων τῶν τελευτησάντων ἐλλογίμων διείλεγμαι παντὶ μέτρῳ καὶ ῥυθμῷ ἐπιγράμμασι καὶ μέλεσιν, ἔχον οὕτως,

Σῶμα μὲν ἦρε Σόλωνος ἐν ἀλλοδαπῇ Κύπριον πῦρ,
Ὀστᾶ δ' ἔχει Σαλαμὶς, ὧν κόνις ἀστάχυες.
Ψυχὴν δ' ἄξονες ὦκα πρὸς οὐρανὸν ἤγαγον. εὖ γὰρ
Θῆκε νόμοις αὐτοῖς ἄχθεα κουφότατα.

ἀπεφθέγξατο δὲ (φασὶ) Μηδὲν ἄγαν. καὶ αὐτόν φησι Διοσκουρίδης ἐν τοῖς ἀπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα (ὃν ἡμεῖς οὐ παρειλήφαμεν) πρὸς τὸν εἰπόντα, Ἀλλ' οὐδὲν ἀνύτεις, εἰπεῖν, Δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω. φέρονται δὲ αὐτοῦ καὶ ἐπιστολαὶ αἵδε·

Σόλων Περιάνδρῳ.

Ἐπαγγέλλεις μοι πολλούς τοι ἐπιβουλεύειν. σὺ δὲ εἰ μὲν μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, οὐκ ἂν φθάνοις. ἐπιβουλεύσειε δ' ἄν τις καὶ τῶν ἀνυπόπτων, ὁ μὲν, δεδιὼς περὶ αὐτῷ, ὁ δὲ, σοῦ καταγνοὺς, οὐκ ἔσθ' ὅ,τι οὐκ ὀρρωδοῦντος· κἂν τῇ πόλει χάριν καταθοῖτο ἐξευρὼν ἢν μὴ ὕποπτος εἴης. ἄριστον μὲν οὖν τὴν ἀπέχεσθαι, ἵνα τῆς αἰτίας ἀπαλλαγείης. εἰ δὲ πάντως τυραννητέον, φροντίζειν ὅπως τὴν ἀλλοδαπὴν δύναμιν μείζονα ἕξεις τῆς ἐν τῇ πόλει, καὶ οὐδεὶς ἔτι τοι δεινός· μηδὲ σὺ ἐκποδὼν τινὰ ποιοῦ.

Σόλων Ἐπιμενίδῃ.

Οὔτε οἱ ἐμοὶ θεσμοὶ ἄρα Ἀθηναίοις ἐπιπολὺ ὀνήσειν ἔμελλον, οὔτε σὺ καθήρας τὴν πόλιν ὤνησας. τό,τε γὰρ θεῖον καὶ οἱ νομοθέται οὐ καθ' ἑαυτὰ δύνανται ὀνῆσαι τὰς πόλεις, οἱ δὲ ἀεὶ τὸ πλῆθος ἄγοντες ὅπως ἂν γνώμης ἔχωσιν. οὕτω δὲ καὶ τὸ θεῖον καὶ οἱ νόμοι, εὖ μὲν ἀγόντων εἰσὶν ὠφέλιμοι· κακῶς δὲ ἀγόντων, οὐδὲν ὠφελοῦσιν. οὐδ'

οἱ ἐμοὶ ἀμείνους εἰσί, καὶ ὅσα ἐγὼ ἐνομοθέτησα. οἱ δ' ἐπιτρέποντες τὸ κοινὸν ἔβλαπτον, οἳ οὐκ ἐγίνοντο ἐμποδὼν Πεισιστράτῳ ἐπιθέσθαι τυραννίδι. οὐδὲ ἐγὼ προλέγων, πιστὸς ἦν· ἐκεῖνος δὲ πιστότερος, κολακεύων Ἀθηναίοις, ἐμοῦ ἀληθεύοντος. ἐγὼ δὴ θέμενος πρὸ τοῦ στρατηγίου τὰ ὅπλα εἶπον, τῶν μὲν μὴ αἰσθανομένων Πεισίστρατον τυραννησείοντα εἶναι ξυνετώτερος, τῶν δὲ ὀκνούντων ἀμύνασθαι ἀλκιμώτερος. οἱ δὲ μανίαν Σόλωνος κατεγίνωσκον. τελευτῶν δὲ ἐμαρτυράμην, Ὦ πατρίς, οὗτος μὲν Σόλων, ἕτοιμός τε καὶ λόγῳ καὶ ἔργῳ ἀμύνειν, τοῖς δ' αὖ καὶ μαίνεσθαι δοκῶ. ὥς τε ἄπειμί οἱ ἐκ μέσου ὁ μόνος ἐχθρὸς Πεισιστράτου· οὗτοι δὲ καὶ δορυφορούντων αὐτὸν εἴ τι βούλονται. ἴσθι γὰρ τὸν ἄνδρα, ὦ ἑταῖρε, δεινότατα ἁψάμενον τῆς τυραννίδος. ἤρξατο μὲν δημαγωγεῖν, εἶτα δὲ ἑαυτῷ τραύματα ποιήσας, παρελθὼν ἐπ' Ἡλιαίαν ἐβόα, φάμενος πεπονθέναι ταῦτα ὑπὸ τῶν ἐχθρῶν· καὶ φύλακας ἠξίου παρασχεῖν οἱ τετρακοσίους τοὺς νεωτάτους· οἱ δὲ, ἀνηκουστήσαντές μου, παρέσχον τοὺς ἄνδρας· οὗτοι δὲ ἦσαν κορυνηφόροι. καὶ μετὰ τοῦτο τὸν δῆμον κατέλυσεν. ἢ μάτην ἔσπευδον ἀπαλλάξαι τοὺς πένητας αὐτῶν τῆς θητείας, οἵ γε δὴ νῦν ξύμπαντες ἑνὶ δουλεύουσι Πεισιστράτῳ.

## Σόλων Πεισιστράτῳ.

Πιστεύω μηδὲν κακὸν ὑπὸ σοῦ πείσεσθαι. καὶ γὰρ πρὸ τῆς τυραννίδος φίλος σοὶ ἦν· καὶ νῦν οὐ μᾶλλον διάφορος ἢ τῶν ἄλλων τις Ἀθηναίων ὅτῳ μὴ ἀρέσκει τυραννίς. εἴτε δὲ ὑφ' ἑνὸς ἄρχεσθαι ἄμεινον αὐτοῖς, εἴτε δεῖ δημοκρατεῖσθαι, πεπείσθω ᾗ ἑκάτερος γινώσκει. καί σε φημὶ πάντων τυράννων εἶναι βέλτιστον. ἐπανήκειν δέ μοι Ἀθήναζε οὐ καλῶς ἔχον ὁρῶ, μή μέ τις μέμψηται, εἰ διαθεὶς Ἀθηναίοις ἰσοπολιτείαν, καὶ παρὸν τυραννεῖν, αὐτὸς οὐκ ἀξιώσας, νῦν ἐπανελθὼν ἀρέσκοιμι οἷς σὺ πράσσεις.

Σόλων Κροίσῳ.

Ἄγαμαί σε τῆς περὶ ἡμᾶς φιλοφροσύνης· καὶ νὴ τὴν Ἀθηνᾶν, εἰ μὴ περὶ παντός μοι ἦν οἰκεῖν ἐν δημοκρατίᾳ, ἐδεξάμην ἂν μᾶλλον τὴν δίαιταν ἔχειν ἐν τῇ παρὰ σοὶ βασιλείᾳ, ἢ Ἀθήνησι, τυραννοῦντος βιαίως Πεισιστράτου. ἀλλὰ καὶ ἡδίων ἡμῖν ἡ βιοτὴ ἔνθα πᾶσι τὰ δίκαια καὶ ἴσα· ἀφίξομαι δ' οὖν παρά σε, σπεύδων σοι ξένος γενέσθαι.

## ΧΕΙ'ΛΩΝ.

Χείλων Δαμαγήτου Λακεδαιμόνιος. οὗτος ἐποίησεν ἐλεγεῖα εἰς ἔπη διακόσια, καὶ ἔφασκε πρόνοιαν περὶ τοῦ μέλλοντος λογισμῷ καταληπτὴν εἶναι ἀνδρὸς ἀρετήν. πρός τε τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος, Ἐγὼ μὲν γὰρ ἐπίσταμαι ἀδικεῖσθαι, σὺ δὲ οὔ. γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν ἕκτην Ὀλυμπιάδα. Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην. καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης. καὶ πρῶτος εἰσηγήσατο, ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι· Σάτυρος δὲ Λυκοῦργον. οὗτος (ὥς φησιν Ἡρόδοτος) Ἱπποκράτει θυομένῳ ἐν Ὀλυμπίᾳ τῶν λεβήτων αὐτομάτως ζεσάντων, συνεβούλευσεν ἢ μὴ γῆμαι, ἤ, εἰ ἔχοι γυναῖκα, ἐκπέμψαι, καὶ παῖδας ἀπείπασθαι. φασὶ δ' αὐτὸν καὶ Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι, Τὰ μὲν ὑψηλὰ ταπεινῶν, τὰ δὲ ταπεινὰ ὑψῶν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ἐλπίσιν ἀγαθαῖς. τί δύσκολον, Τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν. προσέταττε δὲ καὶ ταῦτα, Γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι ἐφ' οἷς λυπήσεσθαι. μὴ ἀπειλεῖν μηδενί. γυναι-

κερδεῖς γάρ. ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι. γάμον εὐτελῆ ποιεῖσθαι. τὸν τεθνηκότα μὴ κακολογεῖν. γῆρας τιμᾶν. φυλάττειν ἑαυτόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. ἀτυχοῦντι μὴ ἐπιγελᾶν. ἰσχυρὸν ὄντα, πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. μανθάνειν τῆς αὑτοῦ οἰκίας καλῶς προστατεῖν. τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ. θυμοῦ κρατεῖν. μαντικὴν μὴ ἐχθαίρειν. μὴ ἐπιθυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ σπεύδειν. λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. νόμοις πείθεσθαι. ἠρεμίᾳ χρῆσθαι. τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησεν ἐκεῖνο, Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον. φασὶ δ' αὐτόν ποτε, γηραιὸν ἤδη ὄντα, εἰπεῖν ὡς οὐδὲν συνειδείη ἄγνωμον ἑαυτῷ ἐν τῷ βίῳ. διστάζειν δὲ περὶ ἑνός· κρίνων γάρ ποτε φίλῳ δίκην, αὐτὸς μὲν κατὰ τὸν νόμον, τὸν δὲ φίλον πείσειν ἀποδικάσαι αὑτοῦ, ἵνα ἀμφότερα καὶ τὸν νόμον καὶ τὸν φίλον τηρήσῃ. ἐνδοξότατος δὲ μάλιστα παρὰ τοῖς Ἕλλησιν ἐγένετο, προειπὼν περὶ Κυθήρας τῆς νήσου τῆς Λακωνικῆς. καταμαθὼν γὰρ τὴν φύσιν αὐτῆς, Εἴθε (ἔφη) μὴ ἐγεγόνει, ἢ γενομένη καταβυθισθῆναι. καὶ εὖ προὐνοήσατο. Δημάρατος μὲν γὰρ, φυγὰς ὢν Λακεδαιμονίων, Ξέρξῃ συνεβούλευσε τὰς ναῦς συνέχειν ἐν τῇ νήσῳ. κἂν ἑαλώκει ἡ Ἑλλάς, εἰ ἐπείσθη Ξέρξης. ὕστερόν τε Νικίας ἐπὶ τῶν Πελοποννησιακῶν καταστρεψάμενος τὴν νῆσον, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα τοὺς Λακεδαιμονίους κακὰ διέθηκε. Βραχυλόγος τε ἦν· ὅθεν καὶ Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χειλώνειον καλεῖ. Βράγχον δὲ εἶναι ὃς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βραγχίδαις. ἦν δὲ γέρων περὶ τὴν πεντηκοστὴν δευτέραν Ὀλυμπιάδα, ὅτε Αἴσωπος ὁ λογοποιὸς ἤκμαζεν.

ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν ὀλυμπιονίκην ἀσπασάμενος πυγμῆς. ἔπαθε δὲ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. καὶ αὐτὸν πάντες οἱ κατὰ τὴν πανήγυριν ἐντιμότατα παρέπεμψαν. ἔστι δὲ καὶ εἰς τοῦτον ἐπίγραμμα ἡμῶν,

Φωσφόρε σοὶ Πολύδευκες ἔχω χάριν οὕνεκεν υἱὸς
 Χείλωνος πυγμῇ χλωρὸν ἕλεν κότινον.
Εἰ δ' ὁ πατὴρ στεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡσθείς,
 Οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θάνατος.

ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τόδε,

Τόνδε δορυστέφανος Σπάρτα Χείλων' ἐφύτευσεν,
 Ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίῃ.

ἀπεφθέγξατο, Ἐγγύα, πάρα δ' ἄτα. ἔστιν αὐτοῦ καὶ ἐπιστόλιον τόδε·

Χείλων Περιάνδρῳ.

Ἐπιστέλλεις ἐμὶν ἀστρατείαν ἐπὶ ἐκδάμως, ὡς αὐτὸς καὶ ἐξέρποις. ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκεῖα σφαλερὰ ἦμεν ἀνδρὶ μονάρχῳ, καὶ τῆνον τυράννων εὐδαιμονίζω ὅστις καὶ οἴκοι ἐξ αὐτὸς αὐτοῦ καταθάνῃ.

## ΠΙΤΤΑΚΟ'Σ.

Πιττακὸς Ὑρραδίου Μιτυληναῖος. φησὶ δὲ Δοῦρις τὸν πατέρα αὐτοῦ Θρᾶκα εἶναι. οὗτος μετὰ τῶν Ἀλκαίου γενόμενος ἀδελφῶν, Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον, καὶ περὶ τῆς Ἀχιλλείτιδος χώρας μαχομένων Ἀθηναίων καὶ Μιτυληναίων, ἐστρατήγει μὲν αὐτός, Ἀθηναίων δὲ Φρύνων παγκρατιαστὴς ὀλυμπιονίκης. συνέθετο δὴ μονομαχῆσαι πρὸς αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα, λαθραίως περιέβαλε τὸν Φρύνωνα· καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς διαδικασθῆναι τοὺς Ἀθηναίους

περὶ τοῦ χωρίου πρὸς τοὺς Μιτυληναίους, ἀκούοντος τῆς δίκης Περιάνδρου· ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι. τότε δ' οὖν τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μιτυληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρησαν αὐτῷ. ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχήν, καὶ δέκα ἐπεβίω ἄλλα. καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μιτυληναῖοι· ὁ δὲ ἱερὰν ἀνῆκεν, ἥτις νῦν Πιττάκειος καλεῖται. Σωσικράτης δέ φησιν ὅτι ὀλίγον ἀποτεμόμενος, ἔφη Τὸ ἥμισυ τοῦ παντὸς πλεῖον εἶναι. ἀλλὰ καὶ Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο, διπλάσια. ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι. Παμφίλη δέ φησιν ἐν δευτέρῳ τῶν ὑπομνημάτων, ὡς τὸν υἱὸν αὐτοῦ Πυῤῥαῖον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνέλοι. τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Πιττακῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν, Συγγνώμη μετανοίας κρείσσων. Ἡράκλειτος δέ φησιν Ἀλκαῖον ὑποχείριον λαβόντα καὶ ἀπολύσαντα φάναι, Συγγνώμη τιμωρίας κρείσσων. νόμους δὲ ἔθηκε τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν. ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου. εἶπέ τε χαλεπὸν, ἐσθλὸν ἔμμεναι. οὗ καὶ Σιμωνίδης μέμνηται, λέγων, Ἄνδρα ἀγαθὸν ἀλαθέως γενέσθαι χαλεπὸν, τὸ Πιττάκειον. μέμνηται αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ. Ἀνάγκᾳ δ' οὐ θεοὶ μάχονται. καὶ, Ἀρχὴ ἄνδρα δεικνύει. ἐρωτηθεὶς δέ ποτε τί ἄριστον, Τὸ παρὸν εὖ ποιεῖν. καὶ ὑπὸ Κροίσου, τίς ἀρχὴ μεγίστη, Ἡ τοῦ ποικίλου (ἔφη) ξύλου· σημαίνων τὸν νόμον. ἔλεγε δὲ καὶ τὰς νίκας ἄνευ αἵματος ποιεῖσθαι. ἔφη δὲ καὶ πρὸς τὸν Φωκαϊκὸν φάσκοντα, Δεῖ ζητεῖν ἄνθρωπον σπουδαῖον, Ἂν λίαν (ἔφη) ζητῇς, οὐχ εὑρήσεις. καὶ πρὸς τοὺς πυνθανομένους τί εὐχάριστον, Χρόνος, ἔφη. ἀφανὲς, τὸ μέλλον. πιστὸν, γῆ· ἄπιστον, θάλασσα. ἔλεγέ τε συνετῶν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσ-

χρῆ, προνοῆσαι ὅπως μὴ γένηται· ἀνδρείων δὲ, γενόμενα εὖ θέσθαι. ὃ μέλλεις πράττειν, μὴ προλέγε· ἀποτυχὼν γὰρ, γελασθήσῃ. ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδούμενον. παρακαταθήκην λαβόντα, ἀποδοῦναι. φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. εὐσέβειαν ἀσκεῖν. σωφροσύνην φιλεῖν. ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, ἐπιμέλειαν. τῶν δὲ ᾀσμάτων αὐτοῦ μάλιστα εὐδοκίμησε τάδε, Ἔχοντα δεῖ τόξον καὶ ἰοδόκον φαρέτραν, στείχειν ἐπὶ φῶτα κακόν. πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ, διχόμυθον ἔχουσα κραδίη νόημα. ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη ἑξακόσια, καὶ ὑπὲρ νόμων καταλογάδην τοῖς πολίταις. ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν Ὀλυμπιάδα· ἐτελεύτησε δ' ἐπὶ Ἀριστομένους, τῷ τρίτῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας Ὀλυμπιάδος, βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα, ἤδη γηραιός. καὶ αὐτῷ ἐπὶ τοῦ μνήματος ἐπιγέγραπται τόδε,

Οἰκείοις δακρύοις ἁ γειναμένα κατεδάπτει
 Ἐνθάδε Πιττακὸν ἡδ' ἱερὰ Λέσβος.

ἀπόφθεγμα αὐτοῦ, Καιρὸν γνῶθι. Γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης, (ὥς φησι Φαβωρῖνος ἐν ἀπομνημονευμάτων πρώτῳ, καὶ Δημήτριος ἐν ὁμωνύμοις) ὃς καὶ μικρὸς προσηγορεύθη. τὸν δ' οὖν σοφὸν λέγεταί ποτε νεανίσκῳ συμβουλευομένῳ περὶ γάμου ταῦτα εἰπεῖν ἅ φησι Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασι,

Ξεῖνος Ἀταρνείτης τις ἀνήρετο Πιττακὸν οὕτως
 Τὸν Μιτυληναῖον, παῖδα τὸν Ὑρράδιου.
Ἄττα, γέρον, δοιός με καλεῖ γάμος. ἡ μία μὲν δὴ
 Νύμφη, καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·
Ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε σύν μοι
 Βούλευσον ποτέρην εἰς ὑμέναιον ἄγω.
Εἶπεν. ὁ δὲ σκίπωνα γεροντικὸν ὅπλον ἀείρας,
 Ἠνίδε κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος.

Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
Κείνων ἔρχεο (φησὶ) μετ' ἴχνια. χὠ μὲν ἐπέστη
Πλησίον· οἱ δ' ἔλεγον, Τὴν κατὰ σαυτὸν ἔλα.
Ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
Δράξασθαι, παίδων κληδόνα συνθέμενος.
Τὴν δ' ὀλίγην, ὡς κεῖνος, ἐς οἰκίον ἤγετο νύμφην.
Οὕτω καὶ σὺ Δίων τὴν κατὰ σαυτὸν ἔλα.

δοκεῖ δ' ἐκ διαθέσεως αὐτὰ εἰρηκέναι. εὐγενεστέρα γὰρ αὐτῷ οὖσα ἡ γυνή, ἐπειδήπερ ἦν Δράκοντος ἀδελφὴ τοῦ Πενθίλου, σφόδρα κατεσοβαρεύετο αὐτόν. τοῦτον Ἀλκαῖος Σαράποδα μὲν καὶ Σάραπον ἀποκαλεῖ, διὰ τὸ πλατύπουν εἶναι καὶ ἐπισύρειν τὼ πόδε· Χειροπόδην δέ, διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλουν· Γαύρηκα δέ, ὡς εἰκῇ γαυριῶντα· Φύσκωνα δὲ καὶ Γάστρωνα, ὅτι παχὺς ἦν· ἀλλὰ μὴν καὶ Ζοφοδορπίδαν, ὡς ἄλυχνον· Ἀγάσυρτον δέ, ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν. τούτῳ γυμνάσιον, σῖτον ἀλεῖν, ὡς φησι Κλέαρχος ὁ φιλόσοφος. καὶ αὐτοῦ ἐστιν ἐπιστόλιον τόδε·

Πιττακὸς Κροίσῳ.

Κέλεαί με ἱκνεῖσθαι ἐς Λυδίαν, ὅπως τοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ καὶ μὴ ὁρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλήων πολυχρυσότατον πέλειν. οὐδέν τε πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ οὐ δεύμεθ', ἀλλ' ἃ πέπαμαι, ἄρκια καὶ τοῖς ἐμοῖς ἑταίροις. ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμαν τοι συνόμιλος.

## ΒΙΑΣ.

Βίας Τευτάμου, Πριηνεύς, προκεκριμένος τῶν ἑπτὰ ὑπὸ Σατύρου. τοῦτον οἱ μὲν πλούσιον, Δοῦρις δὲ πάροι-

κοῦ φησι γεγονέναι. Φανόδικος δὲ κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας, θρέψαι τε ὡς θυγατέρας καὶ προῖκας ἐπιδοῦναι, καὶ εἰς τὴν Μεσσήνην ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν. χρόνῳ δ' ἐν ταῖς Ἀθήναις (ὡς προείρηται) τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων, τοῦ χαλκοῦ ἐπιγραφὴν ἔχοντος, Τῷ σοφῷ, Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας (οἱ δὲ, τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος) εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφὸν, διηγησαμένας τὰ καθ' ἑαυτάς. καὶ ἀπεστάλη ὁ τρίπους· καὶ ὁ Βίας ἰδὼν, ἔφη τὸν Ἀπόλλω σοφὸν εἶναι, οὐδὲ προσήκατο. οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπεὶ ἀπόγονος ἦν Θηβαίων ἀποικίαν ἐς Πριήνην στειλάντων· ὥσπερ καὶ Φανόδικος φησί. λέγεται δὲ καὶ Ἀλυάττου πολιορκοῦντος Πριήνην, τὸν Βίαντα, πιήναντα δύο ἡμιόνους, ἐξελάσαι εἰς τὸ στρατόπεδον. τὸν δὲ, συνιδόντα, καταπλαγῆναι μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθένειαν· καὶ ἐβουλήθη σπείσασθαι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωροὺς ψάμμου χέας, καὶ ἄνωθεν σῖτον περιχέας, ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. θᾶττον δὴ αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα ἵνα ἥκῃ παρ' αὐτὸν, Ἐγὼ δὲ, (φησὶν) Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν, ἶσον τῷ κλαίειν. λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν. ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ προσεχρῆτο. ὅθεν καὶ Δημόδικος ὁ Ἀλέριος τοῦτο αἰνίττεται, λέγων, Ἢν τύχῃς κρίνων, δίκαζε τὴν Πριηνίην δίκην. καὶ Ἱππῶναξ, ἃ καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρεῖσσον. τοῦτον οὖν καὶ ἐτελεύτα τὸν τρόπον. δίκην γὰρ ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως ὑπάρχων, μετὰ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους. εἰπόντος δὲ καὶ τοῦ ἐξ ἐναντίας,

καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου, νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν,

Κλεινῆς ἐν δαπέδοισι Πριώνης φύντα καλύπτει
Ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

ἀλλὰ καὶ ἡμεῖς,

Τῇδε Βίαντα κέκευθε, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
Εἰς ἀΐδην πολιῷ γήραϊ νιφόμενον.
Εἶπε γὰρ, εἶπε δίκην ἑτάρου τινὸς, εἶτ' ἀποκλινθεὶς
Παιδὸς ἐς ἀγκαλίδας, μακρὸν ἔτεινεν ὕπνον.

ἐποίησε δὲ περὶ Ἰωνίας, τίνα μάλιστα ἂν τρόπον εὐδαιμονοίη, εἰς ἔπη δισχίλια. τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε, Ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει αἴ κε μένῃς· πλείσταν γὰρ ἔχει χάριν. αὐθάδης δὲ τρόπος πολλάκι βλαβερὰν ἐξέλαμψεν ἄταν. καὶ τὸ μὲν ἰσχυρὸν γενέσθαι, τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πατρίδι, ψυχῆς ἴδιον καὶ φρονήσεως. εὐπορίαν δὲ χρημάτων πολλοῖς καὶ διὰ τύχην περιγίνεσθαι. ἔλεγε δὲ ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα. καὶ νόσον ψυχῆς, τὸ τῶν ἀδυνάτων ἐρᾶν, ἀλλοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶναι. ἐρωτηθεὶς τί δυσχερὲς, Τὴν ἐπὶ τὸ χεῖρον ἔφη μεταβολὴν εὐγενῶς ἐνεγκεῖν. συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, Σιγᾶτε (ἔφη) μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου τί ποτέ ἐστιν εὐσέβεια, ἐσίγα. τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, Σιωπῶ (ἔφη) ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ. ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις, Ἐλπὶς, ἔφη. ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων. τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον. ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη, Κερδαίνων. ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ

πολὺν

πολλῷ καὶ ὀλίγον χρόνον βιωσομένους. καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. συνεβούλευέ τε ὧδε, Βραδέως ἐγχείρει τοῖς πραττομένοις· ὃ δ᾽ ἂν ἕλῃ, βεβαίως τηρῶν διάμενε. Μὴ ταχὺ λάλει· μανίαν γὰρ ἐμφαίνει. Φρόνησιν ἀγάπα. Περὶ θεῶν λέγε, ὡς εἰσίν. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λάβε, μὴ βιασάμενος. Ὅ,τι ἂν ἀγαθὸν πράττῃς, εἰς θεοὺς ἀνάπεμπε. Ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων. μέμνηται δὲ τοῦ Βίαντος καὶ Ἱππῶναξ, ὡς προείρηται. καὶ ὁ δύσαρεστος Ἡράκλειτος μάλιστα αὐτὸν ἐπῄνεσε, γράψας, Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων. καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον. ἀπεφθέγξατο, Οἱ πλεῖστοι κακοί.

## ΚΛΕΟΒΟΥΛΟΣ.

Κλεόβουλος, Εὐαγόρου, Λίνδιος· ὡς δὲ Δοῦρις, Κάρ. ἔνιοι δὲ εἰς Ἡρακλέα ἀναφέρειν τὸ γένος αὐτόν· ῥώμῃ δὲ καὶ κάλλει διαφέρειν· μετασχεῖν τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. γενέσθαι τε αὐτῷ θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτειαν· ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ἐπιγράψας. ἀλλὰ καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀνανεώσασθαι αὐτὸν ἀπὸ Δαναοῦ. οὗτος ἐποίησεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια. καὶ τὸ ἐπίγραμμα τινὲς τὸ ἐπὶ Μίδᾳ τοῦτον φασὶ ποιῆσαι,

Χαλκῆ παρθένος εἰμὶ, Μίδου δ᾽ ἐπὶ σήματι κεῖμαι.
Ἔστ᾽ ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
Ἠέλιός τ᾽ ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη.
Καὶ ποταμοὶ ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
Αὐτοῦ τῇδε μένουσα πολυκλαύστῳ ἐπὶ τύμβῳ,

Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

φέρουσι δὲ μαρτύριον, Σιμωνίδου ᾆσμα, ὅπου φησί, Τίς κεν αἰνήσειε νῷ πίσυνος Λίνδου ναέταν Κλεόβουλον ἀενάοις ποταμοῖς, ἄνθεσί τ' εἰαρινοῖς, ἀελίου τε φλογὶ χρυσέας τε σελάνας, καὶ θαλασσαίαισι δίναις ἀντιθέντα μένος στάλας; ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ καὶ βρότιοι παλάμαι θραύοντι. μωροῦ φωτὸς ἅδε βουλά. οὐ γὰρ εἶναι Ὁμήρου τὸ ἐπίγραμμα, πολλοῖς ἔτεσι προέχοντος (φασὶ) τοῦ Μίδου. φέρεται δ' αὐτοῦ ἐν τοῖς Παμφίλης ὑπομνήμασι καὶ αἴνιγμα τοῖον,

Εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάστῳ
Παῖδες τριήκοντα διάνδιχα εἶδος ἔχουσαι·
Αἱ μὲν, λευκαὶ ἔασιν ἰδεῖν· αἱ δ' αὖτε, μέλαιναι·
Ἀθάνατοι δέ τε οὖσαι ἀποφθινύθουσιν ἅπασαι.

ἔστι δὲ ὁ ἐνιαυτός. τῶν δὲ ᾀδομένων εὐδοκίμησεν αὐτοῦ τάδε, Ἀμουσία τὸ πλέον μέρος ἐν βροτοῖσι, λόγων τε πλῆθος. ἀλλ' ὁ καιρὸς ἀρκέσει. Φρόνει τι κεδνόν. Μὴ μάταιος ἄχαρις γινέσθω. Ἔφη δὲ δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους μὲν τὴν ἡλικίαν, τὸ φρονεῖν δὲ, γυναῖκας. ὑποδεικνὺς ὅτι δεῖ παιδεύεσθαι καὶ τὰς παρθένους. Ἔλεγέ τε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος· τὸν δὲ ἐχθρὸν, φίλον ποιεῖν. φυλάσσεσθαι γὰρ τῶν μὲν φίλων, τὸν ψόγον· τῶν δὲ ἐχθρῶν, τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ πάλιν, ζητείτω τί ἔπραξε. Συνεβούλευέ τε εὖ τὸ σῶμα ἀσκεῖν. Φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ. Γλῶσσαν εὔφημον ἴσχειν. Ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον. Ἀδικίαν φεύγειν. Πόλει τὰ βέλτιστα συμβουλεύειν. Ἡδονῆς κρατεῖν. Βίᾳ μηδὲν πράττειν. Τέκνα παιδεύειν. Ἔχθρας διαλύειν. Γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων. τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνει.

Οἰκέτην πάροινον μὴ κολάζειν· δοκεῖν γὰρ παροινεῖν. Γαμεῖν ἐκ τῶν ὁμοίων. Ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς (φησὶ) δεσπότας κτήσῃ τοὺς συγγενέας. Μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τούτοις. Εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος. Ἀπορήσας, μὴ ταπεινοῦ. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν. ἐτελεύτησε δὲ γηραιὸς, ἔτη βιοὺς ἑβδομήκοντα· καὶ αὐτῷ ἐπεγράφη,

Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
Ἥδε πάτρα Λίνδος, πόντῳ ἀγαλλομένη.

ἀπεφθέγξατο, Μέτρον ἄριστον. καὶ Σόλωνι ἐπέστειλεν οὕτω·

Κλεόβουλος Σόλωνι.

Πολλοὶ μέν τινες εἰσὶν ἑταῖροι, καὶ οἶκος παντί· φαμὶ δὲ ἐγών τοι ἀνιωτάταν ἐσσεῖσθαι Σόλωνι ταν Λίνδον δαμοκρατευμέναν· καὶ ἁ νᾶσος πελαγία, ἔνθα οἰκέοντι οὐδὲν δεινὸν ἐκ Πεισιστράτου. καὶ τοὶ ἑταῖροι δὲ ἑκασταχόθεν πάρ τοι βασοῦνται.

## ΠΕΡΙΑΝΔΡΟΣ.

Περίανδρος, Κυψέλου, Κορίνθιος, ἀπὸ τοῦ τῶν Ἡρακλειδῶν γένους. οὗτος γήμας Λυσίδην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου, καὶ Ἐρισθενείας τῆς Ἀριστοκράτους παιδὸς, ἀδελφῆς δὲ τοῦ Ἀριστοδήμου, θυγατέρα, οἳ σχεδὸν πάσης Ἀρκαδίας ἐπῆρξαν (ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ ἀρχῆς) παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελλον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον, συνετόν, τὸν δὲ πρεσβύτερον, ἄφρονα. χρόνῳ δὴ ὑπὸ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα, ἔγκυον οὖσαν, ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε. τόν τε παῖδα ἀπεκήρυξεν εἰς Κέρκυραν, λυπούμενον ἐπὶ τῇ μητρὶ, ᾧ

ὄνομα Λυκόφρων. ἤδη δ' ἐν γήρᾳ καθεστὼς μετεπέμπετο αὐτὸν ὅπως παραλάβῃ τὴν τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο. ὅθεν ὀργισθεὶς ἔπεμψε τοὺς παῖδας αὐτῶν πρὸς Ἀλυάττην ἐπ' ἐκτομῇ. προσχούσης δὲ τῆς νεὼς Σάμῳ, ἱκετεύσαντες τὴν Ἥραν, ὑπὸ τῶν Σαμίων διεσώθησαν. καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἔτη ὀγδοήκοντα. Σωσικράτης δέ φησι πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτεσι τετταράκοντα καὶ ἑνὶ πρὸ τῆς τεσσαρακοστῆς ἐννάτης ὀλυμπιάδος. τοῦτον Ἡρόδοτος ἐν τῇ πρώτῃ ξένον φησὶν εἶναι Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ. φησὶ δ' Ἀρίστιππος ἐν πρώτῳ περὶ παλαιᾶς τρυφῆς περὶ αὐτοῦ τάδε, ὡς ἄρα ἐρασθεῖσα ἡ μήτηρ αὐτοῦ Κράτεια, συνῆν αὐτῷ λάθρα. καὶ ὃς ἥδετο. φανεροῦ δὲ γενομένου βαρὺς πᾶσιν ἐγένετο, διὰ τὸ ἀλγεῖν ἐπὶ τῇ φωρᾷ. ἀλλὰ καὶ Ἔφορος ἱστορεῖ ὡς εὔξαιτο, εἰ νικήσειεν Ὀλύμπια τεθρίππῳ, χρυσοῦν ἀνδριάντα ἀναθεῖναι. νικήσας δὲ, καὶ ἀπορῶν χρυσίου, κατά τινα ἑορτὴν ἐπιχώριον κεκοσμημένας ἰδὼν τὰς γυναῖκας, πάντα ἀφείλετο τὸν κόσμον, καὶ ἔπεμψε τὸ ἀνάθημα. λέγουσι δέ τινες ὡς θελήσας αὐτοῦ τὸν τάφον μὴ γνωσθῆναι, τοιόνδε τι ἐμηχανήσατο. δυσὶν ἐκέλευσε νεανίσκοις (δείξας τινὰ ὁδὸν) ἐξελθεῖν νύκτωρ, καὶ τὸν ἀπαντήσαντα ἀνελεῖν καὶ θάψαι. ἔπειτα βαδίζειν ἄλλους τε κατὰ τούτων τέτταρας, καὶ ἀνελόντας θάψαι· πάλιν τε κατὰ τούτων πλείονας. καὶ οὕτως αὐτὸς τοῖς πρώτοις ἐντυχὼν ἀνῃρέθη. Κορίνθιοι δὲ ἐπί τι κενοτάφιον ἐπέγραψαν αὐτῷ τόδε,

Γλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε Κόρινθος
Κόλποις ἀγχιάλοις γῆ Περίανδρον ἔχει.

ἔστι καὶ ἡμῶν,

Μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
Τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.

Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
Οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.

Τούτου ἐστὶ καὶ τὸ, Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ τὰ κερδαντὰ κερδαίνειν. ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια. Εἶπέ τε τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν, τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις. καί ποτε ἐρωτηθεὶς διὰ τί τυραννεῖ, ἔφη, Ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει. ἔλεγε δὲ καὶ τάδε, Καλὸν ἡσυχία. Ἐπισφαλὲς προπέτεια. Κέρδος, αἰσχρόν. Δημοκρατία, κρεῖττον τυραννίδος. Αἱ μὲν ἡδοναὶ, φθαρταί· αἱ δὲ τιμαὶ, ἀθάνατοι. Εὐτυχῶν μὲν, μέτριος ἴσθι· δυστυχῶν δὲ, φρόνιμος. Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Ὃ ἂν ὁμολογήσῃς, διατήρει. Λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. Μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας, κόλαζε. οὗτος πρῶτος δορυφόρους ἔσχε, καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε· καὶ οὐκ εἴα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀριστοτέλης. ἤκμαζε δὲ περὶ τὴν τριακοστὴν ὀγδόην Ὀλυμπιάδα, καὶ ἐτυράννησεν ἔτη τετταράκοντα. Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν, τύραννον· τὸν δὲ, σοφὸν καὶ Ἀμπρακιώτην. τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνὸς, ἀνεψιούς τε εἶναι ἀλλήλοις. καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιον φησὶν εἶναι τὸν σοφόν· Πλάτων δὲ οὔ φησι. Τούτου ἐστὶ, Μελέτη τὸ πᾶν. ἤθελε δὲ καὶ τὸν Ἰσθμὸν διορύξαι. φέρεται δὲ αὐτοῦ καὶ ἐπιστολή·

Περίανδρος τοῖς σοφοῖς.

Πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλωνι, ὅτ' εἰς ἓν ἐλθόντας εὑρεῖ. ἥξουσι τε καὶ ἐς Κόρινθον ταὶ ἐμαὶ ἐπιστολαί. ἐγὼν δὲ ὑμᾶς ἀποδέχομαι, ὡς ἴσετε αὐτοὶ, ὅτι δαμοτικώτατα. πεύθομαι ὡς πέρυτι ἐγένετο ὑμῶν ἁλία παρὰ τὸν Λυδὸν

ἐς Σάρδις. ἤδη ὦν μὴ ὀκνεῖτε καὶ παρ' ἐμὲ φοιτῆν τὸν Κορίνθου τύραννον. ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι φοιτεῦντας εἰς οἶκον τὸν Περιάνδρου.

Περίανδρος Προκλεῖ.

Ἁμῖν μὲν ἀκούσιον τᾶς δάμαρτος τὸ ἄγος· τὺ δὲ, ἑκὼν τῷ παιδί μου ἀπὸ θυμοῦ ποιήσας, ἀδικεῖς. ἢ ὦν παῦσον τὰν ἀπήνειαν τῶ παιδὸς, ἢ ἐγώ τοι ἀμυνοῦμαι. καὶ γὰρ δὴ καὶ αὐτὸς ποινὰς ἔτισα τήν τε θυγατρὶ κατακαύσας αὐτᾷ κατὰ πᾶσαν Κορινθίαν εἵματα.

ἔγραψε δὲ αὐτῷ καὶ Θρασύβουλος οὕτως·

Θρασύβουλος Περιάνδρῳ.

Τῷ μὲν κήρυκι σεῦ οὐδὲν ὑπεκρινάμην. ἀγαγὼν δὲ αὐτὸν ἐς λήϊον, τοὺς ὑπερφυέας τῶν ἀσταχύων ῥάβδῳ παίων ἀπεθέριζον, ὁμαρτέοντος ἐκείνου. καί τοι ἀναγγελεῖ, εἰ ἐπέροιο, ὅ,τι μευ ἀκούσειεν ἢ ἴδοι. σύ τε ποίει οὕτως, ἤν γ' ἐθέλῃς καρτύνασθαι τὴν αἰσυμνητείην· τοὺς ἐξόχους τῶν πολιτέων ἐξαίρειν, ἤν τέ τις ἐχθρός τοι φαίνηται, ἤν τε μή. ὕποπτος ἀνδρὶ αἰσυμνήτῃ καὶ τῶν τις ἑταίρων.

## ἈΝΆΧΑΡΣΙΣ Ὁ ΣΚΎΘΗΣ.

Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱὸς, ἀδελφὸς δὲ Καδουΐδου τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλληνίδος. διὸ καὶ δίγλωττος ἦν. οὗτος ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων, καὶ τῶν παρὰ τοῖς Ἕλλησιν, εἰς εὐτέλειαν βίου, καὶ τὰ κατὰ τὸν πόλεμον, ἔπη ὀκτακόσια. παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. λέγει δὲ αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα, ἐπὶ ἄρχοντος Εὐκράτους. Ἕρμιππος δὲ πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον, τῶν θεραπόντων τινὶ κελεῦσαι,

μηνύσαν ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις, καὶ βούλοιτο αὐτὸν θεάσασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτι τοὺς ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. ἔνθεν ὁ Ἀνάχαρσις ἐλθὼν ἔφη, νῦν αὐτὸς ἐν τῇ πατρίδι εἶναι, καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. ὁ δὲ, καταπλαγεὶς τὴν ἑτοιμότητα, εἰσέφρησεν αὐτὸν, καὶ μέγιστον φίλον ἐποιήσατο. μετὰ χρόνον δὲ παραγενόμενος εἰς τὴν Σκυθίαν, καὶ νομίζων τὰ νόμιμα παραλύειν τῆς πατρίδος, πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τἀδελφοῦ, τελευτᾷ, εἰπὼν, Διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι. ἔνιοι δὲ τελετὰς Ἑλληνικὰς διατελοῦντα διαχρησθῆναι. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἤλυθε πολλὰ πλανηθεὶς,
Πάντας ἔπειθε βιοῦν ἤθεσιν Ἑλλαδικοῖς.
Τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
Πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Οὗτος τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον, ἡδονῆς· τὸν δεύτερον, μέθης· τὸν τρίτον, ἀηδίας. θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ μὴ τεχνῖται. Ἐρωτηθεὶς πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης, Εἰ πρὸ ὀφθαλμῶν (εἶπεν) ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας. Θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεὼς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε, διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς ἐπιμαίνεσθαι ἀλλήλοις. πῶς (ἔλεγεν) ἀπαγορεύοντες τὸ ψεύδεσθαι, ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται. καὶ θαυμάζειν φησὶ πῶς Ἕλληνες ἀρχόμενοι μὲν, ἐν μικροῖς πίνουσι·

πληρωθέντες δὲ, ἐν μεγάλοις. ἐπιγράφεται δὲ αὐτοῦ ταῖς εἰκόσι, Γλώσσης, γαστρὸς, αἰδοίων κρατεῖν. ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοὶ, εἶπεν, Ἀλλ' οὐδὲ ἄμπελοι. ἐρωτηθεὶς τίνα τῶν πλοίων εἰσὶν ἀσφαλέστερα, ἔφη, Τὰ νενεωλκημένα. καὶ τοῦτο ἔφη θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. ἐρωτηθεὶς πότεροι πλείους εἰσὶν, οἱ ζῶντες, ἢ οἱ νεκροὶ, ἔφη, Τοὺς οὖν πλέοντας ποῦ τίθης; ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστὶν, ἔφη, Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σὺ δὲ, τῆς πατρίδος. ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη, Γλῶσσα. κρεῖττον ἔλεγεν ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους. τὴν ἀγορὰν ὡρισμένον ἔφη τόπον εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ πλεονεκτεῖν. ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς, ἔφη, Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις. εὗρε δὲ εἰς τὸν βίον ἄγκυράν τε καὶ κεραμικὸν τροχὸν, ὥς τινες. καὶ ἐπέστειλεν ὧδε·

Ἀνάχαρσις Κροίσῳ.

Ἐγὼ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. χρυσοῦ δὲ οὐδὲν δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν ἐς Σκύθας ἄνδρα ἀμείνονα. ἥκω γοῦν ἐς Σάρδεις, περὶ μεγάλου ποιούμενος ἐν γνώμῃ τοι γενέσθαι.

## ΜΥΣΩΝ.

Μύσων Στρυμόνος, ὥς φησι Σωσικράτης, Ἕρμιππον παρατιθέμενος, τὸ γένος Χηνεὺς, ἀπὸ κώμης τινὸς Οἰταϊκῆς ἢ Λακωνικῆς, σὺν τοῖς ἑπτὰ καταριθμεῖται. φασὶ δὲ αὐτὸν καὶ τυράννου παῖδα εἶναι. λέγεται δὴ πρός τινος Ἀναχάρσιδος πυνθανομένου, εἴ τις αὐτοῦ σοφώ

τερος εἴη, τὴν Πυθίαν εἰπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑπὲρ Χείλωνος,

Οἰταῖόν τινα φημὶ Μύσων' ἐν Χηνὶ γενέσθαι
Σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

πολυπραγμονήσαντα δὴ ἐλθεῖν εἰς τὴν κώμην, καὶ εὑρεῖν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προσαρμόττοντα· καὶ εἰπεῖν, Ἀλλ', ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου· Καὶ μάλα (εἶπεν) ὥστε ἐπισκευάζειν. ἄλλοι δὲ τὸν χρησμὸν οὕτως ἔχειν φασίν, Ἠτεῖόν τινα φημί· καὶ ζητοῦσι τί ἐστιν ὁ Ἠτεῖος. Παρμενίδης μὲν οὖν δῆμον εἶναι Λακωνικῆς, ὅθεν εἶναι τὸν Μύσωνα. Σωσικράτης δ' ἐν Διαδοχαῖς, ἀπὸ μὲν πατρὸς Ἠτεῖον εἶναι, ἀπὸ δὲ μητρὸς, Χηνέα. Εὐθύφρων δ' ὁ Ἡρακλείδου τοῦ Ποντικοῦ, Κρῆτα φησὶν εἶναι· (Ἠτείαν γὰρ, πόλιν εἶναι Κρήτης) Ἀναξίλαος δ' Ἀρκάδα. μέμνηται δὲ αὐτοῦ καὶ Ἱππῶναξ, εἰπὼν, Καὶ Μύσων, ὃν Ἀπόλλων ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων. Ἀριστόξενος δέ φησιν ἐν τοῖς σποράδην, οὐ πόρρω Τίμωνος αὐτὸν καὶ Ἀπημάντου γεγονέναι· μισανθρωπεῖν γάρ. ὀφθῆναι γοῦν ἐν Λακεδαίμονι μόνον ἐπ' ἐρημίας γελῶντα· ἄφνω δέ τινος ἐπιστάντος, καὶ πυθομένου διὰ τί μηδενὸς παρόντος γελᾷ, φάναι, Δι' αὐτὸ τοῦτο. φησὶ δ' Ἀριστόξενος ὅτι ἔνθεν καὶ ἄδοξος ἦν, ὅτι μηδὲ πόλεως, ἀλλὰ κώμης, καὶ ταῦτα ἀφανοῦς. ὅθεν διὰ τὴν ἀδοξίαν αὐτοῦ, καὶ τὰ αὐτοῦ τινὰς Πεισιστράτῳ περιθεῖναι τῷ τυράννῳ, χωρὶς Πλάτωνος τοῦ φιλοσόφου. μέμνηται γὰρ αὐτοῦ καὶ οὗτος ἐν τῷ Πρωταγόρᾳ, ἀντὶ Περιάνδρου θεὶς αὐτόν. ἔφασκε δὴ, Μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους ζητεῖν. οὐ γὰρ ἕνεκα τῶν λόγων τὰ πράγματα συντελεῖσθαι, ἀλλ' ἕνεκα τῶν πραγμάτων τοὺς λόγους. κατέστρεψε δὲ βιοὺς ἔτη ἑπτὰ καὶ ἐνενήκοντα.

## ΕΠΙΜΕΝΙΔΗΣ.

Ἐπιμενίδης, καθά φησι Θεόπομπος καὶ ἄλλοι συχνοί, πατρὸς μὲν ἦν Φαιστίου· οἱ δὲ, Δωσιάδου· οἱ δὲ, Ἀγησάρκου. Κρὴς τὸ γένος, ἀπὸ Κνωσοῦ, καθεὶς τῆς κόμης τὸ εἶδος παραλλάσσων. οὗτός ποτε πεμφθεὶς παρὰ τοῦ πατρὸς ἐς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας, ὑπ' ἄντρῳ τινὶ κατεκοιμήθη ἑπτὰ καὶ πεντήκοντα ἔτη. διαναστὰς δὲ μετὰ ταῦτα, ἐζήτει τὸ προβάτιον, νομίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρὸν, καὶ μετεσκευασμένα καταλαβὼν καὶ παρ' ἑτέρῳ τὴν κτῆσιν, πάλιν ἧκε εἰς ἄστυ διαπορούμενος. κἀκεῖ δὲ εἰς τὴν ἑαυτοῦ εἰσιὼν οἰκίαν, περιέτυχε τοῖς πυνθανομένοις τίς εἴη· ἕως τὸν νεώτερον ἀδελφὸν εὑρὼν τότε ἤδη γέροντα ὄντα, πᾶσαν ἔμαθε παρ' ἐκείνου τὴν ἀλήθειαν. γνωσθεὶς δὲ παρὰ τοῖς Ἕλλησι, θεοφιλέστατος εἶναι ὑπελήφθη. ὅθεν Ἀθηναίοις τότε λοιμῷ κατεχομένοις ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν· οἱ δὲ πέμπουσι ναῦν τε καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην, καλοῦντες τὸν Ἐπιμενίδην. καὶ ὃς ἐλθὼν Ὀλυμπιάδι τεσσαρακοστῇ ἕκτῃ ἐκάθηρεν αὐτῶν τὴν πόλιν, καὶ ἔπαυσε τὸν λοιμὸν τοῦτον τὸν τρόπον· λαβὼν πρόβατα μέλανά τε καὶ λευκὰ, ἤγαγε πρὸς τὸν Ἄρειον πάγον· κἀκεῖθεν εἴασεν ἰέναι οἷ βούλοιντο, προστάξας τοῖς ἀκολούθοις, ἔνθα ἂν κατακλίνοι αὐτῶν ἕκαστον, θύειν τῷ προσήκοντι θεῷ· καὶ οὕτω λῆξαι τὸ κακόν. ὅθεν ἔτι καὶ νῦν ἔστιν εὑρεῖν κατὰ τοὺς δήμους τῶν Ἀθηναίων βωμοὺς ἀνωνύμους, ὑπόμνημα τῆς τότε γενομένης ἐξιλάσεως. οἱ δὲ τὴν αἰτίαν εἰπεῖν τοῦ λοιμοῦ τὸ Κυλώνειον ἄγος, σημαίνοντα τὴν ἀπαλλαγήν· καὶ διὰ τοῦτο ἀποθανεῖν δύο νεανίας, Κρατῖνον καὶ Κτησίβιον, καὶ λυθῆναι τὴν συμφοράν. Ἀθηναῖοι δὲ τάλαντον ἐψηφίσαντο δοῦναι αὐτῷ, καὶ ναῦν τὴν ἐς Κρήτην ἀπά-

ξουσαν αὐτόν. ὁ δὲ τὸ μὲν ἀργύρειον οὐ προσήκατο· φιλίαν δὲ καὶ συμμαχίαν ἐποιήσατο Κνωσσίων καὶ Ἀθηναίων. καὶ ἐπανελθὼν ἐπ' οἴκου, μετ' οὐ πολὺ μετήλλαξεν, (ὥς φησι Φλέγων ἐν τῷ περὶ μακροβίων) βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν· ὡς δὲ Κρῆτες λέγουσι, ἑνὸς δέοντα τριακόσια. ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν. Ἐποίησε δὲ Κουρήτων καὶ Κορυβάντων γένεσιν καὶ θεογονίαν, ἔπη πεντακισχίλια. Ἀργοῦς ναυπηγίαν τε, καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλουν, ἔπη ἑξακισχίλια πεντακόσια. συνέγραψε δὲ καὶ καταλογάδην περὶ θυσιῶν, καὶ τῆς ἐν Κρήτῃ πολιτείας· καὶ περὶ Μίνω καὶ Ῥαδαμάνθυος, εἰς ἔπη τετρακισχίλια. ἱδρύσατο δὲ καὶ παρ' Ἀθηναίοις τὸ ἱερὸν τῶν σεμνῶν θεῶν, ὥς φησι Λόβων ὁ Ἀργεῖος ἐν τῷ περὶ ποιητῶν. λέγεται δὲ καὶ πρῶτος οἰκίας καὶ ἀγροὺς καθῆραι, καὶ ἱερὰ ἱδρύσασθαι. εἰσὶ δ' οἳ μὴ κοιμηθῆναι αὐτὸν λέγουσιν, ἀλλὰ χρόνον τινὰ ἐκπατῆσαι, ἀσχολούμενον περὶ ῥιζοτομίαν. φέρεται δ' αὐτοῦ καὶ ἐπιστολὴ πρὸς Σόλωνα τὸν νομοθέτην, περιέχουσα πολιτείαν ἣν διέταξε Κρησὶ Μίνως. ἀλλὰ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων, διελέγχειν πειρᾶται τὴν ἐπιστολὴν ὡς νεαράν, καὶ μὴ τῇ Κρητικῇ φωνῇ γεγραμμένην, Ἀτθίδι δέ, καὶ ταύτῃ νέᾳ. ἐγὼ δὲ καὶ ἄλλην εὗρον ἐπιστολὴν ἔχουσαν οὕτως·

Ἐπιμενίδης Σόλωνι.

Θάρρει, ὦ ἑταῖρε. αἰ γὰρ ἔτι θηπεύοντεσσιν Ἀθηναίοις καὶ μὴ ἀνομημένοις ἐπεθήκατο Πεισίστρατος, εἶχε κα ταν ἀρχὰν ἀεί, ἀνδραποδιξάμενος τὼς πολιήτας· νῦν δὲ οὐ κακὼς ἄνδρας δουλῶται· τοὶ μεμναμένοι τᾶς Σόλωνος μανύσιος, ἀλγέοντι παῖδα αἰσχύνας, οὐδὲ ἀνέξονται τυραννεύμενοι. ἀλλ' αἴ κε Πεισίστρατος κατασχεθῇ ταν πόλιν,

οὐ μὰν ἐς παῖδας τήνῳ ἔλπομαι τὸ κράτος ἵξεσθαι. διαμάχανον γὰρ, ἀνθρώπως ἐλευθεριάσαντας ἐν τεθμοῖς ἀπ' ἴσοις, δούλως ἦμεν. τὺ δὲ μὴ ἀλᾶσθαι, ἀλλ' ἕρπε ἐς Κρήτην ποτὶ ἄμμε. τουτᾶ γὰρ οὐκ ἐσεῖται τοι δεινὸς ὁ μόναρχος. αἰ δὲ τῇ πλατείῃ ἐγκύρσοντί τι τήνω τοι φίλοι, δειμαίνω μή τι δεινὸν πάθῃς.

καὶ αὗται μὲν ὧδε. Φησὶ δὲ Δημήτριος τινὰς ἱστορεῖν ὡς λάβοι παρὰ νυμφῶν ἔδεσμά τι, καὶ φυλάττοι ἐν χηλῇ βοός. προσφερόμενός τε κατ' ὀλίγον, μηδεμιᾷ κενοῦσθαι ἀποκρίσει, μηδὲ ὀφθῆναί ποτε ἐσθίων. μέμνηται αὐτοῦ καὶ Τίμαιος ἐν τῇ δευτέρᾳ. λέγουσι δέ τινες ὅτι Κρῆτες αὐτῷ θύουσιν ὡς θεῷ· φασὶ γὰρ καὶ γνωστικώτατον γεγονέναι. ἰδόντα γοῦν τὴν Μουνυχίαν παρ' Ἀθηναίοις, ἀγνοεῖν (φάναι) αὐτοὺς ὅσων κακῶν αἴτιον ἔσται τοῦτο τὸ χωρίον αὐτοῖς· ἐπεὶ κἂν τοῖς ὀδοῦσιν αὐτὸ διαφορῆσαι. ταῦτα ἔλεγε τοσούτοις πρότερον χρόνοις. λέγεται δὲ ὡς καὶ πρῶτος αὐτὸν Αἰακὸν λέγοι, καὶ Λακεδαιμονίοις προείποι τὴν ὑπὸ Ἀρκάδων ἅλωσιν. προσποιηθῆναί τε πολλάκις ἀναβεβιωκέναι. Θεόπομπος δ' ἐν τοῖς θαυμασίοις, κατασκευάζοντος αὐτοῦ τὸ τῶν νυμφῶν ἱερὸν, ῥαγῆναι φωνὴν ἐξ οὐρανοῦ, Ἐπιμενίδη, μὴ νυμφῶν, ἀλλὰ Διός. Κρησί τε προειπεῖν τὴν Λακεδαιμονίων ἧτταν ὑπὸ Ἀρκάδων, καθάπερ προείρηται. καὶ δὴ καὶ ἐλήφθησαν πρὸς Ὀρχομενῷ. γηρᾶσαί τε ἐν τοσαύταις ἡμέραις αὐτὸν ὅσαπερ ἔτη κατεκοιμήθη· καὶ γὰρ τοῦτο φησὶ Θεόπομπος. Μυρωνιανὸς δ' ἐν ὁμοίοις φησὶν ὅτι Κύρητα αὐτὸν ἐκάλουν Κρῆτες· καὶ τὸ σῶμα αὐτοῦ φυλάττουσι Λακεδαιμόνιοι παρ' ἑαυτοῖς, κατά τι λόγιον, ὥς φησι Σωσίβιος ὁ Λάκων. γεγόνασι δὲ καὶ Ἐπιμενίδαι ἄλλοι δύο, ὅ, τε γενεαλόγος, καὶ τρίτος ὁ Δωρισὶ γεγραφὼς περὶ Ῥόδου.

## ΦΕΡΕΚΥΔΗΣ.

Φερεκύδης, Βάδυος, Σύριος, καθά φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς, Πιττακοῦ διακήκοε. τοῦτόν φησι Θεόπομπος πρῶτον περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι. πολλὰ δὲ καὶ θαυμάσια λέγεται περὶ αὐτοῦ. καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα, καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα, εἰπεῖν ὡς μετ᾽ οὐ πολὺ καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. καὶ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος, πιόντα, προειπεῖν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός. καὶ γενέσθαι. ἀνιόντα τε εἰς Ὀλυμπίαν ἐς Μεσσήνην, τῷ ξένῳ Περιλάῳ συμβουλεῦσαι μετοικίσαι μετὰ τῶν οἰκείων. καὶ τὸν μὴ πεισθῆναι, Μεσσήνην δὲ ἑαλωκέναι. καὶ Λακεδαιμονίοις εἰπεῖν, μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις. προστάξαι δὲ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρακλέα· ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι. ἔνιοι δὲ Πυθαγόρᾳ περιάπτουσι ταῦτα. φησὶ δ᾽ Ἕρμιππος, πολέμου συνεστῶτος Ἐφεσίοις καὶ Μάγνησι, βουλόμενον τοὺς Ἐφεσίους νικῆσαι, πυθέσθαι τινὸς παριόντος πόθεν εἴη. τοῦ δ᾽ εἰπόντος, Ἐξ Ἐφέσου, Ἕλκυσόν με τοίνυν (ἔφη) τῶν σκελῶν, καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν· καὶ ἀπάγγειλόν σου τοῖς πολίταις, μετὰ τὸ νικῆσαι, αὐτόθι με θάψαι. ἐπεσκηφέναι τε ταῦτα Φερεκύδην. ὁ μὲν ἀπήγγειλεν· οἱ δὲ, μετὰ μίαν ἐπελθόντες κρατοῦσι τῶν Μαγνήτων. καὶ τόν τε Φερεκύδην μεταλλάξαντα θάπτουσιν αὐτόθι, καὶ μεγαλοπρεπῶς τιμῶσιν. ἔνιοι δέ φασιν ἐλθόντα εἰς Δελφοὺς ἀπὸ τοῦ Κωρυκείου ὄρους αὐτὸν δισκῆσαι. Ἀριστόξενος δ᾽ ἐν τῷ περὶ Πυθαγόρου καὶ τῶν γνωρίμων αὐτοῦ, φησὶ, νοσήσαντα αὐτὸν ὑπὸ Πυθαγόρου ταφῆναι ἐν Δήλῳ. οἱ δὲ, φθειριάσαντα τὸν βίον τελευτῆσαι. ὅτε καὶ

Πυθαγόρου περιγινομένου, καὶ πυνθανομένου πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν, Χρωτὶ δῆλα. καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δ᾽ ἐπὶ τῶν βελτίστων χρώμενοι, διαμαρτάνουσιν. ἔλεγέ τε ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν. Ἄνδρων δ᾽ ὁ Ἐφέσιος δύο φησὶ γεγονέναι Φερεκύδας, Συρίους· τὸν μὲν, ἀστρολόγον, τὸν δὲ, θεολόγον, υἱὸν Βάβυος, ᾧ καὶ Πυθαγόραν σχολάσαι. Ἐρατοσθένης δ᾽ ἕνα μόνον, καὶ ἕτερον Ἀθηναῖον, γενεαλόγον. σώζεται δὲ τοῦ Συρίου τό, τε βιβλίον ὃ συνέγραψεν, οὗ ἡ ἀρχή, Ζὰς μὲν καὶ χρόνος εἰς ἀεὶ, καὶ χθὼν ἦν. Χθονίῃ δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῇ Ζὰς γέρας διδοῖ. σώζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ. Φησὶ δὲ Δοῦρις ἐν τῷ δευτέρῳ τῶν ἱερῶν, ἐπιγεγράφθαι αὐτῷ τὸ ἐπίγραμμα τόδε,

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον,
Πυθαγόρῃ τῷ 'μῷ λέγε ταῦθ᾽, ὅτι πρῶτος ἁπάντων
Ἐστὶν ἀν᾽ Ἑλλάδα γῆν. οὐ ψεύδομαι ὧδ᾽ ἀγορεύων.

Ἴων δ᾽ ὁ Χῖος περὶ αὐτοῦ φησιν,

Ὣς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ,
Καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον.
Εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
Ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

Ἔστι καὶ ἡμῶν οὕτως ἔχον τῷ μέτρῳ τῷ Φερεκρατείῳ,

Τὸν κλεινὸν Φερεκύδην,
Ὃν τίκτει ποτὲ Σύρος,
Ἐς φθεῖρας λόγος ἐστὶν
Ἀλλάξαι τὸ πρὶν εἶδος

Θεῖναί τ' αὐτοῦ κελεύειν
Μαγνήτων, ἵνα νίκην
Δοίη τοῖς Ἐφέσοιο
Γενναίοις πολιήταις.
Ἦν γὰρ χρησμός, ὃν ᾔδει
Μοῦνος, τοῦτο κελεύων.
Καὶ θνήσκει παρ' ἐκείνοις.
Ἆρ' οὖν τοῦτ' ἄρ' ἀληθὲς
Ἦν, εἴ τις σοφὸς, ὄντως
Καὶ ζῶν ἐστιν ὄνησις,
Χ' ὥταν μηδὲν ὑπάρχῃ.

γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν ἐνάτην Ὀλυμπιάδα. καὶ ἐπέστειλεν ὧδε·

Φερεκύδης Θαλῇ.

Εὖ θνήσκοις, ὅταν τοι τὸ χρεὼν ἥκοι νοῦσος με καταλελάβηκε, δεδεγμένον τὰ παρὰ σέο γράμματα. φθειρῶν ἔβρυον πᾶς, καί με εἶχεν ἠπίαλος. ἐπέσκηψα δ' ὦν τοῖσιν οἰκιήτῃσιν, ἐπήν με καταθάψωσιν, ἐς σὲ τὴν γραφὴν ἐνέγκαι. σὺ δὲ ἢν δοκιμώσῃς σὺν τοῖς ἄλλοις σοφοῖς, οὕτω μιν φῆνον· ἢν δὲ οὐ δοκιμώσητε, μὴ φήνῃς. ἐμοὶ μὲν γὰρ οὔκω ἥνδανεν. ἔστι δὲ οὐκ ἀτρεκίη πρηγμάτων, οὐδ' ὑπισχνέομαι, οὔτ' ἀληθὲς εἰδέναι. ἅσσα δ' ἂν ἐπιλέγῃ θεολογέων, τὰ ἄλλα χρὴ νοεῖν. ἅπαντα γὰρ αἰνίσσομαι. τῇ δὲ νούσῳ πιεζόμενος ἐπὶ μᾶλλον, οὔτε τῶν τινα ἰητρῶν, οὔτε τοὺς ἑταίρους ἐσιέμην. προσεστεῶσι δὲ τῇ θύρῃ, καὶ εἰρομένοις ὁκοῖόν τι εἴη, διεὶς δάκτυλον ἐκ τῆς κλειήθρης, ἔδειξ' ἂν ὡς ἔβρυον τοῦ κακοῦ. καὶ προεῖπ' αὐτοῖσιν ἥκειν εἰς τὴν ὑστεραίην ἐπὶ τὰς Φερεκύδεω ταφάς.

Καὶ οὗτοι μὲν οἱ κληθέντες σοφοί, οἷς τινὲς καὶ Πεισί-

στρατον τὸν τύραννον προσκαταλέγουσι. λεκτέον δὲ περὶ τῶν φιλοσόφων· καὶ πρῶτόν γε ἀρκτέον ἀπὸ τῆς Ἰωνικῆς φιλοσοφίας, ἧς καθηγήσατο Θαλῆς, οὗ διήκουσεν Ἀναξίμανδρος.

# ΔΙΟΓΕ´ΝΟΥΣ ΛΑΕΡΤΙΟΥ περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ β´.

## ἈΝΑΞΙ´ΜΑΝΔΡΟΣ.

ἈΝΑΞΙ´ΜΑΝΔΡΟΣ Πραξιάδου, Μιλήσιος. οὗτος ἔφασκεν ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλο τι. καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ πᾶν ἀμετάβλητον εἶναι. μέσην τε τὴν γῆν κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην ψευδοφανῆ, καὶ ἀπὸ ἡλίου φωτίζεσθαι. ἀλλὰ καὶ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ. εὗρε δὲ καὶ γνώμονα πρῶτος, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ· τροπάς τε καὶ ἰσημερίας σημαίνοντα καὶ ὡροσκόπια κατεσκεύασε. καὶ γῆς καὶ θαλάσσης περίμετρον πρῶτος ἔγραψεν. ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε. τῶν δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ᾗ που περιέτυχε καὶ ὁ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· ὃς καί φησιν αὐτὸν ἐν τοῖς χρονικοῖς, τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος, ἐτῶν εἶναι ἑξηκοντατεσσάρων· καὶ μετ᾽ ὀλίγον τελευτῆσαι, ἀκμάσαντά πῃ μάλιστα κατὰ Πολυκράτην τὸν Σάμου τύραννον. τούτου φασὶν ᾄδοντος καταγελάσαι τὰ παιδάρια· τὸν δὲ μαθόντα, φάναι, Βέλτιον οὖν ἡμῖν ᾀστέον διὰ

τὰ παιδεία. γέγονε δὲ καὶ ἄλλος Ἀναξίμανδρος ἱστορικός, καὶ αὐτὸς Μιλήσιος, τῇ Ἰάδι γεγραφώς.

## ἈΝΑΞΙΜΈΝΗΣ.

Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἤκουσεν Ἀναξιμάνδρου. ἔνιοι δὲ καὶ Παρμενίδου φασὶν ἀκοῦσαι αὐτόν. οὗτος ἀρχὴν ἀέρα εἶπε, καὶ τὸ ἄπειρον. κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὸ γῆν, ἀλλὰ περὶ γῆν. κέχρηταί τε γλώσσῃ Ἰάδι ἁπλῇ καὶ ἀπερίττῳ. καὶ γεγένηται μέν, (καθά φησιν Ἀπολλόδωρος) τῇ ἑξηκοστῇ τρίτῃ Ὀλυμπιάδι, ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν. γεγόνασι δὲ καὶ ἄλλοι δύο, Λαμψακηνοί, ῥήτωρ, καὶ ἱστορικός, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ τὰς Ἀλεξάνδρου πράξεις γεγραφότος. οὗτος δὲ ὁ φιλόσοφος καὶ ἐπέστειλεν ὧδε·

Ἀναξιμένης Πυθαγόρῃ.

Θαλῆς ἐκ καλοῦ ἐπὶ γήρως οὐκ εὔποτμος οἴχεται. εὐφρόνης, ὥσπερ εἴωθεν, ἅμα τῇ ἀμφιπόλῳ προϊὼν ἐκ τοῦ αὐλίου τὰ ἄστρα ἐθηεῖτο. καὶ (οὐ γὰρ ἐς μνήμην ἔθετο) θηεύμενος, εἰς τὸ κρημνῶδες ἐμβὰς καταπίπτει. Μιλησίοισι μὲν νῦν ὁ αἰθερολόγος ἐν τοιῷδε κεῖται τέλει. ἡμέες δὲ οἱ λεσχηνῶται, αὐτοί τε μεμνώμεθα τοῦ ἀνδρός, οἵ τε ἡμέων παῖδές τε καὶ λεσχηνῶται. ἐπιδεξιοίμεθα δ᾽ ἔτι τοῖς ἐκείνου λόγοις. ἀρχὴ μέντοι παντὸς τοῦ λόγου Θαλῇ ἀνακείσθω. Καὶ πάλιν,

Ἀναξιμένης Πυθαγόρῃ.

Εὐβουλότατος ἦς ἡμέων, μεταναστὰς ἐκ Σάμου εἰς Κρότωνα, ἐνθάδε εἰρηνεῖς. οἱ δὲ Αἰακέος παῖδες ἄλλοις τὰ κακὰ ἔρδουσι. καὶ Μιλησίους οὐκ ἐπιλείπουσιν αἰσυμνῆται. δεινὸς δὲ ἡμῖν καὶ ὁ Μήδων βασιλεύς, οὐκ ἦν γε ἐθέλωμεν δασμοφορέειν· ἀλλὰ μέλλουσι δὴ ἀμφὶ τῆς ἐλευθερίης ἁπάντων, Ἴωνες Μήδοις καθίστασθαι ἐς πό-

λεμον· καταστᾶσι δ' οὐκέτι ἐλπὶς ἡμῖν σωτηρίης. κῶς ἂν οὖν Ἀναξιμένης ἐν θυμῷ ἔχοι αἰθερολογέειν, ἐν δείματι ἐὼν ὀλέθρου ἢ δουλοσύνης; σὺ δ' εἶ καταθύμιος μὲν Κροτωνιήτῃσι καὶ τοῖσι ἄλλοισι Ἰταλιώτῃσι, φοιτέουσι δέ τοι λεσχηνῶται καὶ ἐκ Σικελίης.

## ἈΝΑΞΑΓΌΡΑΣ.

Ἀναξαγόρας, Ἡγησιβούλου ἢ Εὐβούλου, Κλαζομένιος· οὗτος ἤκουσεν Ἀναξιμένους. καὶ πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον, Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. παρὸ καὶ νοῦς ἐπεκλήθη. καί φησι περὶ αὐτοῦ Τίμων ἐν τοῖς Σίλλοις οὕτω,

Καί που Ἀναξαγόρην φασ' ἔμμεναι ἄλκιμον ἥρω,
Νοῦν, ὅτι δὴ νόος αὐτῷ· ὃς ἐξαπίνης ἐπαγείρας
Πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

οὗτος εὐγενείᾳ καὶ πλούτῳ διαφέρων ἦν, ἀλλὰ καὶ μεγαλοφροσύνῃ. ὅς γε τὰ πατρῷα παρεχώρησε τοῖς οἰκείοις. αἰτιαθεὶς γὰρ ὑπ' αὐτῶν ὡς ἀμελῶν, Τί οὖν (ἔφη) οὐχ ὑμεῖς ἐπιμελεῖσθε; καὶ τέλος ἀπέστη. καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, οὐ φροντίζων τῶν πολιτικῶν. ὅτε καὶ πρὸς τὸν εἰπόντα, Οὐδέν σοι μέλει τῆς πατρίδος; Εὐφήμει (ἔφη) ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος· δείξας τὸν οὐρανόν. λέγεται δὲ κατὰ τὴν Ξέρξου διάβασιν εἴκοσιν ἐτῶν εἶναι· βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς, γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι, τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς ὀγδόης. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου, ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ· ἔνθα καί φασιν αὐτὸν ἐτῶν διατρίψαι τριάκοντα. οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι

διάπυρον καὶ μείζω τῆς Πελοποννήσου. οἱ δέ φασι Τάνταλον. τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. ἀρχὰς δὲ τὰς ὁμοιομερείας. καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι· καὶ νοῦν μὲν ἀρχὴν κινήσεως· τῶν δὲ σωμάτων τὰ μὲν βαρέα τὴν κάτω τόπον, ὡς τὴν γῆν· τὰ δὲ κοῦφα τὴν ἄνω ἐπισχεῖν, ὡς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα, τὴν μέσον. οὕτω γὰρ ἐπὶ τῆς γῆς πλατείας οὔσης τὴν θάλασσαν ὑποστῆναι, διατμισθέντων ὑπὸ τοῦ ἡλίου τῶν ὑγρῶν. τὰ δ' ἄστρα κατ' ἀρχὰς μὲν θολοειδῶς ἐνεχθῆναι, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. καὶ τὸν γαλαξίαν ἀνάκλασιν εἶναι φωτὸς ἡλιακοῦ, μὴ καταλαμπομένων τῶν ἄστρων. τοὺς δὲ κομήτας, σύνοδον πλανητῶν, φλόγας ἀφιέντων· τούς τε διάττοντας, οἷον σπινθῆρας ἀπὸ τοῦ ἀέρος ἀποπάλλεσθαι. ἀνέμους γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου. βροντάς, σύγκρουσιν νεφῶν· ἀστραπάς, ἔκτριψιν νεφῶν. σεισμόν, ὑπονόστησιν ἀέρος εἰς γῆν. ζῷα γίνεσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους· ὕστερον δέ, ἐξ ἀλλήλων. καὶ ἄρρενα μὲν ἀπὸ τῶν δεξιῶν, θήλεα δὲ ἀπὸ τῶν ἀριστερῶν. φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. ὅθεν καὶ Εὐριπίδην, μαθητὴν ὄντα αὐτοῦ, χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι. ἀλλὰ καὶ εἰς Ὀλυμπίαν ἐλθόντα ἐν δερματίνῳ καθίσαι, ὡς μέλλοντος ὕσειν· καὶ γενέσθαι. πρός τε τὸν εἰπόντα, εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, φασὶν εἰπεῖν, Ἐάν γε ὁ χρόνος μὴ ἐπιλίπῃ. ἐρωτηθείς ποτε εἰς τί γεγένηται, Εἰς θεωρίαν (ἔφη) ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. πρὸς τὸν εἰπόντα, Ἐστερήθης Ἀθηναίων, Οὐ μὲν οὖν, (ἔφη) ἀλλ' ἐκεῖνοι ἐμοῦ. ἰδὼν τὸν Μαυσώλου τάφον, ἔφη, Τάφος πολυτελὴς λελιθωμένης

ειν οὐσίας εἴδωλον. πρὸς τὸν δυσφοροῦντα ὅτι ἐπὶ ξέ-
ης τελευτᾷ, Πανταχόθεν (ἔφη) ὁμοία ἐστὶν ἡ εἰς ᾅδου
ατάβασις. δοκεῖ δὲ πρῶτος (καθά φησι Φαβωρῖνος
ν παντοδαπῇ ἱστορίᾳ) τὴν Ὁμήρου ποίησιν ἀποφήνα-
θαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης. ἐπὶ πλεῖον δὲ
ροστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνὸν, γνώρι-
μον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ
τὴν φυσικὴν πραγματείαν. πρῶτος δὲ Ἀναξαγόρας
αὶ βιβλίον ἐξέδωκε συγγραφῆς. φησὶ δὲ Σιληνὸς ἐν τῇ
ρώτῃ τῶν ἱστοριῶν, ἐπὶ ἄρχοντος Δημύλου λίθον ἐξ οὐ-
ανοῦ πεσεῖν· τὸν δὲ Ἀναξαγόραν εἰπεῖν ὡς ὅλος ὁ οὐρα-
ὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ περιδινήσει συνε-
στάναι, καὶ ἀνεθέντα κατενεχθήσεσθαι. περὶ δὲ τῆς δίκης
ὐτοῦ διάφορα λέγεται. Σωτίων μὲν γάρ φησιν ἐν τῇ διαδο-
ῇ τῶν φιλοσόφων, ὑπὸ Κλέωνος αὐτὸν ἀσεβείας κριθῆ-
αι, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμέ-
ου δὲ ὑπὲρ αὐτοῦ Περικλέους τοῦ μαθητοῦ, πέντε ταλάντοις
ημιωθῆναι καὶ φυγαδευθῆναι. Σάτυρος δ' ἐν τοῖς βίοις
ὑπὸ Θουκυδίδου φησὶν εἰσαχθῆναι τὴν δίκην, ἀντιπολι-
ευσαμένου τῷ Περικλεῖ· καὶ οὐ μόνον ἀσεβείας, ἀλλὰ καὶ
ηδισμοῦ· καὶ ἀπόντα καταδικασθῆναι θανάτου. ὅτε καὶ
μφοτέρων αὐτῷ προσαγγελθέντων, τῆς τε καταδίκης καὶ
ῆς τῶν παίδων τελευτῆς, εἰπεῖν, περὶ μὲν τῆς καταδί-
ης, ὅτι Ἄρα κἀκείνων κἀμοῦ πάλαι ἡ φύσις κατεψηφί-
ατο· περὶ δὲ τῶν παίδων, ὅτι ᾜδειν αὐτοὺς θνητοὺς γεννήσας.
δὲ εἰς Σόλωνα τοῦτο ἀναφέρουσιν· ἄλλοι εἰς Ξενοφῶντα.
οῦτον δὲ καὶ θάψαι ταῖς ἰδίαις χερσὶν αὐτοὺς Δημήτριος
ησὶν ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως. Ἕρμιππος δ' ἐν
οῖς βίοις φησὶν ὅτι καθείρχθη ἐν τῷ δεσμωτηρίῳ τεθνη-
όμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν εἴ τι ἔχουσιν ἐγκα-
εῖν αὐτῷ κατὰ τὸν βίον· οὐδὲν δὲ εἰπόντων, Καὶ μὴν ἐγὼ
ἔφη) τούτου μαθητής εἰμι. μὴ οὖν διαβολαῖς ἐπαρθέντες

ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πιθέντες ἄφετε. καὶ ἀφείθη. οὐκ ἐνεγκὼν δὲ τὴν ὕβριν, ἑαυτὸν ἐξήγαγεν. Ἱερώνυμος δὲ ἐν τῷ δευτέρῳ τῶν σποράδην ὑπομνημάτων φησὶν ὅτι ὁ Περικλῆς παρήγαγεν αὐτὸν ἐπὶ τὸ δικαστήριον, διερρυηκότα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. καὶ τὰ μὲν περὶ τῆς δίκης αὐτοῦ, τοσαῦτα. ἔδοξε δέ πως καὶ Δημοκρίτῳ ἀπεχθῶς ἐσχηκέναι, ἀποτυχὼν τῆς πρὸς αὐτὸν κοινολογίας. καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον, αὐτόθι κατέστρεψεν. ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων τί βούλεται αὐτῷ γενέσθαι, φάναι, τοὺς παῖδας, ἐν ᾧ ἂν ἀποθάνῃ μηνὶ κατ' ἔτος παίζειν συγχωρεῖν. καὶ φυλάττεται τὸ ἔθος καὶ νῦν. τελευτήσαντα δὴ αὐτὸν ἔθαψαν ἐντίμως οἱ Λαμψακηνοί, καὶ ἐπέγραψαν,

Ἐνθάδε πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
Οὐρανίου κόσμου κεῖται Ἀναξαγόρας.

ἔστι καὶ ἡμῶν εἰς αὐτόν,

Ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν,
Καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας·
Ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον, ὁ δ' αὐτὸν
Ἐξάγαγεν βιότου, μαλθακίῃ σοφίης.

γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀναξαγόραι, ὧν ἐν οὐδενὶ πάντα· ἀλλ' ὁ μὲν, ἦν ῥήτωρ Ἰσοκράτειος· ὁ δ', ἀνδριαντοποιὸς, οὗ μέμνηται Ἀντίγονος· ἄλλος, γραμματικὸς Ζηνοδότειος.

## ΑΡΧΕΛΑΟΣ.

Ἀρχέλαος, Ἀθηναῖος, ἢ Μιλήσιος· πατρὸς Ἀπολλοδώρου, ὡς δέ τινες, Μύδωνος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους. οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε. καὶ ἐκλήθη φυσικός. παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικε δὲ καὶ

ἐστὶ ἅψασθαι τῆς ἠθικῆς. καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων· παρ' οὗ λαβὼν Σωκράτης, τῷ αὐξῆσαι εἰς τὸ εὑρεῖν ὑπελήφθη. ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῶα ἀπὸ τῆς ἰλύος γεννηθῆναι. καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ. ὁ δὲ λόγος αὐτοῦ οὕτως ἔχει. τηκόμενον φησὶ τὸ ὕδωρ ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ πυρῶδες συνίσταται, ποιεῖν γῆν· καθὸ δὲ περιρρεῖ, ἀέρα γεννᾶν. ὅθεν ἡ μὲν, ὑπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται. γεννᾶσθαι δέ φησι τὰ ζῶα ἐκ θερμῆς τῆς γῆς, καὶ ἰλὺν παραπλησίαν γάλακτι, οἷον τροφὴν, ἀνιείσης. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους ποιῆσαι. πρῶτος δὲ εἶπε φωνῆς γένεσιν τὴν τοῦ ἀέρος πλῆξιν. Τὴν δὲ θάλατταν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἠθουμένην συνεστάναι. Μέγιστον τῶν ἄστρων τὸν ἥλιον, καὶ τὸ πᾶν ἄπειρον. γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρχέλαοι. ὁ χωρογράφος τῆς ὑπὸ Ἀλεξάνδρου πατηθείσης γῆς, ὁ τὰ ἰδιοφυῆ ποιήσας, ἄλλος τεχνογράφος ῥήτωρ.

## ΣΩΚΡΆΤΗΣ.

Σωκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργοῦ, καὶ Φαιναρέτης μαίας, (ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησὶν) Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ· ὅθεν Μνησίλοχος οὕτω φησὶ,

Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου,

Ὧ. καὶ Σωκράτης τὰ φρύγανα ὑποτίθησι. καὶ πάλιν,

Εὐριπίδης, σωκρατογόμφους· καὶ Καλλίας πεδήταις,

Ἤδη σὺ σεμνὴ καὶ φρονεῖς οὕτω μέγα;

Ἔξεστι γάρ μοι. Σωκράτης γὰρ αἴτιος.

Ἀριστοφάνης νεφέλαις,

Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν

Τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς. ἀκούσας δὲ Ἀναξαγόρου, κατά τινας, ἀλλὰ καὶ Δάμωνος, ὡς Ἀλέξανδρος,

ἐν διαδοχαῖς, μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ· οὗ καὶ παιδικὰ γενέσθαι φησὶν Ἀριστόξενος. Δοῦρις δὲ καὶ δουλεῦσαι αὐτὸν καὶ ἐργάσασθαι λίθους. εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει χάριτας ἔνιοι φασὶν, ἐνδεδυμένας οὔσας. ὅθεν καὶ Τίμωνα ἐν τοῖς Σίλλοις εἰπεῖν,

Ἐκ δ᾽ ἄρα τῶν ἀπέκλινε λιθοξόος, ἐννομολέσχης,
Ἑλλήνων ἐπαοιδὸς, ἀκριβολόγους ἀποφήνας,
Μυκτὴρ ῥητορόμικτος, ὑπαττικὸς, εἰρωνευτής.

ἦν γὰρ καὶ ἐν τοῖς ῥητορικοῖς δεινὸς, ὥς φησι καὶ Ἰδομενεύς. ἀλλὰ καὶ οἱ τριάκοντα αὐτὸν ἐκώλυσαν τέχνας διδάσκειν λόγων, ὥς φησι Ξενοφῶν. καὶ Ἀριστοφάνης αὐτὸν κωμῳδεῖ, ὡς τὸν ἥττω λόγον κρείττω ποιοῦντα. καὶ γὰρ πρῶτος, (ὥς φησι καὶ Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) μετὰ τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε. λέγει δὲ τοῦτο καὶ Ἰδομενεὺς ἐν τοῖς περὶ τῶν Σωκρατικῶν. καὶ πρῶτος περὶ βίου διελέχθη, καὶ πρῶτος φιλοσόφων καταδικασθεὶς ἐτελεύτα. φησὶ δ᾽ αὐτὸν Ἀριστόξενος ὁ Σπινθάρου καὶ χρηματίσασθαι. τιθέντα γοῦν τὸ βαλλόμενον κέρμα ἀθροίζειν· εἶτ᾽ ἀναλώσαντα, πάλιν τιθέναι. Κρίτωνα δ᾽ ἀναστῆσαι αὐτὸν ἀπὸ τοῦ ἐργαστηρίου, καὶ παιδεῦσαι, τῆς κατὰ ψυχὴν χάριτος ἐρασθέντα, Δημήτριος φησὶν ὁ Βυζάντιος. γνόντα δὲ τὴν φυσικὴν θεωρίαν μηδὲν εἶναι πρὸς ἡμᾶς, τὰ ἠθικὰ φιλοσοφεῖν ἐπί τε τῶν ἐργαστηρίων καὶ ἐν τῇ ἀγορᾷ. κἀκεῖνα δὲ φάσκειν ζητεῖν,

Ὅ,ττι τοι ἐν μεγάροισι κακόν τ᾽ ἀγαθόν τε τέτυκται.

πολλάκις δὲ βιαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον κονδυλίζεσθαι καὶ παρατίλλεσθαι, τὸ πλέον τε γελᾶσθαι καταφρονούμενον· καὶ πάντα ταῦτα φέρειν ἀνεξικάκως. ὅθεν καὶ λακτισθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάσαντος, εἰπεῖν, Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον; καὶ ταῦτα μὲν ὁ Δημήτριος. ἀποδημίας δὲ οὐκ ἐδεήθη, κα-

διὰ τὸ οἱ πλείους, πλὴν εἰ μὴ στρατεύεσθαι ἔδει. τὸ δὲ λοιπὸν αὐτόθι μένων, φιλονεικότερον συνεζήτει τοῖς προσδιαλεγομένοις, οὐχ ὥστε ἀφελέσθαι τὴν δόξαν αὐτούς, ἀλλ' ὥστε τὸ ἀληθὲς ἐκμαθεῖν πειρᾶσθαι. φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τὸ Ἡρακλείτου σύγγραμμα, ἐρέσθαι, Τί δοκεῖ; τὸν δὲ φάναι, Ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δέ, καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ. ἐπεμελεῖτο δὲ καὶ σωμασκίας, καὶ ἦν εὐέκτης. ἐστρατεύσατο γοῦν εἰς Ἀμφίπολιν· καὶ Ξενοφῶντα ἀφ' ἵππου πεσόντα ἐν τῇ κατὰ Δήλιον μάχῃ, διέσωσεν ὑπολαβών. ὅτε καὶ πάντων φευγόντων Ἀθηναίων, αὐτὸς ἠρέμα ἀνεχώρει, παρεπιστρεφόμενος ἡσυχῇ· καὶ τηρῶν ἀμύνασθαι εἴ τις οἱ ἐπέλθοι. ἐστρατεύσατο δὲ καὶ εἰς Ποτίδαιαν διὰ θαλάττης· πεζῇ γὰρ οὐκ ἐνῆν, τοῦ πολέμου κωλύοντος. ὅτε καὶ μεῖναι νυκτὸς ὅλης ἐφ' ἑνὸς σχήματος αὐτόν φασι, καὶ ἀριστεύσαντα αὐτόθι παραχωρῆσαι Ἀλκιβιάδῃ τοῦ ἀριστείου. οὗ καὶ ἐρασθῆναι φησὶν αὐτὸν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. Ἴων δὲ ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον σὺν Ἀρχελάῳ ἀποδημῆσαι, καὶ Πυθῶδε ἐλθεῖν Ἀριστοτέλης φησίν. ἀλλὰ καὶ εἰς Ἰσθμόν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων. ἦν δὲ καὶ ἰσχυρογνώμων καὶ δημοκρατικός, ὡς δῆλον ἔκ τε τοῦ μὴ εἶξαι τοῖς περὶ Κριτίαν, κελεύουσι Λέοντα τὸν Σαλαμίνιον πλούσιον ἄνδρα ἀγαγεῖν πρὸς αὐτούς, ὥστε ἀπολέσθαι· ἀλλὰ καὶ μόνος ἀποψηφίσασθαι τῶν δέκα στρατηγῶν· καὶ ἐνὸν αὐτῷ ἀποδρᾶναι τῆς εἱρκτῆς, μὴ ἐθελῆσαι. τοῖς τε κλαίουσιν αὐτὸν ἐπιπλῆξαι, καὶ τοὺς καλλίστους λόγους ἐκείνους δεδεμένον διαθέσθαι. αὐτάρκης τε ἦν καὶ σεμνός· καί ποτε Ἀλκιβιάδου (καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν ὑπομνημάτων) διδόντος αὐτῷ χώραν μεγάλην ἵνα οἰκοδομήσηται οἰκίαν, φάναι, Καὶ εἰ ὑποδημάτων ἔδει, βύρσαν μοι ἐδίδοις ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην; καὶ κα-

ταγέλαστος αὐτὴν λαβών. πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων, ἔλεγε πρὸς αὑτόν, Πόσων ἐγὼ χρείαν οὐκ ἔχω. καὶ συνεχὲς ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα,

Τὰ δ' ἀργυρώματ' ἐστὶν, ἥτε πορφύρα,

Εἰς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

ὑπερεφρόνησε δὲ καὶ Ἀρχελάου τοῦ Μακεδόνος, καὶ Σκόπα τοῦ Κρανωνίου, καὶ Εὐρυλόχου τοῦ Λαρισσαίου, μήτε χρήματα προσέμενος αὐτῶν, μήτε παρ' αὐτοὺς ἀπελθών. εὔτακτός τε τὴν δίαιταν οὕτως, ὥστε πολλάκις Ἀθήνησι λοιμῶν γενομένων μόνος οὐκ ἐνόσησε. φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν ἀγαγέσθαι· προτέραν μὲν, Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπροκλέα· δευτέραν δὲ, Μυρτώ, τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα. ἣν καὶ ἄπροικον λαβεῖν· ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον. οἱ δὲ, προτέραν γῆμαι τὴν Μυρτώ φασίν· ἔνιοι δὲ, καὶ ἀμφοτέρας ἔχειν ὁμοῦ· ὧν ἐστι Σάτυρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. φασὶ γὰρ, βουληθέντας Ἀθηναίους, διὰ τὸ λειπανδρεῖν, συναυξῆσαι τὸ πλῆθος, ψηφίσασθαι, Γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας. ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην. ἦν δ' ἱκανὸς καὶ τῶν σκωπτόντων αὐτὸν ὑπερορᾶν. καὶ ἐσεμνύνετο ἐπὶ τῇ εὐτελείᾳ, μισθόν τε οὐδένα εἰσεπράξατο. καὶ ἔλεγεν, ἥδιστα ἐσθίων, ἥκιστα ὄψου προσδεῖσθαι· καὶ ἥδιστα πίνων, ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν· καὶ ἐλαχίστων δεόμενος, ἔγγιστα εἶναι θεῶν. τοῦτο δ' ἔνεστι καὶ παρὰ τῶν κωμῳδοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς δι' ὧν σκώπτουσιν ἐπαινοῦντες αὐτόν. Ἀριστοφάνης μὲν οὕτως·

Ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας ἄνθρωπε δικαίως,
Ὡς εὐδαίμων παρ' Ἀθηναίοις καὶ τοῖς ἄλλοις διαζῆς.

εἶτα,

Μνήμων καὶ φροντιστὴς, καὶ τὸ ταλαίπωρον ἔνεστιν
Ἐν τῇ γνώμῃ, κοὐκ ἔτι κάμνεις οὔθ' ἑστὼς οὔτε βαδίζων,

Οὔτ' αὖ ῥιγῶν ἄχθῃ λίαν, οὔτ' ἀρίστων ἐπιθυμεῖς,
Οἴνου τ' ἀπέχῃ καὶ ἀδηφαγίας, καὶ τῶν ἄλλων ἀνοήτων.

Ἀμειψίας δ' ἐν τρίβωνι παράγων αὐτὸν φησὶν οὕτως, Σώκρατες ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ ματαιόταθ', ἥκεις καὶ σὺ πρὸς ἡμᾶς, καρτερικός γ' εἶ. πόθεν ἄν σοι χλαῖνα γένοιτο; τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ' ἐπήρειαν γεγένηται. οὗτος μέντοι πεινῶν οὕτως, οὐπώποτ' ἔτλη κολακεῦσαι. τοῦτο δ' αὐτοῦ τὸ ὑπεροπτικὸν καὶ μεγαλόφρον ἐμφαίνει καὶ Ἀριστοφάνης, λέγων οὕτως, ὅτι

Βρενθύῃ τ' ἐν ταῖς ὁδοῖς, καὶ τὼ 'φθαλμὼ παραβάλλεις,
Κἀνυπόδητος, κακὰ πόλλ' ἀνέχῃ, καὶ ἐν ἡμῖν σεμνοπροσωπεῖς.

καίτοι ἐνίοτε πρὸς τοὺς καιροὺς ἁρμοττόμενος, καὶ λαμπρὰ ἠμπίσχετο· καθάπερ ἐν τῷ Πλάτωνος συμποσίῳ παρ' Ἀγάθωνα βαδίζων. ἱκανὸς δ' ἀμφότερα ἦν, καὶ προτρέψαι καὶ ἀποτρέψαι. ὥσπερ τὸν Θεαίτητον, περὶ ἐπιστήμης διαλεχθείς, ἔνθεον ἀπέπεμψε, καθὰ καὶ Πλάτων φησίν. Εὐθύφρονα δὲ τῷ πατρὶ γραψάμενον ξενίας δίκην, περὶ ὁσίου τινὰ διαλεχθεὶς ἀπήγαγε. καὶ τὸν Λύσιν δὲ ἠθικώτατον ἐποίησε προτρέψας. ἦν γὰρ ἱκανὸς ἀπὸ τῶν πραγμάτων τοὺς λόγους εὑρίσκειν. ἐνέτρεψε δὲ καὶ Λαμπροκλέα τὸν υἱὸν τῇ μητρὶ ἀγριαινόμενον, ὥς που καὶ Ξενοφῶν εἴρηκε. καὶ Γλαύκωνα μὲν τὸν Πλάτωνος ἀδελφὸν θέλοντα πολιτεύεσθαι, ἀπέστησε, διὰ τὸ ἀπείρως ἔχειν, ὥς φησι Ξενοφῶν· Χαρμίδην δὲ τοὐναντίον ἐπέστησεν, οἰκείως ἔχοντα. ἐπῆρε δὲ καὶ εἰς φρόνημα Ἰφικράτην τὸν στρατηγόν, δείξας αὐτῷ τοῦ κουρέως Μίδου ἀλεκτρυόνας ἀντίον τῶν Καλλίου πτερυξαμένους. καὶ αὐτὸν Γλαυκωνίδης ἠξίου τῇ πόλει περιποιεῖν, καθάπερ φασιανὸν ὄρνιν, ἢ ταώ. ἔλεγε δὲ ὡς θαῦμα, τὰ μὲν ἕκαστον εἰπεῖν ἂν ῥᾳδίως ὅσα ἔχοι, φίλους δ' οὐκ ἂν ὀνομάσαι ὁπόσους κέκτηται· οὕτως ὀλιγώρως ἔχειν περὶ αὐτούς. ὁρῶν

δὲ Εὐκλείδην ἐσπουδακότα περὶ τοὺς ἐριστικοὺς λόγους, Ὦ Εὐκλείδη (ἔφη) σοφισταῖς μὲν δυνήσῃ χρῆσθαι, ἀνθρώποις δὲ οὐδαμῶς. ἄχρηστον γὰρ ᾤετο εἶναι τὴν περὶ ταῦτα αἰσχρολογίαν, ὡς καὶ Πλάτων ἐν Εὐθυδήμῳ φησί. Χαρμίδου τε οἰκέτας αὐτῷ διδόντος, ἵν᾽ ἀπ᾽ αὐτῶν προσοδεύοιτο, οὐχ εἵλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδου, κατά τινας. καὶ ἐπῄνει σχολὴν, ὡς κάλλιστον κτημάτων, καθὰ καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην· καὶ ἓν μόνον κακὸν, τὴν ἀμαθίαν. πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν σεμνὸν ἔχειν· πᾶν δὲ τοὐναντίον, κακόν. εἰπόντος γοῦν τινος αὐτῷ ὡς εἴη Ἀντισθένης μητρὸς Θράττης, Σὺ δ᾽ ᾤου (ἔφη) οὕτως ἂν γενναῖον ἐκ δυοῖν Ἀθηναίων γενέσθαι; Φαίδωνα δὲ διὰ αἰχμαλωσίαν ἐπ᾽ οἰκήματος καθήμενον προσέταξε Κρίτωνι λυτρώσασθαι, καὶ φιλόσοφον ἀπειργάσατο. ἀλλὰ καὶ λυρίζειν ἐμάνθανεν ὅτε καιρός· μηδὲν λέγων ἄτοπον εἶναι, ἅ τις μὴ οἶδεν ἐκμανθάνειν. ἔτι τε ὠρχεῖτο συνεχὲς, τῇ τοῦ σώματος εὐεξίᾳ λυσιτελεῖν ἡγούμενος τὴν τοιαύτην γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν συμποσίῳ φησίν. ἔλεγε δὲ καὶ προσημαίνειν τὸ δαιμόνιον τὰ μέλλοντα αὐτῷ. τό, τε εὖ ἄρχεσθαι, μικρὸν μὲν μὴ εἶναι, παρὰ μικρὸν δέ. καὶ εἰδέναι μὲν μηδὲν, πλὴν αὐτὸ τοῦτο εἰδέναι. τούς τε τὰ ὥρια πολλοῦ ἐωνημένους, ἀπογινώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. καί ποτε ἐρωτηθεὶς, Τίς ἀρετὴ νέου; Τὸ μηδὲν ἄγαν, εἶπεν. ἔφασκέ τε δεῖν γεωμετρεῖν, μέχρι ἄν τις μέτρῳ δύνηται γῆν τε παραλαβεῖν καὶ παραδοῦναι. Εὐριπίδου δ᾽ ἐν τῇ Αὔγῃ εἰπόντος περὶ ἀρετῆς, Κράτιστον εἰκῆ ταῦτ᾽ ἐᾶν ἀφειμένα, ἀναστὰς ἐξῆλθε· φήσας, Γελοῖον εἶναι, ἀνδράποδον μὲν, μὴ εὑρισκόμενον, ἀξιοῦν ζητεῖν· ἀρετὴν δ᾽ οὕτω ἐᾶν ἀπολωλέναι. ἐρωτηθεὶς πότερον γῆμαι ἢ μὴ, ἔφη, Ὃ ἂν αὐτῶν ποιήσῃς, μεταγνώσῃ. ἔλεγέ τε θαυμάζειν τῶν τὰς λιθίνους εἰκόνας κατασκευαζομένων τοῦ

μὲν λίθου προνοεῖν, ὡς ὁμοιότατος ἔσται· αὑτῶν δὲ ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι. ἠξίου δὲ καὶ τοὺς νέους συνεχὲς κατοπτρίζεσθαι, ἵν' εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίγνοιντο· εἰ δ' αἰσχροὶ, παιδείᾳ τὴν δυσείδειαν ἐπικαλύπτοιεν. καλέσας ἐπὶ δεῖπνον πλουσίους, καὶ τῆς Ξανθίππης αἰδουμένης, ἔφη, Θάρρει. εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχθεῖεν ἄν· εἰ δὲ φαῦλοι, ἡμῖν αὐτῶν οὐδὲν μελήσει. ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵν' ἐσθίοιεν· αὐτὸν δὲ ἐσθίειν, ἵνα ζώῃ. πρὸς τὸ οὐκ ἀξιόλογον πλῆθος ἔφασκεν, ὅμοιον εἴ τις τετράδραχμον ἓν ἀποδοκιμάζων, τὸν ἐκ τῶν τοιούτων σωρὸν ὡς δόκιμον ἀποδέχοιτο. Αἰσχίνου δὲ εἰπόντος, Πένης εἰμὶ, καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν· Ἆρ' οὖν (εἶπεν) οὐκ αἰσθάνῃ τὰ μέγιστά μοι διδούς; πρὸς τὸν ἀποδυσπετοῦντα ἐπὶ τῷ παρορᾶσθαι, ὁπότε ἐπανέστησαν οἱ τριάκοντα, Ἆρα, ἔφη, μή τι σοι μεταμέλει; πρὸς τὸν εἰπόντα, Θάνατόν σου κατέγνωσαν Ἀθηναῖοι, Κἀκείνων (φησὶν) ἡ φύσις. οἱ δὲ τοῦτ' Ἀναξαγόραν φασί. τῆς γυναικὸς εἰπούσης, Ἀδίκως ἀποθνήσκεις, Σὺ δὲ, (ἔφη) δικαίως ἐβούλου; ὄναρ δόξας τινὰ αὐτῷ λέγειν,

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο,

πρὸς Αἰσχίνην ἔφη, Εἰς τρίτην ἀποθανοῦμαι. μέλλοντί τε αὐτῷ τὸ κώνειον πίεσθαι, Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλὸν, ἵν' ἐκείνῳ ἐναποθάνῃ. καὶ ὅς, Τί δ' (ἔφη) τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν δὲ οὐχί; πρὸς τὸν εἰπόντα, Κακῶς ὁ δεῖνά σε λέγει· Καλῶς γὰρ (ἔφη) λέγειν οὐκ ἔμαθε. Στρέψαντος Ἀντισθένους τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τοὐμφανές, Ὁρῶ σου (ἔφη) διὰ τοῦ τρίβωνος τὴν κενοδοξίαν. πρὸς τὸν εἰπόντα, Οὐ σοὶ λοιδορεῖται ὁ δεῖνα; Οὐχί (ἔφη)· ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα. ἔλεγε δὲ τοῖς κωμικοῖς δεῖν ἐπίτηδες ἑαυτὸν διδόναι. εἰ μὲν γάρ τι τῶν προσόντων λέξειαν, διορθώσονται· εἰ δ' οὔ, οὐδὲν πρὸς ἡμᾶς. πρὸς Ξανθίππην, πρότερον μὲν λοιδο-

ροῦσαν, ὕστερον δὲ καὶ περιχέασαν αὐτῷ, Οὐκ ἔλεγον (εἶπεν) ὅτι Ξανθίππη βροντῶσα, καὶ ὕδωρ ποιήσει. πρὸς Ἀλκιβιάδην εἰπόντα, ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, Ἀλλ' ἔγωγ' (ἔφη) συνείθισμαι, καθαπερεὶ καὶ τροχιλέας ἀκούων συνεχές. καὶ σὺ μὲν, εἶπε, χηνῶν βοώντων ἀνέχῃ. τοῦ δὲ εἰπόντος, Ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς τίκτουσι, Κἀμοὶ (φησὶ) Ξανθίππη παιδία γεννᾷ. ποτὲ αὐτῆς ἐν ἀγορᾷ καὶ θοἰμάτιον περιελομένης, συνεβούλευον οἱ γνώριμοι χερσὶν ἀμύνασθαι, Νὴ Δί' (εἶπεν) ἵν' ἡμῶν πυκτευόντων, ἕκαστος ὑμῶν λέγῃ, εὖ Σώκρατες, εὖ Ξανθίππη. ἔλεγε συνεῖναι τραχείᾳ γυναικὶ, καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις. Ἀλλ' ὡς ἐκεῖνοι (φησὶ) τούτων κρατήσαντες, ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγὼ Ξανθίππῃ χρώμενος, τοῖς ἄλλοις ἀνθρώποις συμπεριενεχθήσομαι. ταῦτα δὴ καὶ τοιαῦτα λέγων καὶ πράττων, πρὸς τῆς Πυθίας ἐμαρτυρήθη, Χαιρεφῶντι ἀνελούσης ἐκεῖνο δὴ τὸ περιφερόμενον,

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

ἀφ' οὗ δὴ καὶ ἐφθονήθη μάλιστα, καὶ δὴ καὶ ὅτι διήλεγχε τοὺς μεγαλοφρονοῦντας ἐφ' ἑαυτοῖς, ὡς ἀνοήτους, καθάπερ ἀμέλει καὶ τὸν Ἄνυτον, ὡς καὶ ἐν τῷ Πλάτωνός ἐστι Μένωνι. οὗτος γὰρ οὐ φέρων τὸν ὑπὸ Σωκράτους χλευασμὸν, πρῶτον μὲν ἐπήλειψεν αὐτῷ τοὺς περὶ Ἀριστοφάνην, ἔπειτα καὶ Μέλιτον συνέπεισεν ἀπενέγκασθαι κατ' αὐτοῦ γραφὴν ἀσεβείας καὶ τῶν νέων διαφθορᾶς. ἀπηνέγκατο μὲν οὖν τὴν γραφὴν ὁ Μέλιτος, εἶπε δὲ τὴν δίκην Πολύευκτος, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. συνέγραψε δὲ τὸν λόγον Πολυκράτης ὁ σοφιστὴς, ὥς φησιν Ἕρμιππος, ἢ Ἄνυτος, ὥς τινες. προητοίμασε δὲ πάντα Λύκων ὁ δημαγωγός. Ἀντισθένης δ' ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς, καὶ Πλάτων ἐν ἀπολογίᾳ, τρεῖς αὐτοῦ κατηγορῆ-

στῆναι φασὶν, Ἄνυτον καὶ Λύκωνα καὶ Μέλιτον. τὸν μὲν Ἄνυτον, ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν ὀργιζόμενον· τὸν δὲ Λύκωνα, ὑπὲρ τῶν ῥητόρων· τὸν δὲ Μέλιτον, ὑπὲρ τῶν ποιητῶν· οὓς ἅπαντας ὁ Σωκράτης διέσυρε. Φαβωρῖνος δέ φησιν ἐν τῷ πρώτῳ τῶν ἀπομνημονευμάτων, μὴ εἶναι ἀληθῆ τὸν λόγον τὸν Πολυκράτους κατὰ Σωκράτους· ἐν αὐτῷ γὰρ (φησὶ) μνημονεύει τῶν ὑπὸ Κόνωνος τειχῶν ἀνασταθέντων, ἃ γέγονεν ἐν ἔτεσιν ἓξ τῆς Σωκράτους τελευτῆς ὕστερον. καὶ ἔστιν οὕτως ἔχον. ἡ δ' ἀντωμοσία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον. ἀνάκειται γὰρ ἔτι καὶ νῦν (φησὶ Φαβωρῖνος ἐν τῷ Μητρῴῳ) Τάδε ἐγράψατο καὶ ἀντωμολογήσατο, Μέλιτος Μελίτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν, Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος. ὁ δ' οὖν φιλόσοφος, Λυσίου γράψαντος ἀπολογίαν αὐτῷ, ἀναγνοὺς, ἔφη, Καλὸς μὲν ὁ λόγος, ὦ Λυσία, οὐ μὴν ἁρμόττων ἐμοί. δηλαδὴ γὰρ ἦν τὸ πλέον δικανικὸς, ἢ ἐμφιλόσοφος. εἰπόντος δὲ τοῦ Λυσίου, Πῶς, εἰ καλός ἐστιν ὁ λόγος, οὐκ ἂν σοὶ ἁρμόττει; ἔφη, Οὐ γὰρ καὶ ἱμάτια καλὰ καὶ ὑποδήματα εἴη ἂν ἐμοὶ ἀνάρμοστα; κρινομένου δ' αὐτοῦ, φησὶν Ἰοῦστος ὁ Τιβεριεὺς ἐν τῷ στέμματι, Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ βῆμα, καὶ εἰπεῖν, Νεώτατος ὢν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα ἀναβάντων. τοὺς δικαστὰς ἐκβοῆσαι, Καταβάντων, τουτέστι Κατάβηθι. ὅτ' οὖν κατεδικάσθη, διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολυουσῶν, καὶ τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι, πέντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν. Εὐβουλίδης μὲν γάρ φησιν ἑκατὸν ὁμολογῆσαι· θορυβησάντων δὲ τῶν δικαστῶν, Ἕνεκα μὲν (εἶπε) τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν πρυτανείῳ σιτήσεως. καὶ οἳ θάνατον αὐτοῦ κατέγνωσαν,

προσθέντες ἄλλας ψήφους ὀγδοήκοντα. καὶ δεθείς, μετ' οὐ πολλὰς ἡμέρας ἔπιε τὸ κώνειον, πολλὰ καλὰ κἀγαθὰ διαλεχθείς, ἃ Πλάτων ἐν τῷ Φαίδωνι φησίν. ἀλλὰ καὶ παιᾶνα κατά τινας ἐποίησεν, οὗ ἡ ἀρχή, Δήλι' Ἄπολλον χαῖρε, καὶ Ἄρτεμι, παῖδε κλεινώ. Διονυσόδωρος δέ φησι μὴ εἶναι αὐτοῦ τὸν παιᾶνα. ἐποίησε δὲ καὶ μῦθον Αἰσώπειον, οὐ πάνυ ἐπιτετευγμένως, οὗ ἡ ἀρχή,

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμοισι,
Μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

ὁ μὲν οὖν ἐξ ἀνθρώπων ἦν· Ἀθηναῖοι δ' εὐθὺς μετέγνωσαν, ὥστε κλεῖσαι καὶ παλαίστρας καὶ γυμνάσια. καὶ τοὺς μὲν ἐφυγάδευσαν, Μελίτου δὲ θάνατον κατέγνωσαν. Σωκράτη δὲ χαλκῆς εἰκόνος ἐτιμήσαντο, ἣν ἔθεσαν ἐν τῷ πομπίῳ, Λυσίππου ταύτην ἐργασαμένου. Ἄνυτόν τε ἐπιδημήσαντα αὐθημερὸν ἐξεκήρυξαν Ἡρακλεῶται. οὐ μόνον δὲ ἐπὶ Σωκράτους Ἀθηναῖοι πεπόνθασι τοῦτο, ἀλλὰ καὶ ἐπὶ πλείστων ὅσων. καὶ γὰρ Ὅμηρον (καθά φησιν Ἡρακλείδης) πεντήκοντα δραχμαῖς, ὡς μαινόμενον, ἐτίμησαν· καὶ Τυρταῖον παρακόπτειν ἔλεγον. καὶ Ἀστυδάμαντα πρῶτον τὸν περὶ Αἰσχύλον, ἐτίμησαν εἰκόνι χαλκῇ. Εὐριπίδης δὲ καὶ ὀνειδίζει αὐτοῖς ἐν τῷ Παλαμήδει, λέγων, Ἐκάνετ' ἐκάνετε τὰν πάνσοφον τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα μουσᾶν. καὶ τάδε μὲν ὧδε. Φιλόχωρος δέ φησι προτελευτῆσαι τὸν Εὐριπίδην τοῦ Σωκράτους. ἐγεννήθη δὲ (καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς) ἐπὶ Ἀψεφίωνος, ἐν τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ, ὅτε καθαίρουσι τὴν πόλιν Ἀθηναῖοι, καὶ τὴν Ἄρτεμιν γενέσθαι Δήλιοι φασίν. ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐννενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. καὶ ταῦτά φησι καὶ Δημήτριος ὁ Φαληρεύς. ἔνιοι γὰρ ἑξήκοντα ἐτῶν τελευτῆσαι αὐτὸν φασίν. ἀμφότεροι δὲ ἤκουσαν Ἀναξαγόρου,

καὶ

καὶ ἔστι πρὸς καὶ Εὐριπίδης, ὃς καὶ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου. δοκεῖ δέ μοι καὶ περὶ τῶν φυσικῶν ὁ Σωκράτης διειλέχθαι, ὅπου γε καὶ περὶ προνοίας τινὰ διαλέγεται, καθά φησι καὶ Ξενοφῶν, καίτοι περὶ μόνων τῶν ἠθικῶν ποιεῖσθαι τοὺς λόγους αὐτὸν εἰπών. ἀλλὰ καὶ Πλάτων ἐν τῇ ἀπολογίᾳ μνησθεὶς Ἀναξαγόρου καὶ ἄλλων φυσικῶν ἃ Σωκράτης ἀρνεῖται, περὶ τούτων αὐτὸς λέγει, καίπερ ἀνατιθεὶς πάντα Σωκράτει. φησὶ δ' Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας, τά τε ἄλλα καταγνῶναι τοῦ Σωκράτους, καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὴν τελευτὴν αὐτῷ. ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν οὕτω,

Πῖνέ νυν ἐν Διὸς ὤν, ὦ Σώκρατες. ἦ σε γὰρ ὄντως
Καὶ σοφὸν εἶπε θεός, καὶ θεὸν ἡ σοφίη.
Πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς μὲν ἐδέξω,
Αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

Τούτῳ τις, καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ περὶ ποιητικῆς, ἐφιλονείκει Ἀντίλοχος Λήμνιος, καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ Κύδων καὶ Ὀνάτας· καὶ Σάγαρις Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης· καὶ Πινδάρῳ Ἀμφιμένης ὁ Κῷος· Θάλητι δὲ Φερεκύδης, καὶ Βίαντι Σάλαρος Πριηνεύς· Πιττακῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος, καὶ Σιμωνίδῃ Τιμοκρέων. τῶν δὲ διαδεξαμένων αὐτόν, τῶν λεγομένων Σωκρατικῶν, οἱ κορυφαιότατοι μὲν Πλάτων, Ξενοφῶν, Ἀντισθένης· τῶν δὲ φερομένων δέκα οἱ διασημότατοι τέσσαρες, Αἰσχίνης, Φαίδων, Εὐκλείδης, Ἀρίστιππος. λεκτέον δὲ πρῶτον περὶ Ξενοφῶντος, εἶτα περὶ Ἀντισθένους ἐν τοῖς κυνικοῖς, ἔπειτα περὶ τῶν Σωκρατικῶν, εἶθ' οὕτω περὶ Πλάτωνος· ἐπεὶ κατάρχει τῶν δέκα αἱρέσεων, καὶ τὴν πρώτην Ἀκαδημίαν αὐτὸς συνεστή-

σατο. ἡ μὲν οὖν ἀκολουθία τοῦτον ἐχέτω τὸν τρόπον. γέγονε δὲ Σωκράτης καὶ ἕτερος, ἱστορικὸς, περιήγησιν Ἄργους γεγραφώς· καὶ ἄλλος, περιπατητικὸς, Βιθυνός· καὶ ἕτερος, ἐπιγραμμάτων ποιητής· καὶ ὁ Κῷος, ἐπικλήσεις θεῶν γεγραφώς.

## ΞΕΝΟΦΩΝ.

Ξενοφῶν, Γρύλλου μὲν ἦν υἱὸς, Ἀθηναῖος, τῶν δήμων Ἀρχιεύς· αἰδήμων δὲ καὶ εὐειδέστατος εἰς ὑπερβολήν. τούτῳ ἐν στενωπῷ φασὶν ἀπαντήσαντα Σωκράτην, διατεῖναι τὴν βακτηρίαν καὶ κωλύειν παριέναι, πυνθανόμενον ποῦ πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον· ἀποκριναμένου δὲ, πάλιν πυθέσθαι, Ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι; ἀπορήσαντος δὲ, Ἕπου τοίνυν, (φάναι) καὶ μάνθανε. καὶ τοὐντεῦθεν ἀκροατὴς Σωκράτους ἦν. καὶ πρῶτος ὑποσημειωσάμενος τὰ λεγόμενα, εἰς ἀνθρώπους ἤγαγεν, Ἀπομνημονεύματα ἐπιγράψας. ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψε. καὶ αὐτόν φησιν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς, ἐρασθῆναι Κλεινίου· πρὸς ὃν καὶ ταῦτα εἰπεῖν, Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά. τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι. Κύρῳ δὲ φίλος ἐγένετο τοῦτον τὸν τρόπον· ἦν αὐτῷ συνήθης Πρόξενος ὄνομα, γένος Βοιώτιος, μαθητὴς μὲν Γοργίου τοῦ Λεοντίνου, φίλος δὲ Κύρῳ. οὗτος ἐν Σάρδεσι διατρίβων παρὰ τῷ Κύρῳ, ἔπεμψεν εἰς Ἀθήνας ἐπιστολὴν Ξενοφῶντι, καλῶν αὐτὸν ἵνα γένηται Κύρῳ φίλος. ὁ δὲ τὴν ἐπιστολὴν δείκνυσι Σωκράτει, καὶ σύμβουλον ᾑρεῖτο· καὶ ὃς ἀπέστειλεν αὐτὸν εἰς Δελφοὺς χρησόμενον τῷ θεῷ. πείθεται Ξενοφῶν· ἥκει παρὰ τὸν θεόν.

πυνθάνεται οὐχὶ εἰ χρὴ ἀπιέναι πρὸς Κῦρον, ἀλλ' ὅπως. ἐφ' ᾧ καὶ Σωκράτης αὐτὸν ᾐτιᾶτο μὲν, συνεβούλευσε δὲ ἐξελθεῖν. καὶ ὃς γίνεται παρὰ Κύρῳ, καὶ τοῦ Προξένου φίλος οὐχ ἧττον ἦν αὐτῷ. τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὴν ἀνάβασιν γενόμενα καὶ τὴν κάθοδον ἱκανῶς αὐτὸς ἡμῖν διηγεῖται. ἐχθρῶς δὲ διέκειτο πρὸς Μένωνα τὸν Φαρσάλιον παρὰ τὸν χρόνον τῆς ἀναβάσεως τὸν ξεναγόν· ὅτε καὶ λοιδορῶν αὐτὸν φησὶν αὐτοῦ μείζοσι κεχρῆσθαι παιδικοῖς. ἀλλὰ καὶ Ἀπολλωνίδῃ τινὶ ὀνειδίζει τετρῆσθαι τὰ ὦτα. μετὰ δὲ τήν τε ἀνάβασιν καὶ τὰς ἐν τῷ Πόντῳ συμφορὰς, καὶ τὰς παρασπονδήσεις τὰς Σεύθου τοῦ τῶν Ὀδρυσῶν βασιλέως, ἧκεν εἰς Ἀσίαν πρὸς Ἀγησίλαον τὸν Λακεδαιμονίων βασιλέα, μισθοῦ τοὺς Κύρου στρατιώτας αὐτῷ παρασχών· φίλος τε ἦν εἰς ὑπερβολήν. παρ' ὃν καιρὸν ἐπὶ Λακωνισμῷ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη. γενόμενος δ' ἐν Ἐφέσῳ, καὶ χρυσίον ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ φυλάττειν, ἕως ἂν ἐπανέλθῃ· εἰ δὲ μὴ, ἄγαλμα ποιησάμενον, ἀναθεῖναι τῇ θεῷ. τοῦ δὲ ἡμίσεος ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα. ἐντεῦθεν ἦλθεν μετὰ Ἀγησιλάου εἰς τὴν Ἑλλάδα, κεκλημένου εἰς τὸν πρὸς Θηβαίους πόλεμον· καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι. ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον, ἧκεν εἰς Σκιλλοῦντα, χωρίον τῆς Ἠλείας, ὀλίγον τῆς πόλεως ἀπέχον. εἵπετο δὲ αὐτῷ καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης· καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου· οἳ καὶ Διόσκουροι ἐπεκαλοῦντο. ἀφικομένου δὲ τοῦ Μεγαβύζου κατὰ πρόφασιν τῆς πανηγύρεως, κομισάμενος τὰ χρήματα, χωρίον ἐπρίατο, καὶ καθιέρωσε τῇ θεῷ δι' οὗ ποταμὸς ἔρρει Σελινοῦς, ὁμώνυμος τῷ ἐν Ἐφέσῳ· τοὐντεῦθεν διετέλει κυνηγετῶν, καὶ τοὺς φίλους ἑστιῶν, καὶ

τὰς ἱστορίας συγγράφων. φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι. ἀλλὰ καὶ Φιλοπίδαν τὸν Σπαρτιάτην φασὶν αὐτῷ πέμψαι αὐτόθι δωρεὰν, ἀνδράποδα αἰχμάλωτα ἐκ Δαρδάνου· καὶ τὸν διαθέσθαι αὐτὰ ὡς ἐβούλετο. Ἠλείους τε στρατευσαμένους εἰς τὸν Σκιλλοῦντα, καὶ βραδυνόντων Λακεδαιμονίων, ἐξελεῖν τὸ χωρίον. ὅτε καὶ τοὺς υἱέας αὐτοῦ εἰς Λέπρεον ὑπεξελθεῖν μετ' ὀλίγων οἰκετῶν· καὶ αὐτὸν Ξενοφῶντα εἰς τὴν Ἦλιν πρότερον, εἶτα καὶ εἰς Λέπρεον πρὸς τοὺς παῖδας· κἀκεῖθεν σὺν αὐτοῖς εἰς Κόρινθον διασωθῆναι, καὶ αὐτόθι κατοικῆσαι. ἐν τούτῳ δὲ ψηφισαμένων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις, ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομένους ὑπὲρ τῶν Λακεδαιμονίων. καὶ γὰρ ἐπεπαίδευντο αὐτόθι ἐν τῇ Σπάρτῃ, καθά φησι Διοκλῆς ἐν τοῖς Βίοις τῶν φιλοσόφων. ὁ μὲν οὖν Διόδωρος οὐδὲν ἐπιφανὲς πράξας, ἐκ τῆς μάχης ἀνασώζεται, καὶ αὐτῷ υἱὸς ὁμώνυμος γίνεται τἀδελφῷ. ὁ δὲ Γρύλλος τεταγμένος κατὰ τοὺς ἱππέας, (ἦν δὲ ἡ μάχη περὶ Μαντίνειαν) ἰσχυρῶς ἀγωνισάμενος ἐτελεύτησεν, ὥς φησιν Ἔφορος ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ· Κηφισοδώρου μὲν ἱππαρχοῦντος, Ἡγησίλεω δὲ στρατηγοῦντος. ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμινώνδας ἔπεσε. τηνικαῦτα δὴ καὶ τὸν Ξενοφῶντα φασὶ θύειν ἐστεμμένον· ἀπαγγελθέντος δ' αὐτῷ τοῦ θανάτου, ἀποστεφανώσασθαι· ἔπειτα μαθόντα ὅτι γενναίως, πάλιν ἐπιθέσθαι τὸν στέφανον. ἔνιοι δὲ οὐδὲ δακρῦσαι φασὶν αὐτόν. Ἀλλὰ γὰρ (εἰπεῖν) ᾔδειν θνητὸν γεγεννηκώς. φησὶ δ' Ἀριστοτέλης, ὅτι ἐγκώμια καὶ ἐπιτάφιον Γρύλλου μυρίοι ὅσοι συγγράψαι τὸ μέρος, καὶ τῷ πατρὶ χαριζόμενοι. ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ περὶ Θεοφράστου, καὶ Σωκράτη φησὶ Γρύλλου ἐγκώμιον γεγραφέναι. Τίμων δ' ἐπισκώπτει αὐτὸν ἐν τούτοις,

Ἀσθενική τε λόγων δυὰς ἢ τριὰς, ἢ ἔτι πόρσω,

Οἷος Ξενοφῶν, ἤτ' Αἰσχίνου οὐκ ἐπιτηδής, Γράψαι. καὶ ὁ μὲν βίος αὐτῷ τοιόσδε. ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος. καὶ ἀναβέβηκε σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου, ἑνὶ πρότερον ἔτει τῆς Σωκράτους τελευτῆς. κατέστρεψε δὲ (καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ) ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιδημίδου, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδόνων ἦρξε. τέθνηκε δὲ ἐν Κορίνθῳ (ὥς φησι Δημήτριος ὁ Μάγνης) ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς· ἀνὴρ τά τε ἄλλα γεγονὼς ἀγαθὸς, καὶ δὴ καὶ φίλιππος καὶ φιλοκύνηγος καὶ τακτικὸς, ὡς ἐκ τῶν συγγραμμάτων δῆλον· εὐσεβής τε καὶ φιλοθύτης, καὶ ἱερεῖα διαγνῶναι ἱκανὸς, καὶ Σωκράτη ζηλώσας ἀκριβῶς. συνέγραψε δὲ βιβλία πρὸς τὰ τετταράκοντα, ἄλλων ἄλλως διαιρούντων· τήν τε ἀνάβασιν, ἧς κατὰ βιβλίον μὲν ἐποίησε προοίμιον, ὅλης δὲ, οὔ· καὶ Κύρου παιδείαν, καὶ Ἑλληνικὰ, καὶ ἀπομνημονεύματα· συμπόσιόν τε, καὶ οἰκονομικὸν, καὶ περὶ ἱππικῆς, καὶ κυνηγετικὸν, καὶ ἱππαρχικὸν, ἀπολογίαν τε Σωκράτους, καὶ περὶ πόρων, καὶ Ἱέρωνα ἢ τυραννικὸν, Ἀγησίλαόν τε, καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν, ἥν φησιν οὐκ εἶναι Ξενοφῶντος ὁ Μάγνης Δημήτριος. λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος, αὐτὸς εἰς δόξαν ἤγαγεν. ἐκαλεῖτο δὲ καὶ Ἀττικὴ μοῦσα γλυκύτητι τῆς ἑρμηνείας. ὅθεν καὶ πρὸς ἀλλήλους ζηλοτύπως εἶχον αὐτός τε καὶ Πλάτων, ὡς ἐν τῷ περὶ Πλάτωνος λέξομεν. ἔστι δὲ καὶ εἰς τοῦτον ἡμῶν ἐπιγράμματα τοῦτον ἔχοντα τὸν τρόπον,

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
Ἀλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγοι.
Παιδείης γὰρ ἑῆς Ἑλληνικὰ πράγματα δείξας,

Ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος.

Ἄλλο, ὡς ἐτελεύτα.

Εἰ καί σε Ξενοφῶν Κραναοῦ Κέκροπός τε πολῖται
Φεύγειν κατέγνων, τοῦ φίλου χάριν Κύρου·
Ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν
Οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως.

Εὗρον δὲ ἀλλαχόθι ἀκμάσαι αὐτὸν περὶ τὴν ἐνάτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα σὺν τοῖς ἄλλοις Σωκρατικοῖς. καὶ Ἴστρος φησὶν αὐτὸν φυγεῖν κατὰ ψήφισμα Εὐβούλου, καὶ κατελθεῖν κατὰ ψήφισμα τοῦ αὐτοῦ. γεγόνασι δὲ Ξενοφῶντες ἑπτά. πρῶτος, αὐτὸς οὗτος· δεύτερος, Ἀθηναῖος, ἀδελφὸς Πυθοστράτου, τοῦ τὴν Θησηΐδα πεποιηκότος, γεγραφὼς ἄλλα τε καὶ βίον Ἐπαμινώνδου καὶ Πελοπίδου· τρίτος, ἰατρὸς Κῷος· τέταρτος, ἱστορίαν Ἀννιβαϊκὴν γεγραφώς· πέμπτος, μυθώδη τερατείαν πεπραγματευμένος· ἕκτος, Πάριος, ἀγαλματοποιός· ἕβδομος, κωμῳδίας ἀρχαίας ποιητής.

## ΑἸΣΧΊΝΗΣ.

Αἰσχίνης, Χαρίνου τοῦ ἀλλαντοποιοῦ· οἱ δέ, Λυσανίου Ἀθηναῖος· ἐκ νέου φιλόπονος. διὸ καὶ Σωκράτους οὐκ ἀπέστη· διὸ καὶ ἔλεγε, Μόνος ἡμᾶς οἶδε τιμᾶν ὁ τοῦ ἀλλαντοποιοῦ. τοῦτον ἔφη Ἰδομενεὺς ἐν τῷ δεσμωτηρίῳ συμβουλεῦσαι περὶ τῆς φυγῆς Σωκράτει, καὶ οὐ Κρίτωνα. Πλάτωνα δέ, ὅτι ἦν Ἀριστίππῳ μᾶλλον φίλος, Κρίτωνι περιθεῖναι τοὺς λόγους. διεβάλλετο δὲ ὁ Αἰσχίνης καὶ μάλιστα ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ὡς τοὺς πλείστους διαλόγους, ὄντας Σωκράτους, ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης· ὧν οἱ μὲν καλούμενοι Ἀκέφαλοι, σφόδρ' εἰσὶν ἐκλελυμένοι, καὶ οὐκ ἐπιφαίνοντες τὴν Σωκρατικὴν εὐτονίαν, οὓς καὶ Πεισίστρατος ὁ Ἐφέσιος ἔλεγε μὴ εἶναι Αἰσχίνου. καὶ τῶν ἑπτὰ δὲ τοὺς πλείστους Περσαῖός φησι

Πασιφῶντος εἶναι τοῦ Ἐρετρικοῦ, εἰς τοὺς Αἰσχίνου δὲ καταπάξαι. ἀλλὰ καὶ τὸν Ἀντισθένους τόν τε μικρὸν Κῦρον, καὶ τὸν Ἡρακλέα τὸν ἐλάσσω, καὶ Ἀλκιβιάδην, καὶ τοὺς τῶν ἄλλων δὲ ἐσκευώρηται. οἱ δ' οὖν τοῦ Αἰσχίνου τὸ Σωκρατικὸν ἦθος ἀπομεμαγμένοι, εἰσὶν ἑπτά· πρῶτος, Μιλτιάδης (διὸ καὶ ἀσθενέστερόν πως ἔχει) Καλλίας, Ἀξίοχος, Ἀσπασία, Ἀλκιβιάδης, Τηλαύγης, Ῥίνων. φασὶ δ' αὐτὸν δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ Ἀριστίππου συστα θῆναι. δόντα τέ τινας τῶν διαλόγων, δῶρα λαβεῖν. ἔπειτ' ἀφικόμενον Ἀθήναζε, μὴ τολμᾶν σοφιστεύειν, εὐδοκιμούντων τότε τῶν περὶ Πλάτωνα καὶ Ἀρίστιππον· ἐμμίσθους δὲ ἀκροάσεις ποιεῖσθαι. εἶτα συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις. διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτοῦ, – ἥ τ' Αἰσχίνου οὐκ ἀπιθὴς, Γράψαι. φασὶ δ' αὐτῷ λέγειν Σωκράτη, ἐπειδήπερ ἐπιέζετο ὑπὸ πενίας, παρ' ἑαυτοῦ δανείζεσθαι τῶν σιτίων ὑφαιροῦντα. τούτου τοὺς διαλόγους καὶ Ἀρίστιππος ὑπώπτευεν. ἐν γοῦν Μεγάροις ἀναγινώσκοντος αὐτοῦ φασὶ σκῶψαι, εἰπόντα, Πόθεν σοι, λῃστά, ταῦτα; φησὶ δὲ Πολύκριτος ὁ Μενδαῖος ἐν τῷ πρώτῳ τῶν περὶ Διονύσιον, ἄχρι τῆς ἐκπτώσεως συμβιῶναι αὐτὸν τῷ τυράννῳ, καὶ ἕως τῆς Δίωνος εἰς Συρακούσας καθόδου· λέγων εἶναι σὺν αὐτῷ Καρκῖνον τὸν κωμῳδοποιόν. φέρεται δὲ καὶ ἐπιστολὴ πρὸς Διονύσιον Αἰσχίνου. ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἱκανῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας τοῦ πατρὸς Φαίακος τοῦ στρατηγοῦ, καὶ δι' ὧν μάλιστα μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. καὶ Λισίας δὲ κατ' αὐτοῦ συγγέγραφε λόγον, περὶ συκοφαντίας ἐπιγράψας. ἐξ ὧν δῆλον ὅτι καὶ ῥητορικός τις ἦν. γνώριμος δὲ αὐτοῦ φέρεται εἷς, Ἀριστοτέλης ὁ Μῦθος ἐπικληθείς. πάντων μέντοι, τῶν

Σωκρατικῶν διαλόγων Παναίτιος ἀληθεῖς εἶναι δοκεῖ τοὺς Πλάτωνος, Ξενοφῶντος, Ἀντισθένους, Αἰσχίνου. διστάζει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου. τοὺς δὲ ἄλλους ἀναιρεῖ πάντας. γεγόνασι δ᾽ Αἰσχίναι ὀκτώ. πρῶτος, αὐτὸς οὗτος· δεύτερος δὲ, ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς. τρίτος, ὁ ῥήτωρ ὁ κατὰ Δημοσθένην· τέταρτος, Ἀρκὰς, μαθητὴς Ἰσοκράτους· πέμπτος, ὁ Μιτυληναῖος, ὃν καὶ ῥητορομάστιγα ἐκάλουν· ἕκτος, Νεαπολίτης, φιλόσοφος Ἀκαδημαϊκὸς, Μελανθίου τοῦ Ῥοδίου μαθητὴς καὶ παιδικά· ἕβδομος, Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος, ἀνδριαντοποιός.

## ἈΡΊΣΤΙΠΠΟΣ.

Ἀρίστιππος τὸ μὲν γένος ἦν Κυρηναῖος, ἀφιγμένος δὲ Ἀθήναζε, καθά φησιν Αἰσχίνης, κατὰ κλέος Σωκράτους. οὗτος σοφιστεύσας (ὥς φησι Φανίας ὁ περιπατητικὸς ὁ Ἐρέσιος) πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο, καὶ ἀπέστελλε χρήματα τῷ διδασκάλῳ. καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἔλαβεν, εἰπόντος Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Ξενοφῶν τε εἶχε πρὸς αὐτὸν δυσμενῶς· διὸ καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατ᾽ Ἀριστίππου περιτέθεικεν. οὐ μὴν ἀλλὰ καὶ Θεόδωρος ἐν τῷ περὶ αἱρέσεων, ἐκάκισεν αὐτὸν, καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς, ὡς ἐν ἄλλοις εἰρήκαμεν. ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμονίως ὑποκρίνασθαι. διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων εὐδοκίμει μᾶλλον, ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος. ἀπέλαυε μὲν γὰρ ἡδονῆς τῶν παρόντων, οὐκ ἐθήρα δὲ πόνῳ τὴν ἀπόλαυσιν τῶν οὐ παρόντων· ὅθεν καὶ Διογένης βασιλικὸν κύνα ἔλεγεν αὐτόν. ὁ δὲ Τίμων παρέφαγγε ὡς θρυπτόμενον, οὑτωσί πως εἰπών,

Οἷά τ' Ἀριστίππου τρυφερὴ φύσις ἀμφαφόωντος
ψεύδη.

τοῦτον φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ἐωνῆσθαι. αἰτιασαμένου δέ τινος, Σὺ δ' οὐκ ἂν (εἶπεν) ὀβολοῦ τοῦτον ἐπρίω; ἐπινεύσαντος δὲ, Τοσοῦτον (ἔφη) ἐμοὶ δύνανται αἱ πεντήκοντα δραχμαί. Διονισίου δέ ποτε, τριῶν ἑταιρῶν οὐσῶν, μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγε, εἰπὼν, Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι. ἀπαγαγὼν μέντοι (φασὶν) αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς. διό ποτε Στράτωνα, οἱ δὲ Πλάτωνα πρὸς αὐτὸν εἰπεῖν, Σοὶ μόνῳ δέδοται καὶ χλαμύδα φορεῖν καὶ ῥάκος. Διονισίου δὲ προσπτύσαντος αὐτῷ ἠνέσχετο. μεμψαμένου δέ τινος, εἶτα, Οἱ μὲν ἁλιεῖς (εἶπεν) ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράμματι ῥανθῆναι, ἵνα βλέννον λάβω; παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψε καί φησιν, Εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. ὁ δὲ, Καὶ σὺ (εἶπεν) εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες. ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν. ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν, Εἰ τοῦτ' (ἔφη) φαῦλον ἦν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο. ἐρωτηθείς ποτε τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη, Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν. ἐρωτηθεὶς ὑπὸ Διονισίου διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ὧιπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων. εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, οὐ τὸ εἰς-

ελθεῖν (ἔφη) χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν. αἴνιγμα τινὸς αὐτῷ προτείναντος καὶ εἰπόντος, Λῦσον· Τί, ὦ μάταιε (ἔφη) λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει; ἄμεινον ἔφη ἐπαίτην ἢ ἀπαίδευτον εἶναι. οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται. λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δὲ ἐπιδιώκοντος εἰπόντος, Τί φεύγεις; Ὅτι (φησὶ) τοῦ μὲν κακῶς λέγειν, σὺ τὴν ἐξουσίαν ἔχεις· τοῦ δὲ μὴ ἀκούειν, ἐγώ. εἰπόντος τινὸς ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις, Καὶ γὰρ καὶ οἱ ἰατροὶ (φησὶ) παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ διὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν. εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. πρὸς οὖν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε; Οὐ γὰρ περὶ ὁμοίας (ἔφη) ψυχῆς ἀγωνιῶμεν ἕκαστοι. σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη, Ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντες, εἰσὶ σπουδαῖοι. πρὸς τὸν ὑπὲρ αὐτοῦ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτόν, τί σε ὤνησε Σωκράτης; ἔφη, Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι. τὰ ἄριστα ὑπετίθετο τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλείονος εἶναι. ἐρωτηθεὶς ὑπό τινος τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς, Καὶ εἰ μηδὲν ἄλλο, (εἶπεν) ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ἐπὶ λίθῳ. συνιστάντος τινὸς αὐτῷ υἱόν, ᾔτησε πεντακοσίας δραχμάς. τοῦ δὲ εἰπόντος, Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι, Πρίω, (ἔφη) καὶ ἕξεις δύο. ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῷτο, ἀλλ' ἵνα ἐκεῖνοι εἰδεῖεν εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων, ἐμισθώσατο ῥήτορα, Καὶ

ὃ (ἔφη) ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι. ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον (ἔφη) εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ· τὸ δέ, πότε δεῖ λέγειν, σύ με διδάσκεις. ἐπὶ τούτῳ δὴ ἀγανακτήσαντα τὸν Διονύσιον, ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τόν, Ἐνδοξότερον (φάναι) τὸν τόπον ἠθέλησας ποιῆσαι. αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, Οὐκ αἰσχύνῃ (εἶπεν) ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος; ἐρωτηθείς ποτε τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη, Εἰς ἀγνῶτας τοὺς ἀμφοτέρους γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ. αὐχοῦντός τινος ἐπὶ τῷ πολλὰ πίνειν, καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ἡμίονος, φησί. πρὸς τὸν αἰτιώμενον ὅτι ἑταίρᾳ συνοικεῖ, Ἆρα γε (εἶπεν) μή τι διενέγκαι οἰκίαν λαβεῖν ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ μηδείς; εἰπόντος δέ, οὔ· Τί δέ, πλεῦσαι ἐν νηΐ, ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ μηδὲ εἷς; Οὐδαμῶς. Οὐδ' ἄρα γυναικὶ (ἔφη) συνεῖναι ᾗ πολλοὶ κέχρηνται, ἢ μηδείς. πρὸς τὸν αἰτιώμενον ὅτι Σωκράτους μαθητὴς ὢν ἀργύριον λαμβάνει, Καὶ μάλα· (εἶπε) καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινῶν καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν. εἶχε γὰρ ταμίας τοὺς πρώτους Ἀθηναίων· ἐγὼ δὲ Εὐτυχίδην ἀργυρώνητον. ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ, καθά φησι καὶ Σωτίων ἐν δευτέρᾳ τῶν διαδοχῶν. πρὸς οὖν τοὺς μεμφομένους ἔφη, Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι. ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν, ἄριστον, οὐ τὸ μὴ χρῆσθαι. πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν, ἔφη, Σὺ δ' οὐκ ἂν τριωβόλου τοῦτ' ἐπρίω; ὁμολογήσαντος δέ, Οὐκέτι τοίνυν (ἔφη) φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάργυρος. Σίμου ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος, (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος) ἀναχρεμψάμενος, προσέπτυσε τῇ ὄψει. τοῦ δ' ἀγανακτήσαντος, Οὐκ εἶχον (εἶπε) τόπον ἐπιτηδειότερον. πρὸς Χαρώνδαν

εἰπόντα, (οἱ δὲ, πρὸς Φαίδωνα) Τίς ὁ μεμυρισμένος; Ἐγὼ (φησὶν) ὁ κακοδαίμων, κἀμοῦ κακοδαιμονέστερος ὁ Περσῶν βασιλεύς. ἀλλ' ὅρα μὴ ὡς οὐδὲν τῶν ἄλλων ζώων παρὰ τοῦτο τι ἐλαττοῦται, οὕτως οὐδ' ἂν ἄνθρωπος. κακοὶ κακῶς δ' ἀπόλοιντο οἱ κίναιδοι, οἵτινες καλὸν ἡμῶν ἄλειμμα διαβάλλοισιν. ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν ὑπὸ Πλάτωνος, ἔφη, Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; τοῦ δ' ὁμολογήσαντος, Καὶ μὴν (ἔφη) ζῇ ἐμοῦ πολυτελέστερον. ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ καλῶς ζῆν. ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη, Ὡς ἂν ἐγὼ εὐξαίμην. Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν, καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπὼν, Δύνασαι (ἔφη) καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι; τοῦ δ' ἐπινεύσαντος, Τί οὖν (ἔφη) ἐμέμφου; ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι. τοῦ θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον, καὶ βαρυνομένου, (ὥς φασιν οἱ περὶ τὸν Βίωνα ἐν ταῖς διατριβαῖς) Ἀπόχεε (ἔφη) τὸ πλέον, καὶ ὅσον δύνασαι βάσταζε. πλέων ποτὲ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικὸν, λαβὼν τὸ χρυσίον ἠρίθμει· ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων παρακατέβαλε, καὶ δῆθεν ᾤμωξεν. οἱ δὲ καὶ ἐπειπεῖν φασὶν αὐτὸν, Ὡς ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι. Διονυσίου ποτὲ ἐρομένου ἐπὶ τί ἥκοι, ἔφη ἐπὶ τῷ μεταδώσειν ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. ἔνιοι δ' οὕτως ἀποκρίνασθαι, Ὁπότε μὲν σοφίας ἐδεόμην, ἧκον παρὰ Σωκράτην· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἥκω. κατεγίνωσκε τῶν ἀνθρώπων, ὡς τὰ σκεύη μὲν ἐν ταῖς ἀγορασίαις σκοπούντων, τοὺς δὲ βίους εἰκῆ δοκιμαζόντων· οἱ δὲ, τοῦτο Διογένους φασί. καί ποτε παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν Πλάτωνα μὴ προσέσθαι, εἰπόντα,

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.
δ' Ἀρίστιππον λαβόντα, καὶ μέλλοντα ὀρχήσασθαι, ὡς τό
ως εἰπεῖν,
--καὶ γὰρ ἐν βακχεύμασιν
Οὖσ' ἥγε σώφρων οὐ διαφθαρήσεται.
ὀμενος ποτὲ περὶ φίλου Διονυσίου, καὶ μὴ ἐπιτυγχάνων,
ς πόδας αὐτοῦ ἔπεσε. πρὸς οὖν τὸν ἐπισκώψαντα, Οὐκ
ὼ (φησὶν) αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκο-
ἔχων. διατρίβων ἐν Ἀσίᾳ, καὶ ληφθεὶς ὑπὸ Ἀρτα-
έρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα, Καὶ ὧδε θαῤῥεῖς;
ότε γὰρ, (εἶπεν) ὦ μάταιε, θαῤῥήσαιμι ἂν μᾶλλον ἢ νῦν,
ε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι; τοὺς τῶν ἐγκυκλί-
ι παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέν-
ς, ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πηνελόπης μνηστῆρσι. καὶ γὰρ
είνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θε-
ραπαίνας ἔχειν, πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν
ύνασθαι γῆμαι. τὸ δ' ὅμοιον καὶ Ἀρίστων· τὸν γὰρ Ὀ-
υσσέα, καταβάντα εἰς ᾅδου, τοὺς μὲν νεκροὺς πάντας σχε-
ν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐ-
ὼ μὴ τεθεᾶσθαι. ὁ δ' οὖν Ἀρίστιππος ἐρωτηθεὶς τίνα
ὶν ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη, Οἷς ἄν-
ες γενόμενοι χρήσονται. πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ,
ς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, ἀλλὰ πρὸς
ωκράτην (εἶπεν) ἦλθον, παιδείας δεόμενος· πρὸς δὲ Διο-
σιον, παιδιᾶς. ἐξ ὁμιλίας αὐτοῦ χρηματισαμένῳ φησὶ
ωκράτης, Πόθεν σοι τοσαῦτα; καὶ ὃς, Ὅθεν σοι τὰ ὀλί-
α. ἑταίρας εἰπούσης πρὸς αὐτὸν, Ἐκ σοῦ κύω, Οὐ μᾶλ-
ον (ἔφη) γινώσκεις, ἢ εἰ δι' ὀλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ
ᾶδε κεκεντῆσθαι. ᾐτιάσατό τις αὐτὸν τὸν υἱὸν ἀποῤῥιπτοῦν-
α, ὡσπερ οὐκ ἐξ αὐτοῦ γεγονότα· καὶ ὃς, Καὶ τὸ φλέγμα
φησὶ) καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεννωμένους, ἀλλ'
χρεῖα ὄντα ὡς πόῤῥωτάτω ῥίπτομεν. ἐνδεξάμενος τὸ

ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, Ἐγὼ μὲν γὰρ (εἶπεν) ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής. πρὸς τὸν εἰπόντα τίνος ἕνεκα ἐλέγχεται παρὰ Διονυσίου, Οὗ ἕνεκα (φησὶν) οἱ ἄλλοι ἐλέγχουσιν. ᾔτει Διονύσιον ἀργύριον· καὶ ὅς, Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. ὁ δ' ὑπολαβὼν, Δὸς, (εἶπε) καὶ περὶ τούτου ζητῶμεν. δόντος δέ, Ὁρᾷς (ἔφη) ὅτι οὐκ ἠπόρηκα; εἰπόντος πρὸς αὐτὸν Διονυσίου,

Ὅς τις γὰρ ὡς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μολῇ·

ὑπολαβὼν, Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μολῇ. τοῦτο Διοκλῆς φησιν ἐν τῷ περὶ βίων φιλοσόφων. ἄλλοι γὰρ εἰς Πλάτωνα ἀναφέρουσιν. ὀργισθεὶς πρὸς Αἰσχίνην μετ' οὐ πολὺ, Οὐ διαλλαχθησόμεθα; οὐ παυσόμεθα (εἶπε) ληροῦντες; ἀλλὰ ἀναμένεις ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος φλυαρῶν διαλλάξῃ; καὶ ὅς, Ἀσμένως, ἔφη· Μνημόνευε τοίνυν (εἶπεν ὁ Ἀρίστιππος) ὅτι σοι πρότερος πρεσβύτερος ὢν προσῆλθον. καὶ ὁ Αἰσχίνης, Εὖγε, νὴ τὴν Ἥραν, ὀρθῶς εἶπας· ἐπεὶ πολλῷ μου βελτίων ὑπάρχεις. ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις. καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται. γεγόνασι δ' Ἀρίστιπποι τέσσαρες· περὶ οὗ τε ὁ λόγος· καὶ δεύτερος, ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς· τρίτος, ὁ μητροδίδακτος, θυγατριδοῦς τοῦ προτέρου· τέταρτος, ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. τοῦ δὲ Κυρηναϊκοῦ φιλοσόφου φέρεται βιβλία, τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα Διονυσίῳ· ἓν δὲ, ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν Ἀτθίδι, οἱ δὲ Δωρίδι διαλέκτῳ γεγραμμένοι, οἵδε, Ἀρτάβαζος, Πρὸς τοὺς ναυαγοὺς, Πρὸς τοὺς φυγάδας, Πρὸς πτωχὸν, Πρὸς Λαΐδα, Πρὸς Πῶρον, Πρὸς Λαΐδα περὶ τοῦ κατόπτρου, Ἑρμείας, Ἐνύπνιον, Πρὸς τὸν ἐπὶ τῆς κύλικος, Φιλόμηλος, Πρὸς τοὺς οἰκείους, Πρὸς τοὺς ἐπι-

μῶντας ὅτι κέκτηται οἶνον παλαιὸν καὶ ἑταίρας, Πρὸς τοὺς ἐπιτιμῶντας ὅτι πολυτελῶς ὀψωνεῖ, Ἐπιστολὴ πρὸς Ἀρήτην τὴν θυγατέρα, Πρὸς τὸν εἰς Ὀλυμπίαν γυμνάζοντα ἑαυτόν. Ἐρώτησις, Ἄλλη ἐρώτησις· Χρεία πρὸς Διονύσιον, Ἄλλη ἐπὶ τῆς εἰκόνος, Ἄλλη ἐπὶ τῆς Διονυσίου θυγατρός· Πρὸς τὸν οἰόμενον ἀτιμάζεσθαι, Πρὸς τὸν συμβουλεύειν ἐπιχειροῦντα. ἔνιοι δὲ καὶ διατριβῶν αὐτὸν φασὶν ἓξ γεγραφέναι. οἱ δ' οὐδ' ὅλως γράψαι· ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος. κατὰ δὲ Σωτίωνα ἐν δευτέρῳ, καὶ Παναίτιον, ἔστιν αὐτῷ συγγράμματα τάδε· Περὶ παιδείας, Περὶ ἀρετῆς, Προτρεπτικός, Ἀρτάβαζος, Ναυαγοί, Φυγάδες, Διατριβῶν ἕξ, Χρειῶν τρία, Πρὸς Λαΐδα, Πρὸς Πῶρον, Πρὸς Σωκράτην, Περὶ τύχης. τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.

Ἡμεῖς δ' ἐπειδὴ τὸν βίον ἀνεγράψαμεν αὐτοῦ, φέρε νῦν διέλθωμεν τοὺς ἀπ' αὐτοῦ Κυρηναϊκούς, οἵτινες ἑαυτούς, οἱ μὲν Ἡγησιακούς, οἱ δὲ Ἀννικερείους, οἱ δὲ Θεοδωρείους προσωνόμαζον. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀπὸ Φαίδωνος, ὧν τοὺς κορυφαιοτάτους Ἐρετρικοὺς ἔχειν οὕτως· Ἀριστίππου διήκουσεν ἡ θυγάτηρ Ἀρήτη, καὶ Αἰθίοψ Πτολεμαεύς, καὶ Ἀντίπατρος Κυρηναῖος· Ἀρήτης δὲ Ἀρίστιππος ὁ μητροδίδακτος ἐπικληθείς, οὗ Θεόδωρος ὁ ἄθεος, εἶτα θεός· Ἀντιπάτρου δ' Ἐπιτιμήδης Κυρηναῖος, οὗ Παραιβάτης, οὗ Ἡγησίας ὁ Πεισιθάνατος, καὶ Ἀννίκερις, ὁ Πλάτωνα λυτρωσάμενος. οἱ μὲν οὖν ἐπὶ τῆς ἀγωγῆς τῆς Ἀριστίππου μείναντες, καὶ Κυρηναϊκοὶ προσαγορευθέντες, δόξαις ἐχρῶντο τοιαύταις· δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν· τὴν μέν, λείαν κίνησιν, τὴν ἡδονήν· τὸν δὲ πόνον, τραχεῖαν κίνησιν. μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἥδιόν τι εἶναι· καὶ τὴν μέν, εὐδοκητὴν πᾶσι ζώοις· τὸν δ', ἀποκρουστικόν. ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, (καθά φησι καὶ Παναίτιος

ἐν τῷ περὶ τῶν αἱρέσεων) οὐ τὴν καταστηματικὴν ἡδονήν, τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ οἷον ἀοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναι φασί. δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν. τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν· εὐδαιμονίαν δὲ, τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. εἶναί τε τὴν μερικὴν ἡδονήν, δι' αὐτὴν αἱρετήν· τὴν δ' εὐδαιμονίαν, οὐ δι' αὐτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. πίστιν δ' εἶναι τοῦ τέλος εἶναι τὴν ἡδονήν, τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ᾠκειῶσθαι πρὸς αὐτήν, καὶ τυχόντας αὐτῆς, μηθὲν ἐπιζητεῖν· μηθέν τε οὕτω φεύγειν, ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα. εἶναι δὲ τὴν ἡδονὴν ἀγαθόν, κἂν ἀπὸ τῶν ἀσχημονεστάτων γένηται, καθά φησιν Ἱππόβοτος ἐν τῷ περὶ τῶν αἱρέσεων. εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὐτὴν αἱρετὴ καὶ ἀγαθόν. ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή· οὐδὲ ἡ ἀηδονία, ἀλγηδών. ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως. ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις. δύνασθαι δέ φασι καὶ τὴν ἡδονὴν τινὰς μὴ αἱρεῖσθαι κατὰ διαστροφήν. οὐ πάσας μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ἐπὶ σωματικαῖς ἡδοναῖς καὶ ἀλγηδόσι γίνεσθαι. καὶ γὰρ ἐπὶ ψιλῇ τῇ τῆς πατρίδος εὐημερίᾳ, ὥσπερ τῇ ἰδίᾳ, χαρὰν ἐγγίνεσθαι. ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν ἢ προσδοκίαν ἡδονήν φασιν ἀποτελεῖσθαι· ὅπερ ἤρεσκεν Ἐπικούρῳ. ἐκλύεται γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν, ἢ τὴν ἀκοήν, γίνεσθαι ἡδονάς. τῶν γοῦν μιμουμένων θρήνους ἡδέως ἀκούομεν, τῶν δὲ κατ' ἀλήθειαν, ἀηδῶς. μέσας τε καταστάσεις ὠνόμαζον ἀηδονίαν καὶ ἀπονίαν. πολὺ μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. ὅθεν καὶ ταύταις κολάζεσθαι

μᾶλλον

μᾶλλον τοὺς ἁμαρτάνοντας. χαλεπώτερον γὰρ τὸ πονεῖν, οἰκειότερον δὲ τὸ ἥδεσθαι ὑπελάμβανον. ἔνθεν καὶ πλείονα οἰκονομίαν περὶ θάτερον ἐποιοῦντο. διὸ καὶ καθ' αὑτὴν αἱρετῆς οὔσης τῆς ἡδονῆς, τὰ ποιητικὰ ἐνίων ἡδονῶν ὀχληρὰ πολλάκις ἐναντιοῦσθαι· ὡς δυσκολώτατον αὐτοῖς φαίνεσθαι τὸν ἀθροισμὸν τῶν ἡδονῶν, εὐδαιμονίαν μὴ ποιοῦντα. ἀρέσκει δ' αὐτοῖς, μήτε τὸν σοφὸν πάντα ἡδέως ζῆν, μήτε πάντα φαῦλον, ἐπιπόνως· ἀλλὰ κατὰ τὸ πλεῖστον. ἀρκεῖ δὲ κἂν κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπανάγῃ. τὴν φρόνησιν, ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετὴν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγινόμενα. τὸν φίλον, τῆς χρείας ἕνεκα. καὶ γὰρ μέρος σώματος μέχρις ἂν παρῇ, ἀσπάζεσθαι. τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν. γίνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. λυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. καὶ τὸν πλοῦτον δὲ, ποιητικὸν ἡδονῆς εἶναι, οὐ δι' αὐτὸν αἱρετόν. τά τε πάθη, καταληπτά· ἔλεγον οὖν αὐτὰ οὐκ ἀφ' ὧν γίνεται. ἀφίσταντο δὲ καὶ τῶν φυσικῶν, διὰ τὴν ἐμφαινομένην ἀκαταληψίαν· τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν, ἥπτοντο. Μελέαγρος δὲ ἐν τῷ δευτέρῳ περὶ δοξῶν, καὶ Κλειτόμαχος ἐν τῷ πρώτῳ περὶ τῶν αἱρέσεων, φασὶν αὐτοὺς ἄχρηστα ἡγεῖσθαι τό, τε φυσικὸν μέρος καὶ τὸ διαλεκτικόν. δύνασθαι γὰρ καὶ εὖ λέγειν καὶ δεισιδαιμονίας ἐκτὸς εἶναι, καὶ τὸν περὶ θανάτου φόβον ἐκφεύγειν, τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον ἐκμεμαθηκότα. μηδέν τε εἶναι φύσει δίκαιον, ἢ καλὸν, ἢ αἰσχρὸν, ἀλλὰ νόμῳ καὶ ἔθει. ὁ μέντοι σπουδαῖος οὐδὲν ἄτοπον πράξει διὰ τὰς ἐπικειμένας ζημίας καὶ δόξας. εἶναι δὲ τὸν σοφὸν προκοπήν τε ἀπολείπουσι, καὶ ἐν φιλοσοφίᾳ, καὶ ἐν τοῖς ἄλλοις. φασὶ δὲ καὶ λυπεῖσθαι ἄλλον ἄλλου μᾶλλον, καὶ τὰς αἰσθήσεις μὴ πάν-

ποτε ἀληθεύειν. οἱ δὲ Ἡγησιακοὶ λεγόμενοι σκοποὺς μὲν εἶχον τοὺς αὐτοὺς ἡδονὴν καὶ πόνον. μήτε δὲ χάριν τινὰ εἶναι, μήτε φιλίαν, μήτε εὐεργεσίαν· διὰ τὸ μὴ δι᾽ αὐτὰ ταῦτα αἱρεῖσθαι ἡμᾶς αὐτὰ, ἀλλὰ διὰ τὰς χρείας καὶ αὐτοὺς, ὧν ἀπόντων μηδ᾽ ἐκεῖνα ὑπάρχειν. τὴν εὐδαιμονίαν, ὅλως ἀδύνατον εἶναι· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ᾽ ἐλπίδα κωλύειν. ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. τήν τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδὲς ὑπελάμβανον· διὰ δὲ σπάνιν ἢ ξενισμὸν ἢ κόρον, τοὺς μὲν ἥδεσθαι, τοὺς δ᾽ ἀηδῶς ἔχειν. πενίαν καὶ πλοῦτον, πρὸς ἡδονῆς λόγον, εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. δουλείαν ἐπίσης ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν δυσγενείᾳ, καὶ δόξαν ἀδοξίᾳ. καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι· τῷ δὲ φρονίμῳ, ἀδιάφορον. τόν τε σοφὸν ἑαυτοῦ ἕνεκα πάντα πράξειν· οὐδένα γὰρ ἡγεῖσθαι τῶν ἄλλων ἐπίσης ἄξιον αὐτῷ. κἂν γὰρ τὰ μέγιστα δοκῇ παρ᾽ αὐτοῦ καρποῦσθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παρέσχε. ἀνῄρουν δὲ καὶ τὰς αἰσθήσεις οὐκ ἀκριβούσας τὴν ἐπίγνωσιν, τῶν τ᾽ εὐλόγως φαινομένων πάντα πράττειν. ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν· οὐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλά τινι πάθει πιεζόμενον. καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. τόν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ· τέλος τιθέμενον τὸ μὴ ἐπιπόνως ζῆν, μηδὲ λυπηρῶς. ὃ δὴ περιγίνεσθαι τοῖς ἀδιαφορήσασι περὶ τὰ ποιητικὰ τῆς ἡδονῆς. οἱ δ᾽ Ἀννικέρειοι, τὰ μὲν ἄλλα, κατὰ ταὐτὰ τούτοις· ἀπέλιπον δὲ καὶ φιλίαν ἐν βίῳ καὶ χάριν, καὶ πρὸς γονέας τιμὴν, καὶ ὑπὲρ πατρίδος τι πράξειν. ὅθεν διὰ ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται ὁ σοφὸς, οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡ-

δία περιγίνηται αὐτῷ. τήν τε τοῦ φίλου εὐδαιμονίαν δι' αὐτὴν μὴ εἶναι αἱρετήν· μηδὲ γὰρ αἰσθητὴν τῷ πέλας ὑπάρχειν. μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι, καὶ τῆς τῶν πολλῶν δόξης ὑπεράνω γίνεσθαι· δεῖν δ' ἀνεθίζεσθαι, διὰ τὴν ἐκ πολλοῦ συντραφεῖσαν ἡμῖν φαύλην διάθεσιν. τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ὑπολειπουσῶν μὴ ἐπιστρέφεσθαι· ἀλλὰ καὶ παρὰ τὴν γεγονυῖαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομένειν, καίτοι τιθέμενον ἡδονὴν τέλος· καὶ ἀχθόμενον ἐπὶ τῷ στέρεσθαι αὐτῆς, ὅμως ἑκουσίως ὑπομένειν διὰ τὴν πρὸς τὸν φίλον στοργήν. οἱ δὲ Θεοδώρειοι κληθέντες τὴν μὲν ὀνομασίαν ἔσπασαν ἀπὸ Θεοδώρου τοῦ προγεγραμμένου, καὶ δόγμασιν ἐχρήσαντο τοῖς αὐτοῦ. ἦν δὲ ὁ Θεόδωρος παντάπασιν ἀναιρῶν τὰς περὶ θεῶν δόξας· καὶ αὐτοῦ περιετύχομεν βιβλίῳ ἐπιγεγραμμένῳ Περὶ θεῶν, οὐκ εὐκαταφρονήτῳ· ἐξ οὗ φασιν Ἐπίκουρον τὰ πλεῖστα λαβόντα εἰπεῖν. ἤκουσε δὲ καὶ Ἀννικέριδος ὁ Θεόδωρος, καὶ Διονυσίου τοῦ διαλεκτικοῦ, καθά φησιν Ἀντισθένης ἐν φιλοσόφων διαδοχαῖς. τέλος δ' ὑπελάμβανε χαρὰν καὶ λύπην· τὴν μὲν, ἐπὶ φρονήσει· τὴν δὲ, ἐπὶ ἀφροσύνῃ. ἀγαθὰ δὲ, φρόνησιν καὶ δικαιοσύνην· κακὰ δὲ, τὰς ἐναντίας ἕξεις· μέσα δὲ, ἡδονὴν καὶ πόνον. ἀνῄρει δὲ καὶ φιλίαν, διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτ' ἐν σοφοῖς. τοῖς μὲν γὰρ, τῆς χρείας ἀναιρεθείσης, καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι· τοὺς δὲ σοφοὺς, αὐτάρκεις ὑπάρχοντας, μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ καὶ εὔλογον εἶναι, τὸν σπουδαῖον μὴ ἐξαγαγεῖν ὑπὲρ τῆς πατρίδος αὑτόν. οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας. εἶναί τε πατρίδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ. μηδὲν γὰρ εἶναι τούτων αἰσχρὸν φύσει, τῆς ἐπ' αὐτοῖς δόξης αἰρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν

ἀφρόνων συνοχῆς. φανερῶς δὲ τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν σοφόν. διὸ καὶ τοιούτοις λόγοις ἠρώτα, Ἆρά γε γυνὴ γραμματικὴ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματική ἐστι; ναί. καὶ παῖς καὶ νεανίσκος χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματικός ἐστι; ναί. οὐκοῦν καὶ γυνὴ καλὴ, χρησίμη ἂν εἴη παρ' ὅσον καλή ἐστι. καὶ παῖς καὶ νεανίσκος καλὸς, χρήσιμος ἂν εἴη παρ' ὅσον καλός ἐστι; ναί. καὶ παῖς ἄρα καὶ νεανίσκος καλὸς, πρὸς ὅτ' ἂν εἴη χρήσιμος πρὸς ὃ καλός ἐστι; ναί. ἔστι δὲ χρήσιμος πρὸς τὸ πλησιάζειν. ὧν διδομένων, ἐπῆγεν, Οὐκοῦν εἴ τις πλησιασμῷ χρῷτο παρ' ὅσον χρήσιμός ἐστιν, οὐ διαμαρτάνει. οὐδ' εἰ ἄρα κάλλει χρήσαιτο, παρ' ὅσον χρήσιμόν ἐστι, διαμαρτήσεται. τοιαῦτα ἄττα διερωτῶν ἴσχυε τῷ λόγῳ. δοκεῖ δὲ θεὸς κληθῆναι, Στίλπωνος αὐτὸν ἐρωτήσαντος οὕτως, Ἆρά γε, Θεόδωρε, ὃ εἶναι φὴς, τοῦτο καὶ εἶ; ἐπινεύσαντος δὲ, Φὴς δ' εἶναι θεός; τοῦ δ' ὁμολογήσαντος, Θεὸς εἶ ἄρα, ἔφη. δεξαμένου δὲ ἀσμένως, γελάσας φησὶν, Ἀλλ', ὦ μοχθηρὲ, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσαις εἶναι, καὶ ἄλλα μυρία. ὁ δ' οὖν Θεόδωρος προσκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, Λέγε μοι (ἔφη) Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια; εἰπόντος δ' ἐκείνου, Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, Ἀσεβεῖς ἄρα (ἔφη) καὶ σὺ, τοῖς ἀμυήτοις διηγούμενος. καὶ μέντοι παρ' ὀλίγον ἐκινδύνευσεν εἰς Ἄρειον ἀναχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρρύσατο. Ἀμφικράτης δὲ ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν, φησὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα. διατρίβων δὲ παρὰ Πτολεμαίῳ τῷ Λάγου, ἀπεστάλη ποθ' ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής, ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, Λέγε μοι, Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν; καὶ ὃς, Ὀρθῶς ἀκήκοας. ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε. πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι, Οὐκ ἄν,

(ἔφη) ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ. Μύθρου δὲ τοῦ διοικητοῦ τοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰπόντος, Ἔοικας σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν ἀλλὰ καὶ βασιλέας, Πῶς (εἶπεν) ἀγνοῶ, ὅπου γε καί σε θεοῖς ἐχθρὸν ὄντα νομίζω; φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν, συχνοὺς ἐπαγόμενον μαθητάς. Μητροκλέα δὲ τὸν κυνικὸν σκάνδικας πλύνοντα εἰπεῖν, Σὺ ὁ σοφιστὴς οὐκ ἂν τοσούτων ἔχρῃζες μαθητῶν, εἰ λάχανα ἔπλυνες. τὸν δ' ὑπολαβόντα εἰπεῖν, Καὶ σὺ εἰ παρ' ἀνθρώποις ᾔδεις ὁμιλεῖν, οὐκ ἂν τούτοις τοῖς λαχάνοις ἐχρῶ. τὸ ὅμοιον ἀναφέρεται (καθὰ προείρηται) εἴς τε Διογένην καὶ Ἀρίστιππον. τοιοῦτος μὲν ὁ Θεόδωρος κἀν τούτοις. τελευταῖον δ' εἰς Κυρήνην ἀπελθὼν, καὶ Μαρίῳ συμβιοὺς, ἐν πάσῃ τιμῇ διετέλει τυγχάνων. ἔνθεν τὸ πρῶτον ἐκβαλλόμενος, λέγεται χαριέν τι εἰπεῖν. ἔφη γὰρ, Κακῶς ποιεῖτε, ἄνδρες Κυρηναῖοι, ἐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με ἐξορίζοντες. Θεόδωροι δὲ γεγόνασιν εἴκοσι· πρῶτος, Σάμιος, υἱὸς Ῥοίκου. οὗτός ἐστιν ὁ συμβουλεύσας ἄνθρακας ὑποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ νεώ. (καθύγρου γὰρ ὄντος τοῦ τόπου, τοὺς ἄνθρακας ἔφη τὸ ξυλῶδες ἀποβαλόντας, αὐτὸ τὸ στερεὸν ἀπαθὲς ἔχειν ὕδατι) δεύτερος, Κυρηναῖος, γεωμέτρης, οὗ διήκουσε Πλάτων· τρίτος, ὁ προγεγραμμένος φιλόσοφος· τέταρτος, οὗ τὸ φωνασκικὸν φέρεται βιβλίον πώμαλον· πέμπτος, ὁ περὶ τῶν νομοποιῶν πεπραγματευμένος, ἀρξάμενος ἀπὸ Τερπάνδρου· ἕκτος, Στωϊκός· ἕβδομος, ὁ τὰ περὶ Ῥωμαίων πεπραγματευμένος· ὄγδοος, Συρακούσιος, περὶ τακτικῶν γεγραφώς· ἔνατος, Βυζάντιος, ἀπὸ λόγων πολιτικῶν· δέκατος, ὁμοίως, οὗ Ἀριστοτέλης μνημονεύει διὰ τῆς ἐπιτομῆς τῶν ῥητόρων· ἑνδέκατος, Θηβαῖος, ἀνδριαντοποιός· δωδέκατος, ζωγράφος, οὗ μέμνηται Πολέμων· τρισκαιδέκατος, ζωγράφος, Ἀθηναῖος, ὑπὲρ οὗ γράφει Μηνόδοτος· τεσσαρεσκαιδέκατος, Ἐφέσιος, ζωγράφος, οὗ μέμνηται Θεοφάνης,

ἐν τῷ περὶ γραφικῆς· πεντεκαιδέκατος, ποιητὴς ἐπιγραμμάτων· ἑκκαιδέκατος, γεγραφὼς περὶ ποιητῶν· ἑπτακαιδέκατος, ἰατρός, Ἀθηναίου μαθητής· ὀκτωκαιδέκατος, Χῖος, φιλόσοφος στωϊκός· ἐννεακαιδέκατος, Μιλήσιος, καὶ αὐτὸς στωϊκὸς φιλόσοφος· εἰκοστός, ποιητὴς τραγῳδίας.

## ΦΑΙΔΩΝ.

Φαίδων, Ἠλεῖος, τῶν εὐπατριδῶν, συνεάλω τῇ πατρίδι, καὶ ἠναγκάσθη στῆναι ἐπ' οἰκήματος, ἀλλὰ τὸ θύρειον προστιθεὶς μετεῖχε Σωκράτους, ἕως αὐτὸν λυτρώσασθαι τοὺς περὶ Ἀλκιβιάδην ἢ Κρίτωνα προὔτρεψε· καὶ τοὐντεῦθεν ἐλευθερίως ἐφιλοσόφει. Ἱερώνυμος δ' ἐν τῷ περὶ ἐποχῆς καθαπτόμενος, δοῦλον αὐτὸν εἴρηκε. διαλόγους δὲ συνέγραψε γνησίους μὲν, Ζώπυρον, Σίμωνα, καὶ διστάζόμενον Νικίαν· Μήδιον (ὅν φασί τινες Αἰσχίνου, οἱ δὲ Πολυαίνου) Ἀντίμαχον, ἢ πρεσβύτας (καὶ οὗτος διστάζεται) Σκυθικοὺς λόγους· καὶ τούτου τινὲς Αἰσχίνου φασί. διάδοχος δ' αὐτοῦ Πλείστανος, Ἠλεῖος. καὶ τρίτοι ἀπ' αὐτοῦ οἱ περὶ Μενέδημον τὸν Ἐρετριέα καὶ Ἀσκληπιάδην τὸν Φλιάσιον, μετάγοντες ἀπὸ Στίλπωνος. καὶ ἕως μὲν τούτων Ἠλειακοὶ προσηγορεύοντο· ἀπὸ δὲ Μενεδήμου, Ἐρετριακοὶ, περὶ οὗ λέξομεν ἐν ὑστέρῳ, διὰ τὸ καὶ αὐτὸν κατάρχειν αἱρέσεως.

## ΕΥΚΛΕΙΔΗΣ.

Εὐκλείδης ἀπὸ Μεγάρων τῶν πρὸς Ἰσθμῷ, ἢ Γελῷος κατ' ἐνίους, ὥς φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς. οὗτος καὶ τὰ Παρμενίδεια μετεχειρίζετο, καὶ οἱ ἀπ' αὐτοῦ Μεγαρικοὶ προσηγορεύοντο, εἶτ' ἐριστικοὶ, ὕστερον δὲ διαλεκτικοὶ, οὓς οὕτως ὠνόμασε πρῶτος Διονύσιος ὁ Καρχηδόνιος, διὰ τὸ πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους διατί-

θεσθαι. πρὸς τοῦτον φησὶν ὁ Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα, καὶ τοὺς λοιποὺς φιλοσόφους, μετὰ τὴν Σωκράτους τελευτήν, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον. ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν, καὶ τὰ λοιπά. τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, μὴ εἶναι φάσκων. ταῖς τε ἀποδείξεσιν ἐνίστατο, οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν. καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει, λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον, ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν τὴν παράθεσιν. διὰ ταῦτα δὲ καὶ περὶ αὐτοῦ ταῦτά φησι Τίμων, προσπαραβάλλων καὶ τοὺς λοιποὺς Σωκρατικούς.

Ἀλλ' οὔ μοι τούτων φλεδόνων μέλει, οὐδὲ γὰρ ἄλλου  
Οὐδενός, οὐ Φαίδωνος, ὅτις γε μὲν, οὐδ' ἐριδάντεω  
Εὐκλείδου, Μεγαρεῦσιν ὃς ἔμβαλε λύσσαν ἐρισμοῦ.

διαλόγους δὲ συνέγραψεν ἕξ, Λαμπρίαν, Αἰσχίνην, Φοίνικα, Κρίτωνα, Ἀλκιβιάδην, Ἐρωτικόν. τῆς δ' Εὐκλείδου διαδοχῆς ἐστι καὶ Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγους ἠρώτησε, τόν τε ψευδόμενον καὶ τὸν διαλανθάνοντα, καὶ Ἠλέκτραν, καὶ ἐγκεκαλυμμένον, καὶ σωρείτην, καὶ κερατίνην, καὶ φαλακρόν. περὶ τούτου φησί τις τῶν κωμικῶν,

Ὁ ὑβριστικὸς δ' Εὐβουλίδης κερατίνας ἐρωτῶν,  
Καὶ ψευδέσ' ἀλαζόσι λόγοις τοὺς ῥήτορας κυλίων,  
Ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥωβοστωμυλήθραν.

ἐῴκει γὰρ αὐτοῦ καὶ Δημοσθένης ἀκηκοέναι, καὶ ῥωβικώτερος ὢν παύσασθαι. ὁ δ' Εὐβουλίδης καὶ πρὸς Ἀριστοτέλην διεφέρετο, καὶ πολλὰ αὐτὸν διαβέβληκε. μεταξὺ δὲ ἄλλων ὄντων τῆς Εὐβουλίδου διαδοχῆς Ἀλεξῖνος ἐγένετο Ἠλεῖος ἀνὴρ φιλονεικότατος· διὸ καὶ Ἀλεξῖνος ἐπεκλήθη. διεφέρετο δὲ μάλιστα πρὸς Ζήνωνα. φησὶ δ' Ἕρμιππος περὶ αὐτοῦ ὡς ἄρα ἀπελθὼν ἐκ τῆς Ἤλιδος εἰς Ὀλυμπίαν, αὐτόθι

φιλοσοφοίη. τῶν δὲ μαθητῶν αὐτοῦ πυνθανομένων διὰ τί ἤδε κατοικεῖ, φάναι βούλεσθαι αἵρεσιν συστήσασθαι ἣν Ὀλυμπιακὴν κληθήσεσθαι. τοὺς δὲ, καὶ τοῖς ἐφοδίοις θλιβομένους, καὶ τὸ χωρίον νοσερὸν καταγνόντας, ἀπελθεῖν, καὶ τὸ λοιπὸν διατρίβειν ἔρημον τὸν Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ. ἔπειτα μέντοι νηχόμενον ἐν τῷ Ἀλφειῷ νυχθῆναι καλάμῳ, καὶ οὕτω τελευτῆσαι. καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον,

Οὐκ ἄρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος, (ρέ πως
Ὡς ἀτυχής τις ἐὼν τὸν πόδα κολυμβῶν περιέπει-
Ἥλῳ. καὶ γὰρ ὁ σεμνὸς ἀνήρ, πρὶν Ἀλφεὸν
Ποτ' ἐκπερᾶν, Ἀλεξῖνος θνῆσκε νυχθεὶς καλάμῳ.

γέγραφε δὲ οὐ μόνον πρὸς Ζήνωνα, ἀλλὰ καὶ ἄλλα βιβλία, καὶ πρὸς Ἔφορον τὸν ἱστοριογράφον. Εὐβουλίδου δὲ καὶ Εὔφαντος γέγονεν ὁ Ὀλύνθιος, ἱστορίας γεγραφώς τὰς κατὰ τοὺς χρόνους τοὺς ἑαυτοῦ. ἐποίησε δὲ καὶ τραγῳδίας πλείους, ἐν αἷς εὐδοκίμει κατὰ τοὺς ἀγῶνας. γέγονε δὲ καὶ Ἀντιγόνου τοῦ βασιλέως διδάσκαλος, πρὸς ὃν καὶ λόγον γέγραφε Περὶ βασιλείας, σφόδρα εὐδοκιμοῦντα. τὸν βίον δὲ γήρᾳ κατέστρεψεν. εἰσὶ δὲ καὶ ἄλλοι διακηκοότες Εὐβουλίδου, ἐν οἷς καὶ Ἀπολλώνιος ὁ Κρόνος.

## ΔΙΌΔΩΡΟΣ.

Διόδωρος, Ἀμεινίου, Ἰασεύς, καὶ αὐτὸς Κρόνος ἐπίκλην, περὶ οὗ φησι Καλλίμαχος ἐν ἐπιγράμμασιν,

αὐτὸς ὁ Μῶμος ἔγραφεν ἐν τοίχοις ὁ Κρόνος ἐστὶ σοφός.

ἦν δὲ καὶ οὗτος διαλεκτικός, πρῶτος δόξας εὑρηκέναι τὸν ἐγκεκαλυμμένον καὶ κερατίνην λόγον, κατά τινας. οὗτος παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη, καὶ δὴ καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει.

ἐξελθὼν δὴ τοῦ συμποσίου, καὶ λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν,

Κρόνε Διόδωρε τίς σε δαιμόνων κακῇ
    Ἀθυμίᾳ ξυνείρυσεν,
Ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς τάρταρον,
    Στίλπωνος οὐ λύσας ἔπη
Αἰνιγματώδη; τοιγὰρ εὑρέθης Κρόνος,
    Ἔξωθεν τοῦ ῥῶ κάππα τε.

ΤΩΝ δ' ἀπὸ Εὐκλείδου ἐστὶ καὶ Ἰχθύας Μετάλλου, ἀνὴρ γενναῖος, πρὸς ὃν καὶ Διογένης ὁ κυνικὸς διάλογον πεποίηται. Κλεινόμαχός τε ὁ Θούριος, ὃς πρῶτος περὶ ἀξιωμάτων καὶ κατηγορημάτων, καὶ τῶν τοιούτων συνέγραψε. καὶ Στίλπων ὁ Μεγαρεὺς, διασημότατος φιλόσοφος, περὶ οὗ λεκτέον.

## ΣΤΊΛΠΩΝ.

ΣΤίλπων, Μεγαρεὺς, τῆς Ἑλλάδος, διήκουσε μὲν τῶν ἀπ' Εὐκλείδου τινῶν· οἱ δὲ καὶ αὐτοῦ Εὐκλείδου ἀκοῦσαί φασιν αὐτὸν, ἀλλὰ καὶ Θρασυμάχου τοῦ Κορινθίου, ὃς ἦν Ἰχθύᾳ γνώριμος, καθά φησιν Ἡρακλείδης. τοσοῦτον δ' εὑρεσιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. περὶ τούτου φησὶ Φίλιππος ὁ Μεγαρικὸς κατὰ λέξιν οὕτω, Παρὰ μὲν γὰρ Θεοφράστου Μητρόδωρον τὸν θεωρηματικὸν καὶ Τιμαγόραν τὸν Γελῷον ἀπέσπασε, παρὰ δ' Ἀριστοτέλους τοῦ Κυρηναϊκοῦ Κλείταρχον καὶ Σιμμίαν· ἀπὸ δὲ τῶν διαλεκτικῶν, Παιώνειον μὲν ἀπὸ Ἀριστείδου. Δίφιλον δὲ τὸν Βοσποριανὸν Εὐφάντου, καὶ Μύρμηκα τὸν Ἐξαινέτου, παραγενομένους ὡς ἐλέγξοντας, ἀμφοτέρους ζηλωτὰς ἔσχε. χωρὶς δὲ τούτων, Φρασίδημον μὲν τὸν περιπατητικὸν καὶ φυσικὸν ἔμπειρον ὄντα, προσήγαγε, καὶ τὸν ῥητορικὸν Ἄλκιμον, ἁπάντων πρωτεύοντα τῶν ἐν τῇ Ἑλ-

λάδι ῥητόρων, Κράτητά τε, καὶ ἄλλους πλείστους ὅσους ἐθήρασε· καὶ δὴ καὶ Ζήνωνα τὸν Φοίνικα μετὰ τούτων ἀφείλετο. ἦν δὲ καὶ πολιτικώτατος. καὶ γυναῖκα ἠγάγετο· καὶ ἑταίρᾳ συνῆν Νικαρέτῃ, ὥς φησί που καὶ Ὀνήτωρ. καὶ θυγατέρα ἀκόλαστον ἐγέννησεν, ἣν ἔγημε γνώριμός τις αὐτοῦ Σιμμίας Συρακούσιος. ταύτης οὐ κατὰ τρόπον βιούσης, εἶπέ τις πρὸς τὸν Στίλπωνα, ὡς καταισχύνοι αὐτόν· ὁ δὲ, Οὐ μᾶλλον (εἶπεν) ἢ ἐγὼ ταύτην κοσμῶ. ἀπεδέχετο δ' αὐτὸν (φασὶ) καὶ Πτολεμαῖος ὁ Σωτήρ. καὶ ἐγκρατὴς Μεγάρων γενόμενος, ἐδίδου τε ἀργύριον αὐτῷ, καὶ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν. ὁ δὲ, μέτριον μέν τι τἀργυρίου προσήκατο· ἀρνησάμενος δὲ τὴν ὁδὸν, μετῆλθεν ἐς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνου, καταλαβὼν τὰ Μέγαρα, τήν τε οἰκίαν αὐτοῦ φυλαχθῆναι, καὶ πάντα τὰ ἁρπαθέντα προὐνόησεν ἀποδοθῆναι. ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν, ἔφη μηδὲν τῶν οἰκείων ἀπολωλέναι. παιδείαν γὰρ μηδένα ἐξενηνοχέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην. καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας, οὕτως εἶχεν ὥστε προσέχειν αὐτῷ. τοῦτόν φασι περὶ τῆς Ἀθηνᾶς τῆς τοῦ Φειδίου τοιοῦτόν τινα λόγον ἐρωτῆσαι, Ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ, θεός ἐστι; φήσαντος δὲ, Ναί· Αὕτη δέ γε (εἶπεν) οὐκ ἔστι Διὸς, ἀλλὰ Φειδίου. συγχωρουμένου δὲ, Οὐκ ἄρα (εἶπεν) αὕτη θεός ἐστιν. ἐφ' ᾧ καὶ εἰς Ἄρειον πάγον προσκληθέντα, μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι. μὴ γὰρ εἶναι αὐτὴν θεὸν, ἀλλὰ θεάν· θεοὺς δὲ εἶναι τοὺς ἄρρενας. καὶ μέντοι τοὺς Ἀρεοπαγίτας εὐθέως αὐτὸν κελεῦσαι τῆς πόλεως ἐξελθεῖν. ὅτε καὶ Θεόδωρον τὸν ἐπίκλην θεὸν ἐπισκώπτοντα εἰπεῖν, Πόθεν δὲ τοῦτ' ᾔδει Στίλπων; ἢ ἀνασύρας αὐτῆς τὸν κῆπον ἐθεάσατο; ἦν δ' ἀληθῶς, οὗτος μὲν θρασύτατος, Στίλπων δὲ, κομψότατος. Κράτητος γοῦν αὐτὸν ἐρωτή-

σαντος, εἰ οἱ θεοὶ χαίρουσι ταῖς προσκυνήσεσι καὶ εὐχαῖς, φασὶν εἰπεῖν, Περὶ τούτων μὴ ἐρώτα, ἀνόητε, ἐν ὁδῷ, ἀλλὰ μόνον. τὸ δ᾽ αὐτὸ καὶ Βίωνα ἐρωτηθέντα εἰ θεοί εἰσιν, εἰπεῖν·

Οὐκ ἀπ᾽ ἐμοῦ σκεδάσεις ὄχλον ταλαπείριε πρέσβυ;

ἦν δ᾽ ὁ Στίλπων καὶ ἀφελὴς, καὶ ἀνεπίπλαστος, πρός τε τὸν ἰδιώτην εὔθετος. Κράτητος γοῦν ποτε τοῦ κυνικοῦ πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκριναμένου, ἀποπαρδόντος δὲ, Ἤδειν, ἔφη ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ. ἀλλὰ καὶ ἰσχάδα προτείναντος αὐτῷ ποτε καὶ ἐρώτημα, δεξάμενον καταφαγεῖν. τοῦ δὲ, Ὦ Ἡράκλεις, εἰπόντος, ἀπολώλεκα τὴν ἰσχάδα· Οὐ μόνον. (ἔφη) ἀλλὰ καὶ τὸ ἐρώτημα, οὗ ἦν ἀῤῥαβὼν ἡ ἰσχάς. πάλιν δὲ ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαυμένον, Ὦ Κράτης (εἶπε) δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ, ὅπερ ἦν, νοῦ καὶ ἱματίου. καὶ τὸν ἀχθεσθέντα παρῳδῆσαι εἰς αὐτὸν οὕτω,

Καὶ μὴν καὶ Στίλπων᾽ ἔσιδον χαλέπ᾽ ἄλγε᾽ ἔχοντα
Ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.
Ἔνθα τ᾽ ἐρίζεσκε, πολλοὶ δ᾽ ἀμφ᾽ αὐτὸν ἑταῖροι
Τὴν δ᾽ ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

λέγεται δ᾽ οὕτως Ἀθήνησιν ἐπιστρέψαι τοὺς ἀνθρώπους, ὥστ᾽ ἀπὸ τῶν ἐργαστηρίων συνθεῖν ἵνα αὐτὸν θεάσαιντο. καί τινος εἰπόντος, Στίλπων, θαυμάζουσί σε ὡς θηρίον, Οὐ μὲν οὖν, (εἰπεῖν) ἀλλ᾽ ὡς ἄνθρωπον ἀληθινόν. δεινὸς δὲ ἄγαν ὢν ἐν τοῖς ἐριστικοῖς, ἀνῄρει καὶ τὰ εἴδη· καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον εἶναι, μηδένα. οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε. τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; οὔτε ἄρα τόνδε. καὶ πάλιν, Τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον, λάχανον μὲν γὰρ ἦν πρὸ μυρίων ἐτῶν. οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον. φασὶ δ᾽ αὐτὸν ὁμιλοῦντα Κράτητι, μεταξὺ σπεῦσαι ἰχθῦς πρίασθαι. τοῦ δ᾽ ἐπισπωμένου, καὶ φάσκοντος, Καταλείπεις τὸν λόγον; Οὐκ ἔγωγε (ἔφη), ἀλλὰ τὸν μὲν λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμένει,

τὸ δ' ὄψιν πεποιήσεται. φέρονται δ' αὐτοῦ διάλογοι ἐννέα ψυχροί, Μόσχος, Ἀρίστιππος ἢ Καλλίας, Πτολεμαῖος, Χαιρεκράτης, Μητροκλῆς, Ἀναξιμένης, Ἐπιγένης, Πρὸς τὴν ἑαυτοῦ θυγατέρα, Ἀριστοτέλης. τούτου καὶ Ἡρακλείδης φησὶ τὸν Ζήνωνα ἀκοῦσαι τὸν τῆς στοᾶς κτίστην. γηραιὸν δὲ τελευτῆσαι φησὶν Ἕρμιππος, οἶνον προσέμενον, ὅπως θᾶττον ἀποθάνῃ. ἔστι δὲ καὶ εἰς τοῦτον ἡμῶν,

Τὸν Μεγαρέα τὸν Στίλπωνα (γινώσκεις δ' ἴσως)
Γῆρας ἔπειτα νόσος καθεῖλε, δύσμαχον ζυγὸν,
Ἀλλ' οἶνον εὗρε τῆς κακῆς συνωρίδος
Φέρτερον ἡνίοχον. πιὼν γὰρ ἤλασε.

προσεσκώφθη δὲ ὑπὸ Σοφίλου τοῦ κωμικοῦ ἐν δράματι γάμου,

Στίλπωνος ἐστὶ βύσμαθ' ὁ Χαρίνου λόγος.

## ΚΡΙΤΩΝ.

Κρίτων, Ἀθηναῖος· οὗτος μάλιστα φιλοστοργότατα διετέθη πρὸς Σωκράτην, καὶ οὕτως ἐπεμελεῖτο αὐτοῦ ὥστε μηδέ ποτε λείπειν τι τῶν πρὸς τὴν χρείαν. καὶ οἱ παῖδες δὲ αὐτοῦ διήκουσαν Σωκράτους, Κριτόβουλος, Ἑρμογένης, Ἐπιγένης, Κτήσιππος. ὁ δ' οὖν Κρίτων διαλόγους γέγραφεν ἐν ἑνὶ φερομένους βιβλίῳ ἑπτακαίδεκα, τοὺς ὑπογεγραμμένους, Ὅτι οὐκ ἐκ τοῦ μαθεῖν οἱ ἀγαθοί, Περὶ τοῦ πλεῖον ἔχειν, Τί τὸ ἐπιτήδειον; ἢ Πολιτικός, Περὶ τοῦ καλοῦ, Περὶ τοῦ κακουργεῖν, Περὶ εὐθημοσύνης, Περὶ νόμου, Περὶ τοῦ θείου, Περὶ τεχνῶν, Περὶ συνουσίας, Περὶ σοφίας, Πρωταγόρας, ἢ Πολιτικός, Περὶ γραμμάτων, Περὶ ποιητικῆς, Περὶ τοῦ καλοῦ, Περὶ τοῦ μαθεῖν, Περὶ τοῦ γνῶναι, ἢ Περὶ ἐπιστήμης, Τί τὸ ἐπίστασθαι.

## ΣΙ'ΜΩΝ.

Σίμων, Ἀθηναῖος, σκυτοτόμος. οὗτος, ἐρχομένου Σωκράτους ἐπὶ τὸ ἐργαστήριον, καὶ διαλεγομένου τινά, ὧν ἐμνημόνευεν ὑποσημειώσεις ἐποιεῖτο· ὅθεν σκυτικοὺς αὐτοῦ τοὺς διαλόγους καλοῦσιν. εἰσὶ δὲ τρεῖς καὶ τριάκοντα ἐν ἑνὶ φερόμενοι βιβλίῳ· Περὶ θεῶν, Περὶ τοῦ ἀγαθοῦ, Περὶ τοῦ καλοῦ, Τί τὸ καλόν, Περὶ δικαίου πρῶτος, δεύτερος· Περὶ ἀρετῆς, ὅτι οὐ διδακτόν, Περὶ ἀνδρείας, πρῶτος, δεύτερος, τρίτος· Περὶ νόμου, Περὶ δημαγωγίας, Περὶ τιμῆς, Περὶ ποιήσεως, Περὶ εὐπαθείας, Περὶ ἔρωτος, Περὶ φιλοσοφίας, Περὶ ἐπιστήμης, Περὶ μουσικῆς, Περὶ ποιήσεως, Τί τὸ καλόν, Περὶ διδασκαλίας, Περὶ τοῦ διαλέγεσθαι, Περὶ κρίσεως, Περὶ τοῦ ὄντος, Περὶ ἀριθμοῦ, Περὶ ἐπιμελείας, Περὶ τοῦ ἐργάζεσθαι, Περὶ φιλοκερδοῦς, Περὶ ἀλαζονείας, Περὶ τοῦ καλοῦ. οἱ δέ, Περὶ τοῦ βουλεύεσθαι, Περὶ λόγου, ἢ Περὶ ἐπιτηδειότητος, Περὶ κακουργίας. οὗτος (φασὶ) πρῶτος διελέχθη τοὺς λόγους τοὺς Σωκρατικούς. ἐπαγγελλομένου δὲ Περικλέους θρέψειν αὐτόν, καὶ κελεύοντος ἀπιέναι πρὸς αὐτόν, οὐκ ἂν ἔφη τὴν παρρησίαν ἀποδόσθαι. γέγονε δὲ καὶ ἄλλος Σίμων ῥητορικὰς τέχνας γεγραφώς· καὶ ἕτερος, ἰατρός, κατὰ Σέλευκον τὸν Νικάνορα· καί τις ἀνδριαντοποιός.

## ΓΛΑΥ'ΚΩΝ.

Γλαύκων, Ἀθηναῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ διάλογοι ἐννέα· Φείδυλος, Εὐριπίδης, Ἀμύντιχος, Εὐθίας, Λυσιθείδης, Ἀριστοφάνης, Κέφαλος, Ἀναξίφημος, Μενέξενος. φέρονται καὶ ἄλλοι δύο καὶ τριάκοντα, οἳ νοθεύονται.

## ΣΙΜΜΙΑΣ.

Σιμμίας ὁ Θηβαῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ διαλόγοι τρεῖς καὶ εἴκοσι, Περὶ σοφίας, Περὶ λογισμοῦ, Περὶ μουσικῆς, Περὶ ἐπῶν, Περὶ ἀνδρείας, Περὶ φιλοσοφίας, Περὶ ἀληθείας, Περὶ γραμμάτων, Περὶ διδασκαλίας, Περὶ τέχνης, Περὶ τοῦ ἐπιστατεῖν, Περὶ πρέποντος, Περὶ αἱρετοῦ καὶ φευκτοῦ, Περὶ φίλου, Περὶ τοῦ εἰδέναι, Περὶ ψυχῆς, Περὶ τοῦ εὖ ζῆν, Περὶ δυνατοῦ, Περὶ χρημάτων, Περὶ ζωῆς, Τί τὸ καλὸν, Περὶ ἐπιμελείας, Περὶ ἔρωτος.

## ΚΕΒΗΣ.

Κέβης ὁ Θηβαῖος. καὶ τούτου φέρονται διάλογοι τρεῖς. Πίναξ, Ἑβδόμη, Φρύνιχος.

## ΜΕΝΕΔΗΜΟΣ.

Μενέδημος τῶν ἀπὸ Φαίδωνος, Κλεισθένους, τοῦ τῶν Θεοπροπιδῶν καλουμένων υἱὸς, ἀνδρὸς ἀγενοῦς μὲν, ἀρχιτέκτονος δὲ καὶ πένητος. οἱ δὲ καὶ σκηνορράφον αὐτὸν εἶναι φασὶ, καὶ μαθεῖν ἑκάτερα τὸν Μενέδημον. ὅθεν γράψαντος αὐτοῦ ψήφισμά τι, καθήψατό τις Ἀλεξίνειος, εἰπὼν ὡς οὔτε σκηνὴν οὔτε ψήφισμα πρέπει τῷ σοφῷ γράφειν. πεμφθεὶς δὲ φρουρὸς ὁ Μενέδημος ὑπὸ τῶν Ἐρετριέων εἰς Μέγαρα, ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν. Ἀσκληπιάδου δὲ τοῦ Φλιασίου περισπάσαντος αὐτὸν, ἐγένετο ἐν Μεγάροις παρὰ Στίλπωνα· οὗπερ ἀμφότεροι διήκουσαν. κἀντεῦθεν πλεύσαντες εἰς Ἦλιν, Ἀγχιπύλῳ καὶ Μόσχῳ τοῖς ἀπὸ Φαίδωνος παρέβαλον. καὶ μέχρι μὲν τούτων (ὡς προείρηται ἐν τῷ περὶ Φαίδωνος) Ἠλειακοὶ προσηγορεύοντο· Ἐρετρικοὶ δ' ἐκλήθησαν ἀπὸ τῆς πατρίδος τοῦ περὶ οὗ

ὁ λόγος. φαίνεται δὴ ὁ Μενέδημος σεμνὸς ἱκανῶς γεγονέναι. ὅθεν αὐτὸν Κράτης παρῳδῶν φησι,

Φλιάσιόν τ' Ἀσκληπιάδην, καὶ ταῦρον Ἐρέτριον.

ὁ δὲ Τίμων οὕτω,

Λόγον ἀναστήσας ὠφρυωμένος ἀφροσιβόμβαξ.

οὕτω δ' ἦν σεμνὸς, ὡς Εὐρύλοχον τὸν Κασανδρέα μετὰ Κλεϊππίδου Κυζικηνοῦ μειρακίου κληθέντα ὑπὸ Ἀντιγόνου ἀντειπεῖν. φοβεῖσθαι γὰρ μὴ Μενέδημος αἴσθηται. ἦν γὰρ καὶ ἐπικόπτης καὶ παρρησιαστής. μειρακίου γοῦν καταθρασυνομένου, εἶπε μὲν οὐδέν· λαβὼν δὲ κάρφος, διέγραφεν εἰς τοὔδαφος περαινομένου σχῆμα· ἕως ὁρώντων πάντων συνὲν τὸ μειράκιον τὴν ὕβριν, ἀπηλλάχθη. Ἱεροκλέους δὲ ἐπὶ τοῦ Πειραιῶς συνανακάμπτοντος αὐτῷ ἐπὶ Ἀμφιαράου, καὶ πολλὰ λέγοντος περὶ τῆς ἁλώσεως τῆς Ἐρετρείας, ἄλλο μὲν οὐδὲν εἶπεν, ἠρώτησε δὲ εἰς τί αὐτὸν Ἀντίγονος περαίνει. πρὸς δὲ τὸν θρασυνόμενον μοιχὸν, Ἀγνοεῖς (ἔφη) ὅτι οὐ μόνον κράμβη χυλὸν ἔχει χρηστὸν, ἀλλὰ καὶ ῥαφανῖδες; πρὸς δὲ τὸν νεώτερον κεκραγότα, Σκέψαι (ἔφη) μή τι ὄπισθεν ἔχων λέληθας. Ἀντιγόνου δὲ συμβουλευομένου εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας τἄλλα μόνον ἐκέλευσεν ἀπαγγεῖλαι ὅτι βασιλέως υἱός ἐστι. πρὸς δὲ τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ εἰκαίως, ἠρώτησεν εἰ ἀγρὸν ἔχει· φήσαντος δὲ, Καὶ πάμπλειστα κτήματα, Πορεύου τοίνυν, (ἔφη) κἀκείνων ἐπιμελοῦ· μὴ συμβῇ σοι καὶ ταῦτα καταφθεῖραι, καὶ κομψὸν ἰδιώτην ἀποβαλεῖν. πρὸς δὲ τὸν πυθόμενον εἰ γήμαι ὁ σπουδαῖος, ἔφη, Πότερον ἐγώ σοι σπουδαῖος δοκῶ, ἢ οὔ; φήσαντος δὲ εἶναι, Ἐγὼ τοίνυν (εἶπε) γεγάμηκα. πρὸς δὲ τὸν εἰπόντα πολλὰ τὰ ἀγαθὰ, ἐπύθετο πόσα τὸν ἀριθμὸν, καὶ εἰ νομίζει πλείω τῶν ἑκατόν. μὴ δυνάμενος δὲ τῶν καλούντων ἐπὶ δεῖπνον τινὸς περιελεῖν τὴν πολυτέλειαν, κληθείς ποτε, οὐδὲν μὲν εἶπε· σιωπῶν δ' αὐτὸν ἐνουθέτησε,

μόνας ἰδίας προσενεγκάμενος. διὰ δὴ οὖν τὸ παρρησιαστικὸν τοῦτο μικροῦ καὶ ἐκινδύνευσεν ἐν Κύπρῳ, παρὰ Νικοκρέοντι σὺν Ἀσκληπιάδῃ τῷ φίλῳ. τοῦ γάρ τοι βασιλέως ἐπιμήνιον ἑορτὴν τελοῦντος, καὶ καλέσαντος καὶ τούτους, ὥσπερ τοὺς ἄλλους φιλοσόφους, τὸν Μενέδημον εἰπεῖν, Ὡς εἰ καλὸν ἦν ἡ τῶν τοιούτων ἀνδρῶν συναγωγὴ, καθ' ἡμέραν ἔδει γίνεσθαι τὴν ἑορτήν· εἰ δ' οὔ, περιττῶς καὶ νῦν. πρὸς δὲ τοῦτο ἀπαντήσαντος τοῦ τυράννου, καὶ εἰπόντος ὡς ταύτην τὴν ἡμέραν ἔχοι σχολάζουσαν πρὸς τὸ διακούειν φιλοσόφων, ἔτι καὶ μᾶλλον αὐστηρότερον ἐνέκειτο, δεικνὺς ἐπὶ τῆς θυσίας, ὡς χρὴ πάντα καιρὸν φιλοσόφων ἀκούειν. ἕως, εἰ μή τις αὐλητὴς αὐτοὺς διεπέμψατο, κἂν ἀπώλοντο. ὅθεν χειμαζομένων ἐν τῷ πλοίῳ, τὸν Ἀσκληπιάδην φασὶν εἰπεῖν, ὡς ἡ μὲν τοῦ αὐλητοῦ εὐμουσία σέσωκεν αὐτοὺς, ἡ δὲ τοῦ Μενεδήμου παρρησία ἀπολώλεκεν. ἦν δὲ (φασὶ) καὶ ἐκκλίτης καὶ τὰ τῆς σχολῆς ἀδιάφορος. οὔτε γοῦν τάξιν τινὰ ἦν παρ' αὐτῷ βλέπειν, οὔτε βάθρα κύκλῳ διέκειτο, ἀλλ' οὗ ἂν ἕκαστος ἔτυχε περιπατῶν ἢ καθήμενος, ἤκουε καὶ αὐτοῦ τοῦτον τὸν τρόπον διακειμένου. ἀγωνιάτης μέντοι (φασὶν) ἦν ἄλλως καὶ φιλόδοξος. ὥστε τὸ πρότερον τέκτονι συνοικοδομοῦντες αὐτός τε καὶ ὁ Ἀσκληπιάδης, ὁ μὲν Ἀσκληπιάδης ἐφαίνετο γυμνὸς ἐπὶ τοῦ τέγους τὸν πηλὸν παραφέρων· ὁ δὲ, εἴ τινα ἴδοι ἐρχόμενον, παρεκρύπτετο. ἐπεὶ δ' ἥψατο τῆς πολιτείας, οὕτως ἦν ἀγωνιάτης, ὥστε καὶ τὸν λιβανωτὸν τιθεὶς, διήμαρτε τοῦ θυμιατηρίου. καί ποτε Κράτητος περιϊσταμένου αὐτὸν, καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν. τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα καὶ ὑπερκύπτοντα, Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν. ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. σὺν γοῦν Ἀσκληπιάδῃ κατ' ἄγνοιαν ἐν πανδοκείῳ ποτὲ κρεάτων ῥιπτουμένων, φα-

γὼν,

γὸν, ἐπειδὴ μάθοι, ἐναντία τε καὶ ὠχρία· ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ, ὡς οὐδὲν (εἰπὼν) ἠνώχλησεν αὐτὸν τὰ κρέα, ἡ δὲ περὶ τούτων ὑπόνοια. τὰ δ' ἄλλα μεγαλόψυχος ἀνὴρ ἦν καὶ ἐλευθέριος. κατά τε τὴν ἕξιν τὴν σωματικὴν, ἤδη καὶ πρεσβύτης ὑπάρχων, οὐδὲν ἧττον ἀθλητοῦ στερεός τε καὶ ἐπικεκαυμένος τὸ εἶδος· πίων τε καὶ τετριμμένος. τὸ δὲ μέγεθος σύμμετρος, ὡς δῆλον ἐκ τοῦ εἰκονίου τοῦ ἐν Ἐρετρίᾳ ἐν τῷ ἀρχαίῳ σταδίῳ. ἔστι γὰρ (ὡς ἐπίτηδες) παραγυμνον, τὰ πλεῖστα μέρη φαῖνον τοῦ σώματος. ἦν δὲ καὶ φιλυπόδοχος, καὶ (διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας) πλείω συνάγων συμπόσια· ἐν οἷς καὶ ποιητῶν καὶ μουσικῶν. ἠσπάζετο δὲ καὶ Ἄρατον καὶ Λυκόφρονα τὸν τῆς τραγῳδίας ποιητὴν, καὶ τὸν Ῥόδιον Ἀνταγόραν. μάλιστα δὲ πάντων Ὁμήρῳ προσεῖχεν, εἶτα καὶ τοῖς μελικοῖς, ἔπειτα Σοφοκλεῖ· καὶ δὴ καὶ Ἀχαιῷ, ᾧ παρὰ καὶ δευτερεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. ὅθεν καὶ πρὸς τοὺς ἀντιπολιτευομένους ταῦτα (φασὶ) προσεφέρετο,

Ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχὺς,
Καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

ταῦτα δέ ἐστιν Ἀχαιοῦ ἐκ τῆς σατυρικῆς Ὀμφάλης. ὥστε σφάλοιντο οἱ λέγοντες μηδὲν αὐτὸν ἀνεγνωκέναι πλὴν τῆς Μηδείας τῆς Εὐριπίδου, ἣν ἐν τοῖς Νεόφρονος εἶναι τοῦ Σικυωνίου φασί. τῶν δὲ διδασκάλων τῶν περὶ Πλάτωνα καὶ Ξενοκράτην ἔτι τε Παραιβάτην τὸν Κυρηναῖον κατεφρόνει. Στίλπωνα δὲ ἐτεθαυμάκει· καί ποτε ἐρωτηθεὶς περὶ αὐτοῦ, ἄλλο μὲν οὐδὲν εἶπε πλὴν ὅτι ἐλευθέριος. ἦν δὲ καὶ δυσκατανόητος ὁ Μενέδημος, καὶ ἐν τῷ συνθέσθαι δυσανταγώνιστος. ἐστρέφετό τε πρὸς πάντα, καὶ εὑρησιλόγει. ἐριστικώτατός τε (καθά φησιν Ἀντισθένης ἐν διαδοχαῖς) ἦν. καὶ δὴ καὶ τόδε ἐρωτᾷν εἰώθει, Τὸ ἕτερον, τοῦ ἑτέρου ἕτερόν ἐστι; Ναί. Ἕτερον δέ ἐστι τὸ ὠφελεῖν τοῦ ἀγαθοῦ; Ναί. Οὐκ

ἄρα τὸ ἀγαθὸν, ὠφελεῖν ἐστιν. ἀνῄρει δὲ (φασὶ) καὶ τὰ ἀποφατικὰ τῶν ἀξιωμάτων, καταφατικὰ τιθείς. καὶ τούτων τὰ ἁπλᾶ προσδεχόμενος, τὰ οὐχ ἁπλᾶ ἀνῄρει, λέγω δὲ συνημμένα καὶ συμπεπλεγμένα. φησὶ δ' Ἡρακλείδης ἐν μὲν τοῖς δόγμασι Πλατωνικὸν εἶναι αὐτὸν, διαπαίζειν δὲ τὰ διαλεκτικά· ὥστε Ἀλεξίνου ποτὲ διερωτήσαντος εἰ πέπαυται τὸν πατέρα τύπτων, Ἀλλ' οὔτ' ἔτυπτον (φάναι) οὔτε πέπαυμαι. πάλιν τ' ἐκείνου λέγοντος, Ἐχρῆν εἰπόντα, ναὶ, ἢ οὒ, λῦσαι τὴν ἀμφιβολίαν, Γελοῖον (εἶπε) τοῖς ὑμετέροις νόμοις ἀκολουθεῖν, ἐξὸν ἐν πύλαις ἀντιβῆναι. Βίωνός τε ἐπιμελῶς κατατρέχοντος τῶν μάντεων, νεκροὺς αὐτὸν ἐπισφάττειν ἔλεγε. καί ποτε τινὸς ἀκούσας ὡς μέγιστον ἀγαθὸν εἴη τὸ πάντων ἐπιτυγχάνειν ὧν τις ἐπιθυμεῖ, εἰπεῖν, Πολὺ δὲ μεῖζον τὸ ἐπιθυμεῖν ὧν δεῖ. φησὶ δ' Ἀντίγονος ὁ Καρύστιος γράψαι αὐτὸν μηδὲν, μηδὲ συντάξαι. ὥστε μηδὲ στηρίζειν ἐπί τινος δόγματος. ἐν δὲ ταῖς ζητήσεσι (φησὶν) ὧδε μάχιμος ἦν ὥσθ' ὑπώπια φέρων ἀπῄει. ὅμως δ' οὖν τοιοῦτος ἐν τοῖς λόγοις ὑπάρχων, ἐν τοῖς ἔργοις πρᾳότατος ἦν. Ἀλεξῖνον γοῦν πολλὰ καταπαίζων καὶ σκληρῶς ἐπισκώπτων, ὅμως αὐτὸς εὖ ἐποίησε, τὴν γυναῖκα παραπέμψας ἐκ Δελφῶν ἕως Χαλκίδος, εὐλαβουμένην κλωπείας τε καὶ τὰς καθ' ὁδὸν λῃστείας. φίλος τε ἦν μάλιστα, ὡς δῆλον ἐκ τῆς πρὸς Ἀσκληπιάδην συμπνοίας, οὐδέν τι διαφερούσης Πυλάδου φιλοστοργίας. ἀλλὰ πρεσβύτερος Ἀσκληπιάδης, ὡς λέγεσθαι ποιητὴν μὲν αὐτὸν εἶναι, ὑποκριτὴν δὲ Μενέδημον. καί ποτε φασὶν Ἀρχιπόλιδος τρισχίλια αὐτοῖς διαγράψαντος, στηριζομένους περὶ τοῦ τίς δεύτερος ἄρῃ, μηδέτερον λαβεῖν. λέγεται δὲ καὶ γυναῖκας ἀγαγέσθαι αὐτούς· ὧν τὴν μὲν θυγατέρα, Ἀσκληπιάδην· τὴν δὲ μητέρα, Μενέδημον. κἀπειδὴ ἐτελεύτησε τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, λαβεῖν τὸ τοῦ Μενεδήμου. ἐκεῖνόν τε

ἐπειδὴ προύστη τῆς πολιτείας, πλουσίαν γῆμαι. οὐδὲν μέντοι ἧττον μιᾶς οὔσης οἰκίας ἐπιτρέψαι τὸν Μενέδημον τὴν διοίκησιν τῇ προτέρᾳ γυναικί. ὁ μέντοι Ἀσκληπιάδης προκατέστρεψεν ἐν Ἐρετρίᾳ γηραιὸς ἤδη, συζήσας τῷ Μενεδήμῳ σφόδρα ἁπλῶς ἀπὸ μεγάλων. ὥστε καὶ μετὰ χρόνον ἐλθόντος ἐπὶ κῶμον ἐρωμένου τοῦ Ἀσκληπιάδου, καὶ τῶν νεανίσκων ἀποκλειόντων αὐτὸν, ὁ Μενέδημος ἐκέλευσεν εἰσδέξασθαι, εἰπὼν, Ὅτι Ἀσκληπιάδης αὐτῷ, καὶ κατὰ γῆς ὢν, τὰς θύρας ἀνοίγει. ἦσαν δ' οἱ σωματοποιήσαντες αὐτοὺς, Ἱππόνικός τε ὁ Μακεδὼν καὶ Ἀγήτωρ ὁ Λαμιεύς· ὁ μὲν, ἑκατέρῳ δοὺς τριάκοντα μνᾶς, ὁ δ' Ἱππόνικος Μενεδήμῳ εἰς ἔκδοσιν τῶν θυγατέρων δισχιλίας δραχμάς. ἦσαν δὲ τρεῖς, (καθά φησιν Ἡρακλείδης) ἐξ Ὠρωπίας αὐτῷ γυναικὸς γεγενημέναι. τὰ δὲ συμπόσια τοῦτον ἐποιεῖτο τὸν τρόπον· προηρεῖτο μετὰ δυοῖν ἢ τριῶν, ἕως βραδέως ἦν τῆς ἡμέρας. ἔπειτά τις ἐκάλει τοὺς παραγινομένους, καὶ αὐτοὺς ἤδη δεδειπνηκότας· ὥστε εἴ τις ἔλθοι θᾶττον, ἀνακάμπτων ἐπυνθάνετο τῶν ἐξιόντων τί εἴη παρακείμενον, καὶ πῶς ἔχοι τοῦ χρόνου. εἰ μὲν οὖν λαχάνιον ἢ ταρίχιον, ἀνεχώρουν· εἰ δὲ κρεάδιον, εἰσῄεσαν. ἦν δὲ τοῦ μὲν θέρους ψίαθος ἐπὶ τῶν κλινῶν· τοῦ δὲ χειμῶνος, κῴδιον. προσκεφάλαιον δ' αὐτῷ φέρειν ἔδει. τό, τε περιαγόμενον ποτήριον οὐ μεῖζον ἦν κοτυλιαίου. τράγημα, θέρμος, ἢ κύαμος· ἔστι δ' ὅτε καὶ τῶν ὡραίων ἄπιος, ἢ ῥόα, ἢ ὦχροι, ἤ, νὴ Δί', ἰσχάδες. ἃ πάντα φησὶν ὁ Λυκόφρων ἐν τοῖς πεποιημένοις σατύροις αὐτῷ, οὓς Μενέδημον ἐπέγραψεν, ἐγκώμιον τοῦ φιλοσόφου ποιήσας τὸ δρᾶμα. ὧν καί τινα ἐστὶ τοιαυτί,

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
Αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
Ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

τὰ μὲν οὖν πρῶτα κατεφρονεῖτο, κύων καὶ λῆρος ὑπὸ

τῶν Ἐρετριέων ἀκούων· ὕστερον δ' ἐθαυμάσθη, ὥστε καὶ τὴν πόλιν ἐγχειρίσασθαι. ἐπρέσβευσε δὲ καὶ πρὸς Πτολεμαῖον, καὶ Λυσίμαχον, τιμώμενος πανταχοῦ, οὐ μὴν ἀλλὰ καὶ πρὸς Δημήτριον. καὶ τῆς πόλεως διακόσια τάλαντα τελούσης πρὸς ἔτος αὐτῷ, τὰ πεντήκοντα ἀφεῖλε. πρὸς ὃ διαβληθεὶς, ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ, ἀπολογεῖται δι' ἐπιστολῆς, ἧς ἡ ἀρχή, Μενέδημος βασιλεῖ Δημητρίῳ χαίρειν. Ἀκούω πρός σε ἀνατεθῆναι περὶ ἡμῶν. λόγος δὲ διαβλέπειν αὐτὸν τῶν ἀντιπολιτευομένων τινὰ Αἰσχύλον. δοκεῖ δ' ἐμβριθέστατα πρεσβεῦσαι πρὸς Δημήτριον ὑπὲρ τοῦ Ὠρωποῦ, ὡς καὶ Εὔφαντος ἐν ἱστορίαις μνημονεύει. ἠγάπα δ' αὐτὸν καὶ Ἀντίγονος, καὶ μαθητὴν ἀνεκήρυττεν αὐτόν. καὶ ἡνίκα ἐνίκα τοὺς βαρβάρους περὶ Λυσιμαχίαν, γράφει ψήφισμα αὐτῷ Μενέδημος ἁπλοῦν τε καὶ ἀκόλακον, οὗ ἡ ἀρχή, Οἱ στρατηγοὶ καὶ οἱ πρόβουλοι εἶπον, Ἐπειδὴ βασιλεὺς Ἀντίγονος μάχῃ νικήσας τοὺς βαρβάρους, παραγίνεται εἰς τὴν ἰδίαν, καὶ τἄλλα πάντα πράσσει κατὰ γνώμην, ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. διὰ ταῦτα δὴ καὶ τὴν ἄλλην φιλίαν ὑποπτευθεὶς προδιδόναι τὴν πόλιν αὐτῷ, διαβάλλοντος Ἀριστοδήμου, ὑπεξῆλθε· καὶ διέτριβεν ἐν Ὠρωπῷ, ἐν τῷ τοῦ Ἀμφιαράου ἱερῷ· ἔνθα χρυσῶν ποτηρίων ἀπολομένων (καθά φησιν Ἕρμιππος) δόγματι κοινῷ τῶν Βοιωτῶν ἐκελεύσθη μετελθεῖν. ἐντεῦθεν ἀθυμήσας λαθραίως παρεισδὺς εἰς τὴν πατρίδα, καὶ τήν τε γυναῖκα καὶ τὰς θυγατέρας παραλαβὼν, πρὸς Ἀντίγονον ἐλθὼν, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. φησὶ δ' αὐτὸν Ἡρακλείδης, πᾶν τοὐναντίον, πρόβουλον γενόμενον τῶν Ἐρετριέων, πολλάκις ἐλευθερῶσαι τὴν πόλιν ἀπὸ τῶν τυράννων, ἐπαγομένων Δημήτριον. οὐκ ἂν δὴ οὖν προδοῦναι αὐτὸν Ἀντιγόνῳ τὴν πόλιν, ἀλλὰ διαβολὴν ἀναλαβεῖν ψευδῆ. φοιτᾶν τε πρὸς τὸν Ἀντίγονον, καὶ βούλεσθαι ἐλευθερῶσαι τὴν πατρίδα. τοῦ δὲ μὴ εἴκοντος, ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ

ἡμερῶν, τὸν βίον μεταλλάξαι. τὰ ὅμοια τούτῳ καὶ Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ. μόνῳ δὲ Περσαίῳ διαπρύσιον εἶχε πόλεμον. ἐδόκει γὰρ, Ἀντιγόνου βουλομένου τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χάριν Μενεδήμου, κωλῦσαι. διὸ καί ποτε παρὰ πότον ὁ Μενέδημος ἐλέγξας αὐτὸν τοῖς λόγοις, τά τε ἄλλα ἔφη, καὶ δὴ, Φιλόσοφος μέν τοι τοιοῦτος, ἀνὴρ δὲ καὶ τῶν ὄντων καὶ τῶν γενησομένων κάκιστος. ἐτελεύτα δὲ (κατὰ τὸν Ἡρακλείδην) τέταρτον καὶ ἑβδομηκοστὸν ἔτος βιούς. καὶ εἰς αὐτὸν ἡμῶν ἐστιν οὕτως ἔχον·

Ἔκλυον (Μενέδημε), τὸν μόρον, ὡς
Ἑκὼν ἀπέσβης, ἐν ἡμέρῃσιν ἑπτὰ
Μηδὲν ἐσθίων. κατ' ἔργον ἔρεξας Ἐρετρικὸν,
Ἀλλ' ὅμως ἄνανδρον. ἀψυχίη γὰρ ἡγεμὼν Ἔπειγε.

καὶ οὗτοι μὲν οἱ Σωκρατικοὶ, καὶ οἱ ἀπ' αὐτῶν. μετιτέον δὲ ἐπὶ Πλάτωνα τὸν τῆς Ἀκαδημίας κατάρξαντα, καὶ τοὺς ἀπ' αὐτοῦ, ὁπόσοι γεγόνασιν ἐλλόγιμοι.

# ΔΙΟΓΕ'ΝΟΥΣ ΛΑΕΡΤίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ γ΄ τρί.

## ΠΛΑΤΩΝ.

ΠΛΑ'ΤΩΝ, Ἀρίστωνος καὶ Περικτιόνης, ἢ Ποτώνης, Ἀθηναῖος, ἥτις τὸ γένος ἀνέφερεν εἰς Σόλωνα. τούτου γὰρ ἦν ἀδελφὸς Δρωπίδης, οὗ Κριτίας, οὗ Κάλλαισχρος, οὗ Κριτίας ὁ τῶν τριάκοντα, καὶ Γλαύκων, οὗ Χαρμίδης καὶ Περικτιόνη, ἧς καὶ Ἀρίστωνος Πλάτων, ἕκτος ἀπὸ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα καὶ Ποσειδῶνα ἀνέφερε τὸ γένος. φασὶ δὲ καὶ τὸν πατέρα αὐτοῦ ἀνάγειν εἰς Κόδρον τὸν Μελάνθου, οἵτινες ἀπὸ Ποσειδῶνος ἱστοροῦνται, κατὰ Θράσυλον. Σπεύσιππος δὲ ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περὶ δείπνου, καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος ἐγκωμίῳ, καὶ Ἀναξιλίδης ἐν τῷ δευτέρῳ περὶ φιλοσόφων, φασὶν, Ἀθήνησιν ἦν λόγος, ὡραίαν οὖσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀρίστωνα, καὶ μὴ τυγχάνειν. παυόμενόν τε τῆς βίας ἰδεῖν τὴν τοῦ Ἀπόλλωνος ὄψιν, ὅθεν καθαρὰν γάμου φυλάξαι, ἕως τῆς ἀποκυήσεως. καὶ γίνεται Πλάτων (ὥς φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς) ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι, Θαργηλιῶνος ἑβδόμῃ, καθ' ἣν Δήλιοι τὸν Ἀπόλλωνα γενέσθαι φασί. τελευτᾷ δὲ (ὥς φησιν Ἕρμιππος) ἐν γάμοις δειπνῶν, τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. Νεάνθης

δέ φησιν αὐτὸν τεττάρων καὶ ὀγδοήκοντα τελευτῆσαι ἐτῶν. ἔστιν οὖν Ἰσοκράτους νεώτερος ἔτεσιν ἕξ. ὁ μὲν γὰρ ἐπὶ Λυσιμάχου· Πλάτων δὲ ἐπὶ Ἀμεινίου γέγονεν, ἐφ' οὗ Περικλῆς ἐτελεύτησεν. ἦν δὲ τῶν δήμων Κολλυτεύς, ὥς φησιν Ἀντιλέων ἐν δευτέρῳ Περὶ χρόνων. καὶ ἐγεννήθη κατά τινας ἐν Αἰγίνῃ, ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θάλητος, (ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) τοῦ πατρὸς αὐτοῦ μετὰ καὶ ἄλλων πεμφθέντος κληρούχου, καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὁπότε ὑπὸ Λακεδαιμονίων ἐξεβλήθησαν βοηθούντων Αἰγινήταις. ἀλλὰ καὶ ἐχορήγησεν Ἀθήνησι Δίωνος ἀναλίσκοντος, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῳ περιπάτων. ἔσχε δὴ ἀδελφοὺς Ἀδείμαντον καὶ Γλαύκωνα, καὶ ἀδελφὴν Ποτώνην, ἐξ ἧς ἦν Σπεύσιππος. καὶ ἐπαιδεύθη μὲν γράμματα παρὰ Διονυσίῳ, οὗ καὶ μνημονεύει ἐν τοῖς ἀντερασταῖς· ἐγυμνάσατο δὲ παρὰ Ἀρίστωνι τῷ Ἀργείῳ παλαιστῇ· ἀφ' οὗ καὶ Πλάτων διὰ τὴν εὐεξίαν μετωνομάσθη, πρότερον Ἀριστοκλῆς ἀπὸ τοῦ πάππου καλούμενος ὄνομα, καθά φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς. ἔνιοι δὲ διὰ τὴν πλατύτητα τῆς ἑρμηνείας οὕτως ὀνομασθῆναι· ἢ ὅτι πλατὺς ἦν τὸ μέτωπον, ὥς φησι Νεάνθης. εἰσὶ δὴ οἳ καὶ παλαῖσαι φασὶν αὐτὸν Ἴσθμοι, καθὰ καὶ Δικαίαρχος ἐν πρώτῳ Περὶ βίων· καὶ γραφικῆς ἐπιμεληθῆναι· καὶ ποιήματα γράψαι, πρῶτον μὲν διθυράμβους, ἔπειτα καὶ μέλη καὶ τραγῳδίας. ἰσχνόφωνός τε (φασὶν) ἦν, ὡς καὶ Τιμόθεος φησὶν ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. λέγεται δὴ ὅτι Σωκράτης ὄναρ εἶδεν κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα· καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι· τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὴν ὄρνιν. ἐφιλοσόφει δὲ τὴν ἀρχὴν ἐν Ἀκαδημίᾳ, εἶτα ἐν τῷ κήπῳ τῷ περὶ τὸν Κολωνόν, ὥς φησιν Ἀλέξανδρος ἐν διαδοχαῖς καθ' Ἡράκλειτον. ἔπειτα μέντοι μέλλων ἀγωνιεῖσθαι

τραγῳδίᾳ πρὸ τοῦ Διονυσιακοῦ θεάτρου, Σωκράτους ἀκούσας κατέφλεξε τὰ ποιήματα εἰπών,

Ἥφαιστε πρόμολ' ὧδε, Πλάτων νύ τι σεῖο χατίζει.

τοὐντεῦθεν δὴ γεγονὼς (φασὶν) εἴκοσιν ἔτη διήκουσε Σωκράτους. ἐκείνου δ' ἀπελθόντος, προσεῖχε Κρατύλῳ τε τῷ Ἡρακλειτείῳ, καὶ Ἑρμογένει τῷ τὰ Παρμενίδου φιλοσοφοῦντι. ἔπειτα γενόμενος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν (καθά φησιν Ἑρμόδωρος) εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν καὶ ἄλλοις τισὶ Σωκρατικοῖς ὑπεχώρησεν. ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν· κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τοὺς Πυθαγορικούς, Φιλόλαον καὶ Εὔρυτον· ἔνθεν τε εἰς Αἴγυπτον παρὰ τοὺς προφήτας· οὗ φασι καὶ Εὐριπίδην αὐτῷ συνακολουθῆσαι, καὶ αὐτόθι νοσήσαντα πρὸς τῶν ἱερέων ἀπολυθῆναι τῇ διὰ θαλάττης θεραπείᾳ. ὅθεν καὶ εἰπεῖν,

Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

ἀλλὰ καὶ (καθ' Ὅμηρον) φάναι πάντας ἀνθρώπους Αἰγυπτίους ἰατροὺς εἶναι. διέγνω δὴ ὁ Πλάτων καὶ τοῖς μάγοις συμμῖξαι· διὰ δὲ τοὺς τῆς Ἀσίας πολέμους ἀπέστη. ἐπανελθὼν δὲ εἰς Ἀθήνας, διέτριβεν ἐν Ἀκαδημίᾳ. τὸ δ' ἐστὶ γυμνάσιον, προάστειον ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἀκαδήμου, καθὰ καὶ Εὔπολις ἐν ἀστρατεύτοις φησίν,

Ἐν εὐσκίοις δρόμοισιν Ἀκαδήμου θεοῦ.

ἀλλὰ καὶ ὁ Τίμων εἰς τὸν Πλάτωνα λέγων φησί,

Τῶν πάντων δ' ἡγεῖτο πλατύστατος, ἀλλ' ἀγορητὴς
Ἡδυεπής, τέττιξιν ἰσογράφος, οἵθ' Ἑκαδήμου
Δένδρει ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι.

πρότερον γὰρ διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο. ὁ δ' οὖν φιλόσοφος καὶ Ἰσοκράτει φίλος ἦν. καὶ αὐτῶν Πραξιφάνης συνέγραψε διατριβήν τινα περὶ ποιητῶν γενομένην, ἐν ἀγρῷ παρὰ Πλάτωνι ἐπιξενωθέντος τοῦ Ἰσοκράτους·

καὶ αὐτόν φησιν Ἀριστόξενος τρὶς ἐστρατεῦσθαι, ἅπαξ μὲν
ἰς Τάναγραν, δεύτερον δὲ εἰς Κόρινθον, τρίτον ἐπὶ Δηλίῳ·
ἔνθα καὶ ἀριστεῦσαι. μίξιν τε ἐποιήσατο τῶν τε Ἡρακλειτείων
λόγων καὶ Πυθαγορικῶν καὶ Σωκρατικῶν. τὰ μὲν γὰρ αἰσθητὰ,
καθ' Ἡράκλειτον· τὰ δὲ νοητὰ, κατὰ Πυθαγόραν· τὰ δὲ πολιτι-
κὰ, κατὰ Σωκράτην ἐφιλοσόφει. λέγουσι δέ τινες (ὧν ἐστι
καὶ Σάτυρος) ὅτι Δίωνι ἐπέστειλεν εἰς Σικελίαν ὠνήσασθαι
τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου μνῶν ἑκα-
τόν. καὶ γὰρ ἐν εὐπορίᾳ (φασὶν) ἦν παρὰ Διονυσίου λαβὼν
ὑπὲρ τὰ ὀγδοήκοντα τάλαντα, ὡς καὶ Ὀνήτωρ φησὶν ἐν
τῷ ἐπιγραφομένῳ, Εἰ χρηματιεῖται ὁ σοφός. πολλὰ δὲ
καὶ παρ' Ἐπιχάρμου τοῦ κωμῳδοποιοῦ προσωφέληται,
τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν τοῖς
πρὸς Ἀμύνταν, ἅ ἐστι τέτταρα. ἔνθα καὶ ἐν τῷ πρώτῳ
φησὶ ταῦτα, Φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρ-
μου λέγων· σκεπτέον δέ. ὁ Πλάτων φησὶν, αἰσθητὸν μὲν εἶναι,
τὸ μηδέποτε ἐν τῷ ποιῷ μηδὲ ποσῷ διαμένον, ἀλλ' ἀεὶ ῥέ-
ον καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἄν τις ἀνέλῃ τὸν ἀριθμὸν,
τούτων οὔτε ἴσων, οὔτε τινῶν, οὔτε ποσῶν, οὔτε ποιῶν ὄντων.
ταῦτα δ' ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε.
νοητὸν δὲ, ἐξ οὗ μηδὲν ἀπογίνεται μηδὲ προσγίνεται. τοῦτο
δ' ἐστὶν ἡ τῶν ἀϊδίων φύσις, ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν
ἀεὶ συμβέβηκεν εἶναι. καὶ μὴν ὅ γε Ἐπίχαρμος περὶ τῶν
αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν, Ἀλλ' ἀεί τοι θεοὶ πα-
ρῆς, χὐπέλιπον οὐ πώποκα· τάδε δ' ἀεὶ πάρεσθ' ὅμοια,
διά τε τῶν αὐτῶν ἀεί. ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γε-
νέσθαι τῶν θεῶν. πῶς δέ κ' ἀμήχανόν γ' ἀπό τινος μηδὲν
εἶ, τι πρᾶτον μόλοι. οὐκ ἄρ' ἔμολε πρᾶτον οὐδέν; οὐδὲ μὰ
Δία δεύτερον, τῶν δ' ὧν ἄμμες νῦν ὧδε λέγω, μέλλει τάδ'
εἶμεν. αἰτ' ἀριθμόν τις περισσὸν, αἰ δὲ λῆς τὸν ἄρτιον. ποτ-
θέμειν λῆς ψᾶφον, ἢ καὶ τὰν ὑπαρχουσᾶν λαβεῖν. ἦ δοκεῖ
κά τοι καὶ ὁ αὐτὸς εἶμεν; οὐκ ἐμίν γα κα. οὐδὲ μὰν, οὐδὲ ποτὶ

μέζον παχὺ ἐὸν καττεθέμεν λῇ τις ἕτερον στεῤῥὸν μᾶκος, ἢ τοῦ πρόσθ' ἐόντος ἀποταμεῖν, ἔτι κ' ὑπάρχοι κεῖνο τὸ μέτρον. οὐ γάρ. ὧδε νῦν ὅρη καὶ τὼς ἀνθρώπως. ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει. ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον. ὃ δὲ μεταλλάσσει κατὰ φύσιν, καὶ οὔποκ' ἐν ταὐτῷ μένει, ἀλλὰ ἕτερον εἴη κ' αὐτὸ δὴ τοῦ παρεξεστακότος. καὶ τὺ δὴ κἀγὼ χθὲς, ἄλλοι καὶ νῦν ἄλλοι πελέθομες, καὖθις ἄλλοι, κ' οὔπω χ' αὐτοὶ καττὸν λόγον. ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτὶ, Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὐτὴν ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην. διὸ καὶ τῶν ὄντων τὰ μὲν, αἰσθητὰ εἶναι· τὰ δὲ, νοητά. ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας, πρῶτον μὲν αὐτὰς καθ' αὐτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα, καὶ μονάδα, καὶ πλῆθος, καὶ μέγεθος, καὶ στάσιν, καὶ κίνησιν· δεύτερον, αὐτὸ καθ' αὐτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον, καὶ τὰ τοιαῦτα ὑποθέσθαι· τρίτον, τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσὶν, οἷον ἐπιστήμην, ἢ μέγεθος, ἢ δεσποτείαν· ἐνθυμουμένους ὅτι τὰ παρ' ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείνοις ὑπάρχει. λέγω δὲ οἷον, δίκαια μὲν, ὅσα τοῦ δικαίου· καλὰ δὲ, ὅσα τοῦ καλοῦ. ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀΐδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές. διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι, καθάπερ παραδείγματα. τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιότατα καθεστῶτα. ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει, Ἆρ' ἐστὶν αὔλησις τὶ πρᾶγμα; πάνυ μὲν οὖν. Ἄνθρωπος οὖν αὔλησίς ἐστιν; οὐδαμῶς. φέρε ἴδω. τί δ' αὐλητάς; τίς εἶμέν τοι δοκεῖ ἄνθρωπος, ἢ οὐ γάρ; πάνυ μὲν οὖν. Οὐκοῦν δοκεῖς οὕτως ἔχειν καὶ περὶ τοῦ ἀγαθοῦ; τὸ μὲν, ἀγαθὸν, τὸ δὲ πρᾶγμα; εἰ μὲν καθ' αὐτό ἐστις δῆκα εἰδῆ μα-

τὰν τέχναν, ἀγαθὸς ἤδη γίνεται. ὥσπερ γὰρ εἴ τις αὔλησιν αὐλητὰς μαθὼν, ἢ τὰν ὄρχησιν ὀρχηστάς τις, ἢ πλοκεὺς πλοκὰν, ἢ πᾶν γα ὁμοίως τῶν τοιούτων ὅ,τι τοι λῇς, οὐχ αὐτὸς εἴη κ' ἁ τέχνα, τεχνικός γα μάν. • Πλάτων ἐν τῇ περὶ τῶν ἰδεῶν ὑπολήψει φησὶν, Εἴπερ ἐστὶ μνήμη τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν, διὰ τὸ τὴν μνήμην ἠρεμοῦντός τινὸς καὶ μένοντος εἶναι· μένειν δὲ οὐδὲν ἕτερον ἢ τὰς ἰδέας. τίνα γὰρ ἂν τρόπον (φησὶ) διεσώζετο τὰ ζῶα μὴ τῆς ἰδέας ἐφαπτόμενα, καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικὸν εἰληφότα; νῦν δὲ μνημονεύει τῆς ὁμοιότητός τε καὶ τροφῆς, ὁποία τις ἐστὶν αὐτοῖς, ἐνδεικνύμενα διότι πᾶσι τοῖς ζώοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία. διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται. πῶς οὖν ὁ Ἐπίχαρμος; Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον, ἀλλ' ὅσα περ ζῇ πάντα καὶ γνώμαν ἔχει. καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος, αἰ λῇς καταμαθεῖν ἀτενὲς, οὐ τίκτει τέκνα ζῶντα, ἀλλ' ἐπῴζει καὶ ποιεῖ ψυχὰν ἔχειν· τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει μόνα· πεπαίδευται γὰρ αὖ ταύτας ὕπο. καὶ πάλιν, Θαυμαστὸν οὐδὲν ἐστι με ταῦθ' οὕτω λέγειν, καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς, καὶ δοκεῖν καλῶς πεφυκέναι. καὶ γὰρ ἁ κύων κυνὶ κάλλιστον εἶμεν φαίνεται, καὶ βοῦς βοΐ, ὄνος δὲ ὄνῳ κάλλιστον, ὗς δὲ ὑΐ. καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τῶν τεσσάρων βιβλίων παραπήγνυσιν ὁ Ἄλκιμος, παρασημαίνων τὴν ἐξ Ἐπιχάρμου Πλάτωνι περιγινομένην ὠφέλειαν. ὅτι δ' οὐδ' αὐτὸς Ἐπίχαρμος ἠγνόει τὴν αὑτοῦ σοφίαν, μαθεῖν ἐστι κἀκ τούτων, ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται, Ὡς δὲ ἐγὼ δοκέω· δοκέω γὰρ σαφὲς ἅμιν τοῦθ', ὅτι τῶν ἐμῶν μνᾶμα ποκ' ἐσσεῖται λόγων τούτων ἔτι. καὶ λαβών τις αὐτὰ, περιδύσας τὸ μέτρον ὃ νῦν ἔχει, εἷμα δοὺς καὶ πορφυροῦν λόγοισι ποικίλας καλοῖς, δυσπάλαιστος ὢν, τοὺς ἄλλους εὐπαλαίστους ἀποφανεῖ. δοκεῖ δὲ Πλάτων καὶ τὰ Σώφρονος τοῦ μιμογράφου βιβλία ἠμελημένα

πρῶτος εἰς Ἀθήνας διακομίσαι, καὶ ἠθοποιῆσαι περὶ αὐτὸν ἃ καὶ εὑρεθῆναι ὑπὸ τῇ κεφαλῇ αὐτοῦ. τρὶ δὲ πέπλευκεν εἰς Σικελίαν· πρῶτον μὲν κατὰ θέαν τῆς νήσου καὶ τῶν κρατήρων, ὅτε καὶ Διονύσιος ὁ Ἑρμοκράτους, τύραννος ὤν, ἠνάγκασεν ὥστε συμμίξαι αὐτῷ· ὁ δὲ, διαλεγόμενος περὶ τυραννίδος, καὶ φάσκων ὡς οὐκ ἔστι τοῦτο κρεῖττον ὃ συμφέρει αὐτῷ μόνον, εἰ μὴ καὶ ἀρετῇ διαφέροι, προσέκρουσεν αὐτῷ. ὀργισθεὶς γὰρ, Οἱ λόγοι σου (φησὶ) γεροντιῶσι. καὶ ὃς, Σοῦ δέ γε τυραννιῶσιν. ἐντεῦθεν ἀγανακτήσας ὁ τύραννος, πρῶτον μὲν ἀνελεῖν ὥρμησεν αὐτόν· εἶτα παρακληθεὶς ὑπὸ Δίωνος καὶ Ἀριστομένους, τοῦτο μὲν οὐκ ἐποίησε, παρέδωκε δ' αὐτὸν Πόλιδι τῷ Λακεδαιμονί[ῳ] κατὰ καιρὸν διὰ πρεσβείαν ἀφιγμένῳ, ὥστε ἀποδόσθαι. κἀ[κεῖνος] ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν, ἐπίπρασκεν. ὅτε κα[ὶ] Χάρμανδρος Χαρμανδρίδου ἐγράψατο αὐτῷ δίκην θανάτου, κατὰ τὸν παρ' αὐτοῖς τεθέντα νόμον, τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ, ἄκριτον ἀποθνήσκειν. ἦ[ν] δ' αὐτὸς ὁ θεὶς τὸν νόμον, καθά φησι Φαβωρῖνος ἐ[ν] παντοδαπῇ ἱστορίᾳ. εἰπόντος δέ τινος (ἀλλὰ κατὰ παιδιὰν) φιλόσοφον εἶναι τὸν ἐπιβάντα, ἀπέλυσαν. ἔνιοι δέ φασι παραχθῆναι αὐτὸν εἰς τὴν ἐκκλησίαν, καὶ τηρούμενον μηδ' ὁ[τι]οῦν φθέγξασθαι· ἑτοίμως δὲ ἐκδέξασθαι τὸ συμβαῖνον. οἱ [δὲ] ἀποκτεῖναι μὲν αὐτὸν οὐ διέγνωσαν, πωλεῖν δὲ ἔκριναν τ[ῷ] τρόπῳ τῶν αἰχμαλώτων. λυτροῦται δὲ αὐτὸν κατὰ τύχην παρὼν Ἀννίκερις ὁ Κυρηναῖος εἴκοσι μνῶν (οἱ δὲ, τριάκοντα) καὶ ἀναπέμπει Ἀθήναζε πρὸς τοὺς ἑταίρους. οἱ δ' εὐθὺς τἀργύριον ἐξέπεμψαν, ὃ παρ' οὐ προσήκατο, εἰπὼν, μὴ μόνους ἐκείνους ἀξίους εἶναι Πλάτωνος κήδεσθαι. ἔνιοι δὲ κα[ὶ] Δίωνα ἀποστεῖλαι φασὶ τὸ ἀργύριον, καὶ τὸν μὴ προέσθαι, ἀλλὰ κηπίδιον αὐτῷ τὸ ἐν Ἀκαδημίᾳ πρίασθαι. τὸν μέντοι Πόλιν λόγος ὑπό τε Χαβρίου ἡττηθῆναι, καὶ μετὰ ταῦτα ἐν Ἑλίκῃ καταποντωθῆναι, τοῦ δαιμονίου μηνίσαντος

αὐτῷ διὰ τὸν φιλόσοφον· ὃ καὶ Φαβωρῖνος φησὶν ἐν πρώτῳ τῶν ἀπομνημονευμάτων. οὐ μὴν δὲ ἡσύχαζεν ὁ Διονύσιος· μαθὼν δὲ ἐπέστειλε Πλάτωνι, μὴ κακῶς ἀγορεύειν αὐτόν. καὶ ὃς ἀντεπέστειλε, μὴ τοσαύτην αὐτῷ σχολὴν εἶναι ὥστε Διονυσίου μεμνῆσθαι. δεύτερον πρὸς νεώτερον ἧκε Διονύσιον, αἰτῶν γῆν καὶ ἀνθρώπους τοὺς κατὰ τὴν πολιτείαν αὐτοῦ ζησομένους. ὁ δὲ, καίπερ ὑποσχόμενος, οὐκ ἐποίησεν. ἔνιοι δέ φασι καὶ κινδυνεῦσαι αὐτὸν ὡς ἀναπείθοντα Δίωνα καὶ Θεώταν ἐπὶ τῇ τῆς νήσου ἐλευθερίᾳ· ὅτε καὶ Ἀρχύτας αὐτὸν ὁ Πυθαγορικὸς, γράψας ἐπιστολὴν πρὸς Διονύσιον, παρῃτήσατο, καὶ διέσωσεν εἰς Ἀθήνας. ἔστι δὲ ἡ ἐπιστολὴ ἥδε·

Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεστάλκαμες πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν, ἀπολαμψόμενοι τὸν ἄνδρα, κατὰ τὰν παρὰ τὶν γενομέναν ὁμολογίαν. ὀρθῶς δὲ καὶ ποιῇς, ἀμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἁνίκα πάντες ἄμμε παρεκάλεις ποτὶ τὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὰν ἀσφάλειαν, μένοντί τε καὶ ἀφορμιῶντι. μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ· καὶ ἀγάπεις ἐκ τήνω τῶ χρόνω, ὡς οὐδένα τῶν παρ τίν. αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ, κἀποδιδόμεν ἄμμιν ἀβλαβῆ τὸν ἄνδρα. ταῦτα γὰρ ποιῶν, δίκαια πράξεις, καὶ ἄμμιν χαριῇ.

Τρίτον ἦλθε διαλλάξων Δίωνα Διονυσίῳ. οὐ τυχὼν δὲ, ἄπρακτος ἐπανῆλθεν εἰς τὴν πατρίδα· ἔνθα πολιτείας μὲν οὐχ ἥψατο, καίτοι πολιτικὸς ὢν ἐξ ὧν γέγραφεν. αἴτιον δὲ τὸ ἤδη τὸν δῆμον ἄλλοις πολιτεύμασιν ἐνειθίσθαι. φησὶ δὲ Παμφίλη ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ τῶν ὑπομνημάτων, ὡς Ἀρκάδες καὶ Θηβαῖοι μεγάλην πόλιν οἰκίζοντες παρεκάλουν αὐτὸν νομοθέτην· ὁ δὲ μαθὼν ἴσον

ἔχειν οὐ θέλοντας, οὐκ ἐπορεύθη. λόγος, ὅτι καὶ Χαβρί
συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν π
λιτῶν τοῦτο πρᾶξαι βουληθέντος. ὅτε καὶ ἀνιόντι αὐτῷ εἰ
τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ, Κρώβυλος ὁ συκοφάντη
ἀπαντήσας φησίν, Ἄλλῳ συναγορεύων ἥκεις, ἀγνοῶν ὅτ
καί σε τὸ Σωκράτους κώνειον ἀναμένει; τὸν δὲ φάναι, Κ
ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κιν
δύνους· καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομε
νῶ. Οὗτος πρῶτος ἐν ἐρωτήσει λόγον παρήνεγκεν, ὥς φ
σι Φαβωρῖνος ἐν ὀγδόῃ παντοδαπῆς ἱστορίας· καὶ πρῶ
τος τὸν κατὰ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατ
Λεωδάμαντι τῷ Θασίῳ. καὶ πρῶτος ἐν φιλοσοφίᾳ ἀν
τίποδα ὠνόμασε, καὶ στοιχεῖον, καὶ διαλεκτικήν, καὶ ποι
ματα, καὶ τοῦ ἀριθμοῦ τὸν προμήκη, καὶ τῶν περάτων τὴ
ἐπίπεδον ἐπιφάνειαν, καὶ θεοῦ πρόνοιαν. καὶ πρῶτο
τῶν φιλοσόφων ἀντεῖπε πρὸς τὸν λόγον τοῦ Λυσίου τοῦ Κε
φάλου, ἐκθέμενος αὐτὸν κατὰ λέξιν ἐν τῷ Φαίδρῳ. κα
πρῶτος ἐθεώρησε τῆς γραμματικῆς τὴν δύναμιν. πρῶ
τός τε ἀντειρηκὼς σχεδὸν ἅπασι τοῖς πρὸ αὐτοῦ, ζητεῖτα
διὰ τί μὴ ἐμνημόνευσε Δημοκρίτου. Τούτου φησὶν Νεάν
θης ὁ Κυζικηνὸς εἰς Ὀλύμπια ἀνιόντος, τοὺς Ἕλληνα
ἅπαντας ἐπιστραφῆναι πρὸς αὐτόν. ὅτε καὶ Δίωνι συνέ
μιξε μέλλοντι στρατεύειν ἐπὶ Διονύσιον. ἐν δὲ τῷ πρώ
τῳ τῶν ἀπομνημονευμάτων Φαβωρίνου φέρεται, ὅτι Μ
θριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰ
τὴν Ἀκαδημίαν, καὶ ἐπέγραψε, Μιθριδάτης ὁ Ῥοδοβά
του Πέρσης, μούσαις εἰκόνα ἀνέθηκε Πλάτωνος, ἣν Σι
λανίων ἐποίησε. φησὶ δὲ Ἡρακλείδης ὅτι νέος ὢν οὔ-
τως ἦν αἰδήμων καὶ κόσμιος, ὥστε μηδέποτ' ὀφθῆναι
γελῶν ὑπεράγαν. τοιοῦτος δ' ὤν, ὅμως ἐσκώφθη καὶ
αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος γοῦν ἐν Αὐτοχά-
ρει φησὶν οὕτως,

-- ἓν γάρ ἐστιν οὐδ᾽ ἕν.
Τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησι Πλάτων.

ἀλλὰ καὶ Ἀναξανδρίδης ἐν Θησεῖ·

Ὅτε τὰς μορίας ἔτρωγεν, ὥσπερ Πλάτων.

ἀλλὰ καὶ Τίμων, οὑτωσὶ παραγραμματίζων αὐτόν,

Ὡς ἀνέπλασε Πλάτων, πεπλασμένα θαύματα εἰδώς.

Ἄλεξις Μεροπίδι,

Εἰς καιρὸν ἥκεις. ὡς ἔγωγ᾽ ἀπορουμένη
Ἄνω κάτω τε περιπατοῦσ᾽, ὥσπερ Πλάτων,
Σοφὸν οὐδὲν εὕρηκ᾽, ἀλλὰ κοπιῶ τὰ σκέλη.

Καὶ ἐν Ἀγκυλίωνι,

Λέγεις περὶ ὧν οὐκ οἶσθα, συγγενῶς τρέχων
Πλάτωνι, καὶ γνώσῃ λίτρον καὶ κρόμμυον.

Ἄμφις Ἀμφικράτει,

Τὸ δ᾽ ἀγαθὸν ὅ, τι ποτ᾽ ἐστὶν, οὗ σὺ τυγχάνειν
Μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ᾽ ἐγὼ,
Ὦ δέσποτ᾽, ἢ τὸ Πλάτωνος ἀγαθόν. πρόσεχε δή.

Ἐν δὲ Δεξιδημίδῃ, -- ὦ Πλάτων,
Ὡς οὐδὲν οἶσθα πλὴν σκυθρωπάζειν μόνον,
Ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Κρατῖνος ψευδυποβολιμαίῳ,

Ἄνθρωπος εἶ δηλονότι, καὶ ψυχὴν ἔχεις.
Κατὰ μὲν Πλάτων᾽ οὐκ οἶδα, ὑπονοῶ δ᾽ ἔχειν.

Ἄλεξις Ὀλυμπιοδώρῳ,

Σῶμα μὲν ἐμοῦ τὸ θνητὸν, αὖον ἐγένετο,
Τὸ δ᾽ ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα.
Ταῦτ᾽ οὐ σχολὴ Πλάτωνος;

Καὶ ἐν Παρασίτῳ,

Ἢ μετὰ Πλάτωνος ἀδολεσχεῖν κατὰ μόνας.

χλευάζει δ᾽ αὐτὸν καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι καὶ Κέρκωπι καὶ Πλουσίαις. Ἀρίστιππος δ᾽ ἐν τῷ τετάρτῳ περὶ

παλαιᾶς τρυφῆς, φησὶν αὐτὸν Ἀστέρος μειρακίου τινὸς ἀστρολογεῖν συνασκουμένου ἐρασθῆναι, ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου. ἔνιοι καὶ Φαίδρου φασί. δηλοῦν δὲ τὸ ἔρωτα αὐτοῦ τάδε τὰ ἐπιγράμματα, ἃ καὶ πρὸς αὐτοῦ γενέσθαι εἰς αὐτούς,

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην
Οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

Καὶ ἄλλο.

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος,
Νῦν δὲ θανὼν λάμπεις ἕσπερος ἐν φθιμένοις.

Εἰς δὲ τὸν Δίωνα ὧδε,

Δάκρυα μὲν Ἑκάβῃ τε καὶ Ἰλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δήποτε γινομέναις·
Σοὶ δὲ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων,
Δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
Κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι, τίμιος ἀστοῖς
Ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

τοῦτο καὶ ἐπιγεγράφθαι φησὶν ἐν Συρακούσαις ἐπὶ τῷ τάφῳ. ἀλλὰ μὴν καὶ Ἀλέξιδος (φασὶν) ἐρασθεὶς καὶ Φαίδρου καθὰ προείρηται, τοῦτον ἐποίησε τὸν τρόπον.

Νῦν ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλὸς
Ὦπται, καὶ πάντῃ πᾶς τις ἐπιστρέφεται·
Θυμὲ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσῃς
Ὕστερον· οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

ἔχειν τε Ἀρχαιάνασσαν, εἰς ἣν καὶ αὐτὴν οὕτω ποιῆσαι·

Ἀρχαιάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν,
Ἧς καὶ ἐπὶ ῥυτίδων ἕζετο δριμὺς ἔρως.
Ἆ δειλοί, νεότητος ἀπαντήσαντες ἐκείνης
Πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

Ἀλλὰ καὶ εἰς Ἀγάθωνα.

Τὴν ψυχὴν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν εἶχον.
Ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

Κα

Καὶ ἄλλο.

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
Δεξαμένη, τῆς σῆς παρθενίης μετάδος·
Εἰ δ' ἄρ' ὃ μὴ γίνοιτο νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
Σκέψαι τὴν ὥραν ὡς ὀλιγοχρόνιος.
Μῆλον ἐγώ, βάλλει με φιλῶν σέ τις. ἀλλ' ἐπίνευσον,
Ξανθίππη, κἀγὼ καὶ σὺ μαραινόμεθα.

ασὶ δὲ καὶ τὸ εἰς τοὺς Ἐρετριέας τοὺς σαγηνευθέντας υτοῦ εἶναι·

Εὐβοίης γένος ἦμεν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
Κείμεθα· φεῦ γαίης πόσσον ἀφ' ἡμετέρης.

Κἀκεῖνο.

Ἁ Κύπρις Μούσαισι, Κοράσια τὰν Ἀφροδίταν
Τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
Αἱ Μοῦσαι ποτὶ Κύπριν, Ἄρει τὰ στωμύλα ταῦτα·
Ἡμῖν οὐ πέταται τοῦτο τὸ παιδάριον.

Καὶ ἄλλο.

Χρυσὸν ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
Ὃν λίπεν οὐχ εὑρὼν, ἧψεν ὃν εὗρε βρόχον.

λά τοι Μόλων ἀπεχθῶς ἔχων πρὸς αὐτὸν, Οὐ τοῦτο (φη-) θαυμαστὸν εἰ Διονύσιος ἐν Κορίνθῳ, ἀλλ' εἰ Πλάτων Σικελίᾳ. ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν ἔχειν οὐκ εὐ-νῶς. ὥσπερ γοῦν διαφιλονεικοῦντες, τὰ ὅμοια γεγράφασι, Συμπόσιον, Σωκράτους ἀπολογίαν, τὰ Ἠθικὰ ἀπομνημονεύματα. εἶθ' ὁ μὲν, πολιτείαν· ὁ δὲ, Κύρου παιδείαν. αὶ ἐν τοῖς νόμοις ὁ Πλάτων, πλάσμα φησὶν εἶναι τὴν παι-είαν αὐτοῦ· μὴ γὰρ εἶναι Κῦρον τοιοῦτον. ἀμφότεροί τε Σω-ράτους μνημονεύοντες, ἀλλήλων οὐδαμοῦ, πλὴν Ξενο-ῶν Πλάτωνος ἐν τρίτῳ τῶν ἀπομνημονευμάτων. λέγε-αι δ' ὅτι καὶ Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῶν γε-ραμμένων αὐτῷ, παρεκάλεσεν αὐτὸν παρατυχεῖν. καὶ πυ-όμενος τί μέλλει ἀναγινώσκειν, εἶπεν, ὅτι Περὶ τοῦ μὴ εἶναι

ἀντιλέγειν. τοῦ δ' εἰπόντος, Πῶς οὖν σὺ περὶ αὐτοῦ τοῦτο γράφεις; καὶ διδάσκοντος ὅτι περιτρέπεται, ἔγραψε διάλογον κατὰ Πλάτωνος, Σάθωνα ἐπιγράψας. ἐξ οὗ διετέλουν ἀλλοτρίως ἔχοντες πρὸς ἀλλήλους. φασὶ δὲ καὶ Σωκράτην ἀκούσαντα τὸν Λύσιν ἀναγινώσκοντος Πλάτωνος, Ἡράκλεις (εἰπεῖν) ὡς πολλά μου καταψεύδεθ' ὁ νεανίσκος. οὐκ ὀλίγα γὰρ ὧν οὐκ εἴρηκε Σωκράτης, γέγραφεν ἀνήρ. εἶχε δὲ φιλέχθρως ὁ Πλάτων καὶ πρὸς Ἀρίστιππον. ἐν γοῦν τῷ περὶ ψυχῆς διαβάλλων αὐτὸν φησὶν ὅτι οὐ παρεγένετο Σωκράτει τελευτῶντι, ἀλλ' ἐν Αἰγίνῃ ἦν καὶ σύνεγγυς. καὶ πρὸς Αἰσχίνην δέ τινα φιλοτιμίαν εἶχε. φασὶ δ' ὅτι παρ καὶ αὐτὸς ἐδόκιμει παρὰ Διονυσίῳ. ὃν ἐλθόντα δι' ἀπορίαν, ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι. τούς τε λόγους οὓς Κρίτωνι περιτέθεικεν, ἐν τῷ δεσμωτηρίῳ περὶ τῆς φυγῆς συμβουλεύοντι φησὶν Ἰδομενεὺς εἶναι Αἰσχίνου· τὸν δ' ἐκείνῳ περιθεῖναι διὰ τὴν πρὸς τοῦτον δυσμένειαν. αὐτοῦ δὲ Πλάτων οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων μνήμην πεποίηται· ὅτι μὴ ἐν τῷ περὶ ψυχῆς, καὶ ἀπολογίᾳ. φησὶ δ' Ἀριστοτέλης τὴν τῶν λόγων ἰδέαν αὐτοῦ, μεταξὺ ποιήματος εἶναι καὶ πεζοῦ λόγου. τοῦτον μόνον παραμεῖναι Πλάτωνι Φαβωρῖνός που φησὶν ἀναγινώσκοντι τὸν περὶ ψυχῆς, τοὺς δ' ἄλλους ἀναστῆναι πάντας. ἔνιοί τε φασὶν ὅτι Φίλιππος ὁ Ὀπούντιος τοὺς νόμους αὐτοῦ μετέγραψεν ὄντας ἐν κηρῷ. τοῦτον δὲ καὶ τὴν Ἐπινομίδα φασὶν εἶναι. Εὐφορίων δὲ καὶ Παναίτιος εἰρήκασι, πολλάκις ἐστραμμένην εὑρῆσθαι τὴν ἀρχὴν τῆς πολιτείας· ἣν πολιτείαν Ἀριστόξενός φησι πᾶσαν σχεδὸν ἐν τοῖς Πρωταγόρου γεγράφθαι ἀντιλογικοῖς. λόγος δὲ πρῶτον γράψαι αὐτὸν τὸν Φαῖδρον· καὶ γὰρ ἔχει μειρακιῶδές τι τὸ πρόβλημα. Δικαίαρχος δὲ καὶ τὸν τρόπον τῆς γραφῆς ὅλον ἐπιμέμφεται, ὡς φορτικόν. ὁ γοῦν Πλάτων λέγεται, θεασάμενος

ινα κυβεύοντα, αὐτιάσασθαι. τοῦ δ᾽ εἰπόντος, ὡς ἐπὶ μικροῖς·
ἀλλὰ τό γε ἔθος (εἶπεν) οὐ μικρόν. ἐρωτηθεὶς εἰ ἀπομνημό-
νευμά τι αὐτοῦ ἔσται, ὥσπερ τῶν προτέρων, ἀπεκρίνατο, Ὀνόμα-
τος δεῖ τυχεῖν πρῶτον, εἶτα πολλὰ ἔσται. εἰσελθόντος ποτὲ
Ξενοκράτους, εἶπε μαστιγῶσαι τὸν παῖδα. αὐτὸν γὰρ μὴ
δύνασθαι, διὰ τὸ ὠργίσθαι. ἀλλὰ καὶ πρός τινα τῶν παί-
δων, Μεμαστίγωσο ἄν (εἶπεν) εἰ μὴ ὠργιζόμην. ἐφ᾽ ἵππου
καθίσας, ἀθέως κατέβη, φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυ-
φίᾳ ληφθῇ. τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι·
ἀποστήσεσθαι γὰρ τῆς τοιαύτης ἀσχημοσύνης. πίνειν δ᾽ εἰς μέ-
θην οὐδαμοῦ πρέπον ἔλεγε, πλὴν ἐν ταῖς ἑορταῖς τοῦ καὶ
τὸν οἶνον δόντος θεοῦ. καὶ τὸ πολλὰ δὲ καθεύδειν ἀπήρε-
σκεν αὐτῷ. ἐν γοῦν τοῖς νόμοις φησί, Κοιμώμενος δ᾽ οὐδεὶς
οὐδενὸς ἄξιος. εἶναι δὲ ἥδιστον τῶν ἀκουσμάτων τὴν ἀλήθειαν·
οἱ δὲ, τὸ λέγειν τἀληθῆ. καὶ περὶ ἀληθείας δ᾽ ἐν τοῖς νόμοις
φησὶν οὕτως, Καλὸν μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνιμον·
ἔοικε δ᾽ οὐ ῥᾴδιον πείθειν. ἀλλὰ καὶ ἠξίου μνημόσυνον
αὑτοῦ λείπεσθαι ἢ ἐν φίλοις, ἢ ἐν βίβλοις. διέτριβε δὲ καὶ
αὐτὸς τὰ πλεῖστα, καθά τινές φασι. καὶ ἐτελεύτα μὲν ὃν
τρόπον εἴπομεν, Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκα-
τον, καθὰ καὶ Φαβωρῖνος φησὶν ἀπομνημονευμάτων τρί-
τῳ· ὑφ᾽ οὗ καὶ ἐπιτιμηθῆναί φησιν αὐτὸν Θεόπομπος.
Μυρωνιανὸς δ᾽ ἐν ὁμοίοις φησὶ Φίλωνα παροιμίας μνη-
μονεύειν περὶ τῶν Πλάτωνος φθειρῶν, ὡς οὕτως αὐτοῦ τε-
λευτήσαντος. καὶ ἐτάφη ἐν τῇ Ἀκαδημίᾳ, ἔνθα τὸν πλεῖ-
στον χρόνον διετέλεσε φιλοσοφῶν. ὅθεν καὶ Ἀκαδημαϊ-
κὴ προσηγορεύθη ἡ ἀπ᾽ αὐτοῦ αἵρεσις. καὶ παρεπέμφθη
πανδημεὶ πρὸς τῶν αὐτόθι, διαθέμενος τοῦτον τὸν τρόπον.
Τάδε κατέλιπε Πλάτων καὶ διέθετο· τὸ ἐν Ἡφαιστιά-
δων χωρίον, ᾧ γείτων βορρᾶθεν ἡ ὁδὸς ἡ ἐκ τοῦ Κηφισιά-
σιν ἱεροῦ, νότοθεν τὸ Ἡράκλειον τὸ ἐν Ἡφαιστιάδων· πρὸς ἡ-
λίου δὲ ἀνιόντος Ἀρχέστρατος Φρεάρριος, πρὸς ἡλίου δὲ

δυομένου Φίλιππος Χολιδεύς. καὶ μὴ ἐξέστω τοῦτο μηδενὶ μήτε ἀποδόσθαι, μήτε ἀλλάξασθαι, ἀλλ' ἔστω Ἀδειμάντου τοῦ παιδίου εἰς τὸ δυνατόν. καὶ τὸ ἐν Ἐιρεσιδῶν χωρίον, ὃ παρὰ Καλλιμάχου ἐπριάμην, ᾧ γείτων βορρᾶθεν Εὐρυμέδων Μυῤῥινούσιος· νότοθεν δὲ Δημόστρατος Ξυπετέρων· πρὸς ἡλίου ἀνιόντος Εὐρυμέδων Μυῤῥινούσιος· πρὸς ἡλίου δυομένου Κηφισός. ἀργυρίου μνᾶς τρεῖς· φιάλην ἀργυρᾶν, ἕλκουσαν ρξε. κυμβεῖον ἄγον με. δακτύλιον χρυσοῦν, καὶ ἐνώπιον χρυσοῦν, ἄγοντα συνάμφω δ' δραχμὰς, ὀβολοὺς τρεῖς. Εὐκλείδης ὁ λιθοτόμος ὀφείλει μοι τρεῖς μνᾶς. Ἄρτεμιν ἀφίημι ἐλευθέραν. οἰκέτας καταλείπω, Τύχωνα, Βίκταν, Ἀπολλωνιάδην, Διονύσιον σκεύη τὰ γεγραμμένα, ὧν ἔχει τὰ ἀντίγραφα Δημήτριος. ὀφείλω δ' οὐδενὶ οὐθέν. ἐπίτροποι δὲ, Σωσθένης, Σπεύσιππος, Δημήτριος, Ἡγίας, Εὐρυμέδων, Καλλίμαχος, Θέρσιππος. καὶ διέθετο μὲν οὕτως. ἐπεγράφη δ' αὐτῷ ἐπιγράμματα τάδε.

Πρῶτον.

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ,
  Ἐνθάδε δὴ κεῖται δῖος Ἀριστοκλέης.
Εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
  Τοῦτον ἔχει πλεῖστον, καὶ φθόνος οὐχ ἕπεται.

Ἕτερον δέ.

Γαῖα μὲν ἐν κόλπῳ κρύπτει τόδε σῶμα Πλάτωνος,
  Ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων·
Υἱοῦ Ἀρίστωνος, τόν τις καὶ τηλόθι ναίων
  Τιμᾷ ἀνὴρ ἀγαθὸς θεῖον ἰδόντα βίον.

Καὶ ἄλλο δὲ νεώτερον.

Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος, εἰπὲ,
  Ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
Ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς ὄλυμπον
  Εἰκὼν, σῶμα δὲ τοῦ γηγενὲς Ἀτθὶς ἔχει.

Ἔστι καὶ ἡμέτερον οὕτως ἔχον.

Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
Ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
Καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
Σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

Καὶ ἄλλο, ὡς ἐτελεύτα.

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
Τὸν μὲν, ἵνα ψυχὴν, τὸν δ', ἵνα σῶμα σάοι.
Δαισάμενος δὲ γάμον πόλιν ἤλυθεν ἥν ποτε αὐτῷ
Ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

Καὶ τὰ μὲν ἐπιγράμματα ταῦτα. μαθηταὶ δ' αὐτοῦ, Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης Χαλκηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος ὁ Ὀπούντιος, Ἑστιαῖος Περίνθιος, Δίων Συρακούσιος, Ἄμυκλος Ἡρακλεώτης, Ἔραστος καὶ Κορίσκος Σκήψιοι, Τιμόλαος Κυζικηνὸς, Εὐαίων Λαμψακηνὸς, Πίθων καὶ Ἡρακλείδης Αἴνιοι, Ἱπποθάλης καὶ Κάλιππος Ἀθηναῖοι, Δημήτριος Ἀμφιπολίτης, Ἡρακλείδης Ποντικὸς, καὶ ἄλλοι πλείους, σὺν οἷς καὶ γυναῖκες δύο, Λασθένεια Μαντινικὴ, καὶ Ἀξιοθέα Φλιασία, ἣ καὶ ἀνδρεῖα ἠμπίσχετο, ὥς φησι Δικαίαρχος. ἔνιοι δὲ καὶ Θεόφραστον ἀκοῦσαι φασὶν αὐτοῦ, καὶ Ὑπερίδην τὸν ῥήτορα Χαμαιλέων φησὶ, καὶ Λυκοῦργον. ὁμοίως Πολέμων ἱστορεῖ καὶ Δημοσθένην. Σαβῖνος λέγει καὶ Μνησίστρατον Θάσιον, παρατιθέμενος ἐν δ' μελετητικῆς ὕλης. καὶ εἰκός ἐστι. φιλοπλάτωνι δέ σοι δικαίως ὑπαρχούσῃ, καὶ παρ' ὁντινοῦν τὰ τοῦ φιλοσόφου δόγματα φιλοτίμως ζητούσῃ, ἀναγκαῖον ἡγησάμην ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων, καὶ τὴν τάξιν τῶν διαλόγων, καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς, ὡς οἷόν τε στοιχειωδῶς καὶ ἐπὶ κεφαλαίων, πρὸς τὸ μὴ ἀμοιρεῖν αὐτοῦ τῶν δογμάτων τὴν περὶ τοῦ βίου συναγωγήν. γλαῦκα γὰρ εἰς Ἀθήνας (φασὶν) εἰ δέη σοι τὰ κατ' εἶδος διηγεῖσθαι. διγα-

λόγους τινὲς φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην. Ἀριστοτέλης δ' ἐν πρώτῳ περὶ ποιητῶν Ἀλεξαμενὸν Στυρέα ἢ Τήϊον, ὡς καὶ Φαβωρῖνος ἐν ἀπομνημονεύμασι. δοκεῖ δέ μοι Πλάτων, ἀκριβώσας τὸ εἶδος, καὶ τὰ πρωτεῖα δικαίως ἂν ὥσπερ τοῦ καλοῦ οὕτω καὶ τῆς εὑρέσεως ἀποφέρεσθαι. ἔστι δὲ διάλογος, λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν φιλοσοφουμένων καὶ πολιτικῶν, μετὰ τῆς πρεπούσης ἠθοποιίας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων. τοῦ δὲ λόγου τοῦ Πλατωνικοῦ δύο εἰσὶν ἀνωτάτω χαρακτῆρες, ὅ, τε ὑφηγητικὸς καὶ ὁ ζητητικός. διαιρεῖται δὲ ὁ ὑφηγητικὸς εἰς δύο ἄλλους χαρακτῆρας, θεωρηματικόν τε, καὶ πρακτικόν. καὶ τῶν, ὁ μὲν θεωρηματικὸς εἰς τὸν φυσικὸν καὶ λογικόν· ὁ δὲ πρακτικὸς, εἰς τὸν ἠθικὸν καὶ πολιτικόν. τοῦ δὲ ζητητικοῦ, καὶ αὐτοῦ δύο εἰσὶν οἱ πρῶτοι χαρακτῆρες, ὅ, τε γυμναστικὸς, καὶ ἀγωνιστικός. καὶ τοῦ μὲν γυμναστικοῦ, μαιευτικός τε καὶ πειραστικός· τοῦ δὲ ἀγωνιστικοῦ, ἐνδεικτικὸς καὶ ἀνατρεπτικός. οὐ λανθάνει δὲ ἡμᾶς ὅτι τινὲς ἄλλως διαφέρειν τοὺς διαλόγους φασί. λέγουσι γὰρ αὐτῶν τοὺς μὲν, δραματικοὺς, τοὺς δὲ διηγηματικοὺς, τοὺς δὲ, μικτούς. ἀλλ' ἐκεῖνοι μὲν τραγικῶς μᾶλλον ἢ φιλοσόφως, τὴν διαφορὰν τῶν διαλόγων προσωνόμασαν. εἰσὶ δὲ τοῦ μὲν φυσικοῦ, οἷον ὁ Τίμαιος· τοῦ δὲ λογικοῦ, ὅ, τε Πολιτικὸς καὶ ὁ Κρατύλος, καὶ Παρμενίδης, καὶ Σοφιστής· τοῦ δὲ ἠθικοῦ, ἥ τε Ἀπολογία, καὶ ὁ Κρίτων, καὶ Φαίδων, καὶ Φαῖδρος, καὶ τὸ Συμπόσιον, Μενέξενός τε, καὶ Κλειτοφῶν, καὶ Ἐπιστολαὶ, καὶ Φίληβος, Ἵππαρχος, Ἀντερασταί· τοῦ δὲ Πολιτικοῦ, ἥ τε Πολιτεία, καὶ οἱ Νόμοι, καὶ Μίνως, καὶ Ἐπινομὶς, καὶ ὁ Ἀτλαντικός· τοῦ δὲ μαιευτικοῦ Ἀλκιβιάδαι, Θεάγης, Λύσις, Λάχης· τοῦ δὲ πειραστικοῦ

Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης, Θεαίτητος· τοῦ δὲ ἐνδεικτικοῦ, ὡς ὁ Πρωταγόρας· καὶ τοῦ ἀνατρεπτικοῦ Εὐθύδημος, Ἱππίαι δύο, Γοργίας. καὶ περὶ μὲν διαλόγου, τί ποτέ ἐστι καὶ τίνες αὐτοῦ διαφοραί, ἀπόχρη λέγειν. ἐπεὶ δὲ πολλὴ στάσις ἐστὶ, καὶ οἱ μὲν φασὶν αὐτὸν δογματίζειν, οἱ δ' οὔ, φέρε καὶ περὶ τούτων διαλάβωμεν. αὐτὸ τοίνυν τὸ δογματίζειν, ἐστὶ δόγματα τιθέναι, ὡς τὸ νομοθετεῖν, νόμους τιθέναι. δόγμα δὲ ἑκατέρως καλεῖται, τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον, πρότασίς ἐστιν· ἡ δὲ δόξα, ὑπόληψις. ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεττάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου. εἰσὶ δ' οἱ ξένοι οὐχ, ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης· ἀλλὰ πλάσματά εἰσιν ἀνώνυμα· ἐπεὶ καὶ τὰ Σωκράτους καὶ τὰ Τιμαίου λέγων Πλάτων δογματίζει. περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει, οἷον Θρασύμαχον, καὶ Καλλικλέα, καὶ Πῶλον, Γοργίαν τε, καὶ Πρωταγόραν· ἔτι δ' Ἱππίαν καὶ Εὐθύδημον, καὶ δὴ καὶ τοὺς ὁμοίους. ποιούμενος δὲ τὰς ἀποδείξεις πλείστῳ χρῆται τῷ τῆς ἐπαγωγῆς τρόπῳ, οὐ μὴν μονοτρόπως, ἀλλὰ διχῆ. ἔστι μὲν γὰρ ἐπαγωγὴ, λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον ἑαυτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ τρόποι, ὅ, τε κατ' ἐναντίωσιν, καὶ ὁ ἐκ τῆς ἀκολουθίας. ὁ μὲν κατ' ἐναντίωσιν, ἐστὶν ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολουθήσει τὸ ἐναντίον. οἷον, Ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ ἤτοι ἕτερός ἐστιν, ἢ ὁ αὐτός. εἰ μὲν οὖν ἕτερός ἐστι τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατὴρ, πατρὸς ἕτερος ὢν, οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ αὐτός ἐστι τῷ ἐμῷ πατρὶ, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ, ὁ ἐμὸς ἂν εἴη πατήρ. καὶ πάλιν, Εἰ μή ἐστι ζῷον ὁ ἄνθρωπος, λίθος ἂν εἴη, ἢ ξύλον. οὐκ ἔστι δὲ λίθος ἢ ξύλον (ἔμψυχον γάρ ἐστι, καὶ ἐξ αὑτοῦ κινεῖται) ζῷον ἄρα ἐστίν. εἰ δὲ ζῷόν ἐστι, ζῷον

ἢ καὶ κύων καὶ ὁ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος ζῷον καὶ κύων καὶ βοῦς. καὶ οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν καὶ μάχην τρόπος, ᾧ ἐχρῆτο, οὐ πρὸς τὸ δογματίζειν, ἀλλὰ πρὸς τὸ διελέγχειν. ὁ δὲ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς, ὁ μὲν, τὸ ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικνύς· ὁ δὲ πιστούμενος τοῦ καθόλου διὰ τοῦ ἐπὶ μέρους· καὶ ἔστιν ὁ μὲν πρότερος, ῥητορικός· ὁ δὲ δεύτερος, διαλεκτικός. οἷον ἐν τῷ προτέρῳ ζητεῖται εἰ ὅδε ἀπέκτεινεν· ἀπόδειξις, τὸ εὑρῆσθαι αὐτὸν κατ' ἐκεῖνον τὸν χρόνον ἡμαγμένον. ῥητορικὸς δ' ἐστὶν ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος· ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους οὐ τὰ καθόλου τὴν πραγματείαν ἔχει. ζητεῖ γὰρ οὐ περὶ αὐτοῦ τοῦ δικαίου, ἀλλὰ τῶν ἐπὶ μέρους δικαίων. ὁ δ' ἕτερος ἐστὶ διαλεκτικὸς, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρους. οἷον ζητεῖται εἰ ἡ ψυχὴ ἀθάνατος, καὶ εἰ ἐκ τῶν τεθνεώτων οἱ ζῶντες· ὅπερ ἀποδείκνυται ἐν τῷ περὶ ψυχῆς διά τινος καθολικοῦ, ὅτι ἐκ τῶν ἐναντίων τὰ ἐναντία. καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται, ἐκ τινῶν ὄντων ἐπὶ μέρους· οἷον ὅτι τὸ καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι, καὶ ἀνάπαλιν· καὶ τὸ μεῖζον ἐκ τοῦ μικροτέρου, καὶ ἀνάπαλιν. τούτῳ δὲ ἐχρῆτο εἰς τὴν τῶν ἑαυτῷ δοκούντων κατασκευήν. ὥσπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ, πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν, καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, καὶ συνεπλήρωσαν τὴν τραγῳδίαν· οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος, πρότερον μὲν ἦν μονοειδὴς, ὡς ὁ φυσικὸς, δεύτερον δὲ Σωκράτης προσέθηκε τὸν ἠθικὸν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν, καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν. Θράσυλος δέ φησι καὶ κατὰ τὴν τραγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς διαλόγους. οἷον ἐκεῖνοι τέτρασι δράμασιν ἠγωνίζοντο, Διονυσίοις, Ληναίοις, Παναθηναίοις, Χύτροις, ὧν τὸ τέταρτον ἦν Σατυρικόν. τὰ δὲ τέ-

παρα δράματα ἐκαλεῖτο Τετραλογία. εἰσὶ τοίνυν (φησὶν) οἱ πάντες αὐτῷ γνήσιοι διάλογοι, ἓξ καὶ πεντήκοντα· τῆς μὲν πολιτείας εἰς δέκα διαιρουμένης (ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόρᾳ ἐν τοῖς ἀντιλογικοῖς, φησὶ Φαβωρῖνος ἐν παντοδαπῆς ἱστορίας δευτέρῳ) τῶν δὲ νόμων, εἰς δυοκαίδεκα. τετραλογίας δὲ, ἐννέα, ἑνὸς βιβλίου χώραν ἐπεχούσης τῆς πολιτείας, καὶ ἑνὸς τῶν νόμων. πρώτην μὲν οὖν τετραλογίαν τίθησι, τὴν κοινὴν ὑπόθεσιν ἔχουσαν. παραδεῖξαι γὰρ βούλεται ὁποῖος ἂν εἴη ὁ τοῦ φιλοσόφου βίος. διπλαῖς δὲ χρῆται ταῖς ἐπιγραφαῖς ἑκάστου τῶν βιβλίων· τῇ μὲν, ἀπὸ τοῦ ὀνόματος· τῇ δὲ, ἀπὸ τοῦ πράγματος. ταύτης τῆς τετραλογίας, ἥτις ἐστὶ πρώτη, ἡγεῖται Εὐθύφρων, ἢ Περὶ ὁσίου. ὁ διάλογος δ᾽ ἐστὶ πειραστικός· δεύτερος, ἀπολογία Σωκράτους, ἠθικός· τρίτος, Κρίτων, ἢ Περὶ πρακτέου, ἠθικός· τέταρτος, Φαίδων, ἢ Περὶ ψυχῆς, ἠθικός. δευτέρα τετραλογία, ἧς ἡγεῖται Κρατύλος, ἢ Περὶ ὀρθότητος ὀνομάτων, λογικός· Θεαίτητος, ἢ Περὶ ἐπιστήμης, πειραστικός· Σοφιστὴς, ἢ Περὶ τοῦ ὄντος, λογικός· Πολιτικὸς, ἢ Περὶ βασιλείας, λογικός. τῆς τρίτης ἡγεῖται Παρμενίδης, ἢ Περὶ ἰδεῶν, λογικός· Φίληβος, ἢ Περὶ ἡδονῆς, ἠθικός· συμπόσιον, ἢ Περὶ ἀγαθοῦ, ἠθικός· Φαῖδρος, ἢ Περὶ ἔρωτος, ἠθικός. τῆς τετάρτης ἡγεῖται Ἀλκιβιάδης, ἢ Περὶ ἀνθρώπου φύσεως, μαιευτικός· Ἀλκιβιάδης δεύτερος, ἢ Περὶ προσευχῆς, μαιευτικός· Ἵππαρχος, ἢ Φιλοκερδὴς, ἠθικός· Ἀντερασταὶ, ἢ Περὶ φιλοσοφίας, ἠθικός. τῆς πέμπτης ἡγεῖται Θεάγης, ἢ Περὶ φιλοσοφίας, μαιευτικός· Χαρμίδης, ἢ περὶ σωφροσύνης, πειραστικός· Λάχης, ἢ περὶ ἀνδρείας, μαιευτικός· Λύσις, ἢ Περὶ φιλίας, μαιευτικός. τῆς ἕκτης ἡγεῖται Εὐθύδημος, ἢ Ἐριστικὸς, ἀνατρεπτικός· Πρωταγόρας, ἢ Σοφισταὶ, ἐνδεικτικός· Γοργίας, ἢ Περὶ ῥητορικῆς, ἀνατρεπτικός· Μένων, ἢ Περὶ ἀρετῆς, πειραστικός. τῆς ἑβδόμης

ἡγοῦνται Ἱππίαι δύο· πρότερος, ἢ Περὶ τοῦ καλοῦ· δεύτερος ἢ Περὶ τοῦ ψεύδους, ἀνατρεπτικοί· Ἴων ἢ Περὶ Ἰλιάδος, πειραστικός· Μενέξενος, ἢ Ἐπιτάφιος, ἠθικός. τῆς ὀγδόης ἡγεῖται Κλειτοφῶν, ἢ Προτρεπτικός, ἠθικός· Πολιτεία, ἢ Περὶ δικαίου, πολιτικός· Τίμαιος, ἢ Περὶ φύσεως, φυσικός· Κριτίας, ἢ Ἀτλαντικός, ἠθικός. τῆς ἐνάτης ἡγεῖται Μίνως, ἢ Περὶ νόμου, πολιτικός· Νόμοι, ἢ Περὶ νομοθεσίας, πολιτικός· Ἐπινομίς, ἢ Νυκτερινὸς σύλλογος, ἢ Φιλόσοφος, πολιτικός· Ἐπιστολαὶ τρεισκαίδεκα, ἠθικαί (ἐν αἷς ἔγραφεν, Εὖ πράττειν, Ἐπίκουρος δὲ Εὖ διάγειν, Κλέων Χαίρειν) πρὸς Ἀριστόδημον, μία· πρὸς Ἀρχύταν, δύο· πρὸς Διονύσιον, τέτταρες· πρὸς Ἑρμείαν καὶ Ἔραστον, καὶ Κορίσκον, μία· πρὸς Λεωδάμαντα, μία· πρὸς Δίωνα, μία· πρὸς Περδίκκαν, μία· πρὸς τοὺς Δίωνος οἰκείους, δύο. καὶ οὗτος μὲν οὕτω διαιρεῖ, καί τινες. ἔνιοι δέ, (ὧν ἐστι καὶ Ἀριστοφάνης ὁ γραμματικός) εἰς τριλογίας ἕλκουσι τοὺς διαλόγους· καὶ πρώτην μὲν τιθέασιν, ἧς ἡγεῖται Πολιτεία, Τίμαιος, Κριτίας· δευτέραν, Σοφιστής, Πολιτικός, Κρατύλος· τρίτην, Νόμοι, Μίνως, Ἐπινομίς· τετάρτην, Θεαίτητος, Εὐθύφρων, Ἀπολογία· πέμπτην, Κρίτων, Φαίδων, Ἐπιστολαί. τὰ δ' ἄλλα καθ' ἓν καὶ ἀτάκτως. ἄρχονται δέ, οἱ μέν (ὡς προείρηται) ἀπὸ τῆς πολιτείας· οἱ δ', ἀπὸ Ἀλκιβιάδου τοῦ μείζονος· οἱ δ', ἀπὸ Θεάγους· ἔνιοι δέ, Εὐθύφρονος· ἄλλοι, Κλειτοφῶντος· τινές, Τιμαίου. οἱ δ', ἀπὸ Φαίδρου· ἕτεροι, Θεαιτήτου. πολλοὶ δὲ ἀπολογίαν τὴν ἀρχὴν ποιοῦνται. νοθεύονται δὲ τῶν διαλόγων ὁμολογουμένως Μίδων ἢ Ἱπποστρόφος, Ἐρυξίας ἢ Ἐρασίστρατος, Ἀλκυών, Ἀκέφαλος ἢ Σίσυφος, Ἀξίοχος, Φαίακες, Δημόδοκος, Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης. ὧν ἡ Ἀλκυών, Λέοντός τινος εἶναι δοκεῖ, καθά φησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν ἀπομνημονευμάτων. ὀνόμασι δὲ κέχρηται ποικίλοις, πρὸς τὸ μὴ εὐσύνοπτον εἶναι τοῖς ἀμαθέσι τὴν πραγματείαν. ἰδίαι-

κατὰ μὲν σοφίαν ἡγεῖται εἶναι τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην, ἥν φησι περὶ θεὸν καὶ ψυχὴν σώματος κεχωρισμένην. ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας σοφίας. κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ πᾶσα ἐμπειρία. οἷον ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν. χρῆται δὲ καὶ ἐπὶ διαφερόντως σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν. ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρὰ Εὐριπίδῃ ἐν Λυκιμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσί, Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν, πᾶσαν ἐν ἔργῳ περιταμνόμενον σοφίαν, λέσχης ἀτρίβωνα. χρῆται δὲ ὁ Πλάτων ἐνίοτε αὐτῷ καὶ ἐπὶ τοῦ καλοῦ· ἔστι δ' ὅτε καὶ ἐπὶ τοῦ μικροῦ. πολλάκις δὲ καὶ διαφέρουσιν ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου χρῆται. τὴν γ' οὖν ἰδέαν, καὶ εἶδος ὀνομάζει καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχήν, καὶ αἴτιον. χρῆται δὲ καὶ ταῖς ἐναντίαις φωναῖς ἐπὶ τοῦ αὐτοῦ. τὸ γοῦν αἰσθητόν, καὶ ὂν καλεῖ καὶ μὴ ὄν· ὂν μέν, διὰ τὸ γένεσιν αὐτοῦ εἶναι· μὴ ὂν δέ, διὰ τὴν συνεχῆ μεταβολήν. καὶ τὴν ἰδέαν, οὔτε κινούμενον, οὔτε μένον· καὶ ταὐτό, καὶ ἕν, καὶ πολλά. τὸ δ' αὐτὸ καὶ ἐπὶ πλειόνων εἴθισται ποιεῖν. ἔστι δὲ ἡ ἐξήγησις τῶν λόγων αὐτοῦ τριπλῆ. πρῶτον μὲν γὰρ ἐκδιδάξαι χρὴ ὅ, τι ἐστὶν ἕκαστον τῶν λεγομένων· ἔπειτα, τίνος ἕνεκα λέλεκται, πότερα κατὰ τὸ προηγούμενον, ἢ ἐν εἰκόνος μέρει, καὶ εἰς δογμάτων κατασκευὴν ἢ εἰς ἔλεγχον τοῦ προσδιαλεγομένου· τὸ δὲ τρίτον, εἰ ὀρθῶς λέλεκται. ἐπεὶ δὲ καὶ σημεῖά τινα τοῖς βιβλίοις αὐτοῦ παρατίθενται, φέρε καὶ περὶ τούτων τι εἴπωμεν. χ λαμβάνεται πρὸς τὰς λέξεις καὶ τὰ σχήματα, καὶ ὅλως τὴν Πλατωνικὴν συνήθειαν· διπλῆ, πρὸς τὰ δόγματα, καὶ τὰ ἀρέσκοντα Πλάτωνι· χ περιεστιγμένον, πρὸς τὰς ἐκλογὰς καλλιγραφίας· διπλῆ περιεστιγμένη, πρὸς τὰς ἐνίων διορθώσεις· ὀβελὸς περιεστιγμένος, πρὸς τὰς εἰκαίους ἀθετήσεις· ἀντίσιγμα περιεστιγμένον, πρὸς τὰς διττὰς χρήσεις καὶ μεταθέσεις τῶν γραφῶν· κεραύνιον,

πρὸς τὴν ἀρχὴν τῆς φιλοσοφίας· ἀστερίσκος, πρὸς τὴν συμφωνίαν τῶν δογμάτων· ὀβελὸς, πρὸς τὴν ἀθέτησιν. τὰ μὲν σημεῖα, ταῦτα, καὶ τὰ βιβλία τοσαῦτα· ἅπερ (Ἀντίγονος φησὶν ὁ Καρύστιος ἐν τῷ περὶ Ζήνωνος) νεωστὶ ἐκδοθέντα εἴ τις ἤθελε διαγνῶναι, μισθὸν ἐτέλει τοῖς κεκτημένοις. τὰ δὲ ἀρέσκοντα αὐτῷ ταῦτα ἦν. Ἀθάνατον ἔλεγε τὴν ψυχὴν, καὶ πολλὰ μεταμφιεννυμένην σώματα, ἀρχήν τε ἔχειν ἀριθμητικήν· τὸ δὲ σῶμα, γεωμετρικήν. ὡρίζετο δὲ αὐτὴν ἰδέαν τοῦ πάντῃ διεστῶτος πνεύματος. αὐτοκίνητον δὲ εἶναι καὶ τριμερῆ. τὸ μὲν γὰρ αὐτῆς λογικὸν μέρος, περὶ τῇ κεφαλῇ καθιδρῦσθαι· τὸ δὲ θυμοειδὲς, περὶ τῇ καρδίᾳ· τὸ δὲ ἐπιθυμητικὸν, περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ συνίστασθαι. περιέχειν δὲ ἐκ τοῦ μέσου διὰ παντὸς κύκλῳ τὸ σῶμα, καὶ συνεστάναι ἐκ τῶν στοιχείων. διαιρεθεῖσάν τε κατὰ ἁρμονικὰ διαστήματα, δύο κύκλους ποιεῖν συνημμένους, ὧν τὸν ἐντὸς κύκλον, ἑξαχῇ τμηθέντα, τοὺς ἅπαντας ἑπτὰ κύκλους ποιεῖν. καὶ τοῦτον μὲν κατὰ διάμετρον κεῖσθαι ἐπ' ἀριστερὰ ἔσωθεν· τὸν δὲ, κατὰ πλευρὰν ἐπὶ τὰ δεξιά. διὸ καὶ κρατεῖν αὐτὸν ἕνα ὄντα. τὸν γὰρ ἕτερον ἔσωθεν διῃρῆσθαι. καὶ τὸν μὲν, εἶναι ταὐτοῦ· τοὺς δὲ, θατέρου. λέγων τὸν μὲν, τῆς ψυχῆς κίνησιν εἶναι· τὴν δὲ, τοῦ ὅλου καὶ τὰς τῶν πλανωμένων φοράς. οὕτω δὲ ἐχούσης τῆς ἐκ μέσου τομῆς αὐτῇ προσαρμοζομένης πρὸς τὰ ἔσχατα, γινώσκειν τά τε ὄντα καὶ ἐναρμόζειν διὰ τὸ ἔχειν ἐν αὐτῇ τὰ στοιχεῖα κατὰ ἁρμονίαν. καὶ γίνεσθαι δόξαν μὲν, κατὰ τὸν θατέρου κύκλον ὀρθουμένου· ἐπιστήμην δὲ, κατὰ τὸν ταὐτοῦ. δύο δὲ τῶν πάντων ἀπέφηνεν ἀρχὰς, θεὸν καὶ ὕλην, ὃν καὶ νοῦν προσαγορεύει καὶ αἴτιον. εἶναι δὲ τὴν ὕλην ἀσχημάτιστον καὶ ἄπειρον, ἐξ ἧς γίνεσθαι τὰ συγκρίματα. ἀτάκτως δέ ποτε αὐτὴν κινουμένην ὑπὸ τοῦ θεοῦ φησὶν εἰς ἕνα συναχθῆναι τόπον, τάξιν ἀταξίας κρείττονα ἡγησαμένου. τραπέσθαι δὲ τὴν οὐσίαν ταύτην εἰς τέτταρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν· ἐξ ὧν

αὐτόν τε τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ γεννᾶσθαι. μόνην δὲ τὴν γῆν ἀμετάβολον εἶναι φησί· νομίζων αἰτίαν τὴν τῶν σχημάτων διαφορὰν ἐξ ὧν σύγκειται. τῶν μὲν γὰρ ἄλλων ὁμογενῆ φησὶν εἶναι τὰ σχήματα. ἅπαντα γὰρ ἐξ ἑνὸς συγκεῖσθαι τοῦ προμήκους τριγώνου, τῆς δὲ γῆς ἴδιον εἶναι τὸ σχῆμα. πυρὸς μὲν γὰρ εἶναι στοιχεῖον πυραμίδα, ἀέρος τὸ ὀκτάεδρον, ὕδατος τὸ εἰκοσάεδρον, γῆς δὲ κύβον. ὅθεν μήτε γῆν εἰς ταῦτα μεταβάλλειν, μήτε ταῦτα εἰς γῆν. οὐ διακεκρίσθαι δ' εἰς τοὺς οἰκείους τόπους ἕκαστον, ὅτι ἡ περιφορὰ σφίγγουσα καὶ πρὸς τὸ μέσον συνάγουσα συγκρίνει τὰ μικρά, τὰ δὲ, διακρίνει τὰ μεγάλα. διόπερ τὰ εἴδη μεταβάλλοντα, καὶ τοὺς τόπους μεταβάλλειν. κόσμον τε εἶναι ἕνα γεννητόν, ἐπειδὴ καὶ αἰσθητός ἐστιν ὑπὸ θεοῦ κατεσκευασμένος. ἔμψυχόν τε εἶναι, διὰ τὸ κρεῖττον εἶναι τοῦ ἀψύχου τὸ ἔμψυχον. τοῦτό τε δημιούργημα ὑποκεῖσθαι τοῦ βελτίστου αἰτίου. ἕνα τε αὐτὸν καὶ οὐκ ἄπειρον κατεσκευάσθαι, ὅτι καὶ τὸ ὑπόδειγμα ἓν ἦν, ἀφ' οὗ αὐτὸν ἐδημιούργησε. σφαιροειδῆ δὲ, διὰ τὸ καὶ τὸν γεννήσαντα τοιοῦτον ἔχειν σχῆμα. ἐκεῖνον μὲν γὰρ περιέχειν τὰ ἄλλα ζῷα· τοῦτον δὲ, τὰ σχήματα πάντων. λεῖον δὲ, καὶ οὐδὲν ὄργανον ἔχοντα κύκλῳ, διὰ τὸ μηδεμίαν εἶναι χρῆσιν αὐτῶν. ἀλλὰ μὴν καὶ ἄφθαρτον διαμένειν τὸν κόσμον, διὰ τὸ μὴ διαλύεσθαι εἰς τὸν θεόν. καὶ τῆς μὲν ὅλης γενέσεως αἴτιον εἶναι τὸν θεόν, ὅτι πέφυκεν ἀγαθοποιὸν εἶναι τὸ ἀγαθόν. τὸ δὲ οὐρανοῦ τῆς γενέσεως τὸ ἄριστον αἴτιον. τοῦ γὰρ καλλίστου τῶν γεννητῶν, τὸ ἄριστον εἶναι τῶν νοητῶν αἴτιον. ὥστε ἐπεὶ τοιοῦτος ὁ θεός, ὅμοιος δὲ τῷ ἀρίστῳ ὁ οὐρανός, κάλλιστός γε ὤν, οὐθενὶ ἂν ὅμοιος εἴη τῶν γεννητῶν, ἀλλ' ἢ τῷ θεῷ. συνεστάναι δὲ τὸν κόσμον ἐκ πυρός, ὕδατος, ἀέρος, γῆς. ἐκ πυρὸς μὲν, ὅπως ὁρατὸς ᾖ· ἐκ γῆς δὲ, ὅπως στερεός· ἐξ ὕδατος δὲ καὶ ἀέρος, ὅπως ἀνάλογος· αἱ γὰρ τῶν στερεῶν δυνάμεις δύο μεσότησιν ἀναλογοῦσιν, ὡς ἓν γενέσθαι τὸ πᾶν. ἐξ ἁπάντων δὲ, ἵνα τέλειος καὶ ἄφθαρτος ᾖ. χρόνον τε γενέσθαι εἰκόνα τοῦ ἀϊδίου. κἀκεῖνον μὲν ἀεὶ μένειν,

τὴν δὲ τοῦ οὐρανοῦ φορὰν, χρόνον εἶναι. καὶ γὰρ νύκτα καὶ ἡμέραν, καὶ μῆνα, καὶ τὰ τοιαῦτα πάντα, χρόνου μέρη εἶναι. διόπερ, ἄνευ τῆς τοῦ κόσμου φύσεως, οὐκ εἶναι χρόνον· ἅμα γὰρ ὑπάρχειν αὐτῷ καὶ χρόνον εἶναι. πρὸς δὲ χρόνου γένεσιν ἥλιον καὶ σελήνην καὶ τὰ πλανώμενα γενέσθαι. ὅπως δὲ διάδηλος ᾖ τῶν ὡρῶν ὁ ἀριθμὸς, καὶ μετάσχῃ τὰ ζῶα ἀριθμοῦ, τὸ τοῦ ἡλίου φῶς ἀνάψαι τὸν θεόν. εἶναι δὲ ὑπὲρ μὲν τὸν τῆς γῆς κύκλον σελήνην, ἐν δὲ τῷ ἐχομένῳ ἥλιον, ἐν δὲ τοῖς ἐπάνω τοὺς πλανήτας. ἔμψυχον δὲ πάντως, διὰ τὸ ἐμψύχῳ φορᾷ δεδέσθαι. ἵνα δὲ ὁ κόσμος τελειωθῇ γενόμενος ὁμοίως τῷ νοητῷ ζώῳ, τὴν τῶν ἄλλων ζώων γενέσθαι φύσιν. ἐπεὶ οὖν ἐκεῖνος εἶχε, καὶ τὸν οὐρανὸν δεῖν ἔχειν. θεοὺς μὲν οὖν ἔχειν τὸ πολὺ πυρίνους· εἶναι δὲ τρία γένη τἄλλα, πτηνὸν, ἔνυδρον, πεζόν. γῆν δὲ πρεσβυτάτην μὲν εἶναι τῶν ἐν τῷ οὐρανῷ θεῶν. γενέσθαι δὲ δημιούργημα, ὡς νύκτα καὶ ἡμέραν ποιεῖν. οὖσαν δ' ἐπὶ τοῦ μέσου, κινεῖσθαι περὶ τὸ μέσον. ἐπεὶ δ' αἰτίαι εἰσὶ δύο, τὰ μὲν διὰ νοῦ εἶναι, τὰ δ' ἐξ ἀναγκαίας αἰτίας (φησὶ) λεκτέον. ταῦτα δ' ἐστὶν, ἀὴρ, πῦρ, γῆ, ὕδωρ. καὶ οὐκ ὄντα μὲν στοιχεῖα κατ' ἀκρίβειαν, ἀλλὰ δεκτικά. ταῦτα δ' ἐκ τῶν τριγώνων εἶναι συντιθεμένων, καὶ διαλύεσθαι εἰς ταῦτα. στοιχεῖα δ' αὐτῶν εἶναι τό, τε προμῆκες τρίγωνον καὶ τὸ ἰσοσκελές. ἀρχὰς μὲν οὖν εἶναι καὶ αἴτια τὰ λεχθέντα δύο, ὧν παράδειγμα τὸν θεὸν καὶ τὴν ὕλην. ὅπερ ἀνάγκη ἄμορφον εἶναι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων δεκτικῶν. αἴτιον δὲ τούτων ἐξ ἀνάγκης εἶναι. δεχόμενον γάρ πως τὰς ἰδέας γεννᾶν τὰς οὐσίας, καὶ δι' ἀνομοιότητα δυνάμεως κινεῖσθαι, καὶ κινούμενον τὰ κινούμενα ἐξ αὐτῆς ἀντικινεῖν. ταῦτα δὲ πρὶν μὲν, ἀλόγως κινεῖσθαι καὶ ἀτάκτως· ἐπεὶ δὲ ἤρξαντο συνιστάναι τὸν κόσμον, ἐκ τῶν ἐνδεχομένων ὑπὸ τοῦ θεοῦ συμμέτρως καὶ τεταγμένας γε-

νέσθαι. τὰς μὲν γὰρ αἰτίας καὶ περὶ τῆς οὐρανοποιίας δύο εἶναι, καὶ τρίτην γένεσιν, ἀλλ' οὐ σαφεῖς, ἔχειν δὲ μόνον, καὶ ἀτάκτως· ἐπειδὴ δὲ ὁ κόσμος ἐγένετο, λαβεῖν καὶ ταύτας τάξιν. ἐξ ἁπάντων δὲ τῶν ὑπαρχόντων σωμάτων γενέσθαι τὸν οὐρανόν. δοκεῖ δὴ αὐτῷ τὸν θεόν, ὡς καὶ τὴν ψυχήν, ἀσώματον εἶναι. οὕτω γὰρ μάλιστα φθορᾶς καὶ πάθους ἀνεπίδεκτον ὑπάρχειν. τὰς δὲ ἰδέας ὑφίσταται καθὰ καὶ προείρηται αἰτίας τινὰς καὶ ἀρχὰς τοῦ τοιαῦτ' εἶναι τὰ φύσει συνεστῶτα, οἷάπερ ἐστὶν αὐτά.

Περὶ δὲ ἀγαθῶν ἢ κακῶν τοιαῦτα ἔλεγε. τέλος μὲν εἶναι τὴν ἐξομοίωσιν τῷ θεῷ· τὴν δὴ ἀρετὴν, αὐτάρκη μὲν εἶναι πρὸς εὐδαιμονίαν, ὀργάνων δὲ προσδεῖσθαι τῶν περὶ σῶμα πλεονεκτημάτων, ἰσχύος, ὑγιείας, εὐαισθησίας, τῶν ὁμοίων· καὶ τῶν ἐκτός, οἷον πλούτου καὶ εὐγενείας καὶ δόξης. οὐδὲν δὲ ἧττον εὐδαίμονα ἔσεσθαι τὸν σοφόν, κἂν ταῦτα μὴ παρῇ. πολιτεύσεσθαι αὖ, καὶ γαμήσειν, καὶ τοὺς κειμένους νόμους οὐ παραβήσεσθαι. ἐκ δὲ τῶν ἐνδεχομένων καὶ νομοθετήσειν τῇ ἑαυτοῦ πατρίδι, ἐὰν μὴ τέλεον ἀπαραίτητα ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλλούσῃ διαφορᾷ δήμου. οἴεται δὲ καὶ θεοὺς ἐφορᾶν τὰ ἀνθρώπινα καὶ δαίμονας εἶναι. ἔννοιάν τε καλοῦ πρῶτος ἀπεφήνατο τὴν ἐχομένην τοῦ ἐπαινετοῦ καὶ λογικοῦ καὶ χρησίμου καὶ πρέποντος καὶ ἁρμόττοντος· ἅπερ πάντα ἔχεσθαι τοῦ ἀκολούθου τῇ φύσει καὶ ὁμολογουμένου. διελέχθη δὲ καὶ περὶ ὀνομάτων ὀρθότητος· ὥστε καὶ τὴν ἐπιστήμην τοῦ ὀρθῶς ἀποκρίνεσθαι καὶ ἐρωτᾶν, πρῶτον αὐτὸν διασυστῆσαι κατακόρως χρησάμενον. ἐν δὲ τοῖς διαλόγοις καὶ τὴν δικαιοσύνην θεοῦ νόμον ὑπελάμβανεν, ὡς ἰσχυροτέραν προτρέψαι τὰ δίκαια πράττειν, ἵνα μὴ καὶ μετὰ θάνατον δίκας ὑπόσχοιεν οἱ κακοῦργοι. ὅθεν καὶ μυθικώτερος ἐνίοις ὑπελήφθη, τοῖς συγγράμμασιν ἐγκαταμίξας τὰς τοιαύτας διηγήσεις, ὅπως διὰ τοῦ ἀδήλου τρόπου τοῦ ἔχειν τὰ

μετὰ τὸν θάνατον, οὕτως ἀπέχονται τῶν ἀδικημάτων. καὶ ταῦτα μὲν ἦν αὐτῷ τὰ ἀρέσκοντα. διῄρει δὲ (φησὶν ὁ Ἀριστοτέλης) καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον. τῶν ἀγαθῶν ἐστι τὰ μὲν, ἐν ψυχῇ· τὰ δὲ, ἐν σώματι· τὰ δὲ, ἐκτός. οἷον, ἡ μὲν δικαιοσύνη, καὶ ἡ φρόνησις, καὶ ἡ ἀνδρεία, καὶ ἡ σωφροσύνη, καὶ τὰ τοιαῦτα, ἐν ψυχῇ· τὸ δὲ κάλλος, καὶ ἡ εὐεξία, καὶ ἡ ὑγεία, καὶ ἡ ἰσχὺς, ἐν σώματι· οἱ δὲ φίλοι, καὶ ἡ τῆς πατρίδος εὐδαιμονία, καὶ ὁ πλοῦτος, ἐν τοῖς ἐκτός. τῶν ἀγαθῶν ἄρα τρία εἴδη ἐστί· τὰ μὲν, ἐν ψυχῇ· τὰ δὲ, ἐν σώματι· τὰ δὲ, ἐκτός. τῆς φιλίας τρία εἴδη· ἡ μὲν γὰρ αὐτῆς, ἐστὶ φυσική· ἡ δὲ, ἑταιρική· ἡ δὲ, ξενική. φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι, καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτην δὲ κεκλήρωται καὶ τἆλλα ζῶα. ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην, καὶ μηδὲν προσήκουσαν γένει· ἀλλ' οἷον ἡ Πυλάδου πρὸς Ὀρέστην. ἡ δὲ ξενικὴ φιλία, ἡ ἀπὸ συστάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τοὺς ξένους. τῆς ἄρα φιλίας, ἡ μὲν ἐστὶ φυσική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική. προστιθέασι δέ τινες τετάρτην ἐρωτικήν. τῆς πολιτείας ἐστὶν εἴδη πέντε. τὸ μὲν γὰρ αὐτῆς, ἐστὶ δημοκρατικόν· ἄλλο δὲ, ἀριστοκρατικόν· τρίτον δὲ, ὀλιγαρχικόν· τέταρτον, βασιλικόν· πέμπτον, τυραννικόν. δημοκρατικὸν μὲν οὖν ἐστιν ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος, καὶ τὰς ἀρχὰς καὶ τοὺς νόμους δι' ἑαυτοῦ αἱρεῖται. ἀριστοκρατία δέ ἐστιν ἐν ᾗ μήθ' οἱ πλούσιοι, μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι ἄρχουσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως προστατοῦσιν. ὀλιγαρχία δ' ἐστὶν ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται. ἐλάττους γάρ εἰσιν οἱ πλούσιοι τῶν πενήτων. τῆς δὲ βασιλείας, ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἐστίν. ἡ μὲν οὖν ἐν Καρχηδόνι, κατὰ νόμον (πολιτικὴ γάρ ἐστιν) ἡ δὲ ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ, κατὰ γένος. (ἀπὸ γάρ τινος γένους ποιοῦνται τὴν βασιλείαν) τυραννὶς δέ ἐστιν ἐν ᾗ παρακρουσθέντες ἢ βιασθέντες ὑπό τινος ἄρχονται. τῆς

ἄρα

ερα πολιτείας· ἡ μὲν ἐστὶ δημοκρατία, ἡ δὲ, ἀριστοκρατία,
δὲ, ὀλιγαρχία, ἡ δὲ, βασιλεία, ἡ δὲ, τυραννίς. τῆς δὲ δικαιο-
ύνης ἐστὶν ἤδη τρία. ἡ μὲν γὰρ αὐτῆς, ἐστὶ περὶ θεούς· ἡ δὲ,
ρὶ ἀνθρώπους· ἡ δὲ, περὶ τοὺς ἀποιχομένους· οἱ μὲν γὰρ, θύον-
ς κατὰ νόμους, καὶ τῶν ἱερῶν ἐπιμελούμενοι, δῆλον ὅτι πε-
ὶ θεοὺς εὐσεβοῦσιν· οἱ δὲ δάνεια ἀποδιδόντες καὶ παρακα-
θήκας, δικαιοπραγοῦσι περὶ ἀνθρώπους· οἱ δὲ τῶν μνη-
είων ἐπιμελούμενοι, δῆλον ὅτι περὶ τοὺς ἀποιχομένους. τῆς
α δικαιοσύνης, ἡ μὲν πρὸς θεούς ἐστιν, ἡ δὲ πρὸς ἀν-
ώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους. τῆς ἐπιστήμης
δη ἐστὶ τρία· τὸ μὲν γὰρ, ἐστὶ πρακτικόν· τὸ δὲ, ποιητικόν·
δὲ, θεωρητικόν. ἡ μὲν γὰρ οἰκοδομικὴ καὶ ναυπηγική, ποιητικαί
σιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. πολιτικὴ δὲ καὶ
ὐλητικὴ καὶ κιθαριστική, καὶ αἱ τοιαῦται, πρακτικαί· οὐ-
ρ ἐστὶν οὐδὲν ἰδεῖν θεατὸν αὐτῶν πεποιημένον, ἀλλὰ πράτ-
ουσί τι. ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται.
δὲ γεωμετρική, καὶ ἁρμονική, καὶ ἀστρολογική, θεωρητι-
καί. οὔτε γὰρ πράττουσιν, οὔτε ποιοῦσιν οὐδέν· ἀλλ' ὁ μὲν γεω-
έτρης θεωρεῖ πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί·
δ' ἁρμονικός, τοὺς φθόγγους· ὁ δ' ἀστρολογικός, τὰ ἄστρα
ὶ τὸν κόσμον. τῶν ἄρα ἐπιστημῶν αἱ μέν εἰσι θεωρητι-
κί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί. τῆς ἰατρικῆς
ιν ἤδη πέντε· ἡ μέν, φαρμακευτική· ἡ δέ, χειρουργική· ἡ
, διαιτητική· ἡ δέ, νοσογνωμονική· ἡ δέ, βοηθητική. ἡ μὲν
αρμακευτική, διὰ φαρμάκων ἰᾶται τὰς ἀρρωστίας· ἡ δὲ
ιρουργική, διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει· ἡ δὲ διαιτητι-
ή, διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τὰς ἀρρωστίας· ἡ δὲ νοσο-
ωμονική, διὰ τοῦ γνῶναι τὸ ἀρρώστημα· ἡ δὲ βοηθητική,
ὰ τοῦ βοηθῆσαι, εἰς τὸ παραχρῆμα ἀπαλλάττει τῆς ἀλγη-
όνος. τῆς ἄρα ἰατρικῆς ἡ μὲν ἐστὶ φαρμακευτική, ἡ δέ,
ιρουργική, ἡ δέ, διαιτητική, ἡ δέ, βοηθητική, ἡ δέ, νοσογνωμο-
κή. νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ, γεγραμμένος·

ὁ δὲ, ἄγραφος. ᾧ μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν· ὁ δὲ κατ' ἔθη γινόμενος, οὗτος ἄγραφος καλεῖται. οἷον, τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγοράν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι· ταῦτα γὰρ οὐδεὶς νόμος κωλύει, ἀλλ' ὅμως οὐ πράττομεν, διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. τοῦ ἄρα νόμου ἐστὶν ὁ μὲν, γεγραμμένος· ὁ δὲ, ἄγραφος. ὁ λόγος διαιρεῖται εἰς πέντε, ὧν εἷς μὲν ἐστὶν ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός· ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ ῥήτορες γράφουσιν, εἰς ἐπίδειξίν τε προσφέρουσιν, εἰς ἐγκώμια καὶ ψόγους καὶ κατηγορίας. τὸ δὴ τοιοῦτον εἶδος, ἐστὶ ῥητορικόν. τρίτη δὲ διαίρεσις λόγου, ὃν οἱ ἰδιῶται διαλέγονται πρὸς ἀλλήλους· οὗτος δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ κατὰ βραχὺ ἐρωτῶντες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσιν διαλέγονται· οὗτος δὲ καλεῖται ὁ λόγος διαλεκτικός. πέμπτη δὲ διαίρεσις λόγου, ὃν οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν διαλέγονται τέχνης, ὃς δὴ καλεῖται τεχνικός. τοῦ λόγου ἄρα, τὸ μέν ἐστι πολιτικόν, τὸ δὲ, ῥητορικόν, τὸ δὲ, ἰδιωτικόν, τὸ δὲ, διαλεκτικόν, τὸ δὲ, τεχνικόν. ἡ μουσικὴ εἰς τρία διαιρεῖται. ἔστι γὰρ ἡ μὲν, διὰ τοῦ στόματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ, διὰ τοῦ στόματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία. τρίτον ἀπὸ τῶν χειρῶν μόνων, οἷον κιθαριστική. τῆς ἄρα μουσικῆς ἐστι τὸ μὲν, ἀπὸ τοῦ στόματος μόνον· τὸ δὲ, ἀπὸ τοῦ στόματος καὶ τῶν χειρῶν· τὸ δὲ, ἀπὸ τῶν χειρῶν. διαιρεῖται δὲ ἡ εὐγένεια εἰς εἴδη τέτταρα. ἓν μὲν, ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, τοὺς ἐκ τούτων γεγεννημένους, εὐγενεῖς φασιν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες καὶ ἄρχοντες γεγενημένοι, τοὺς ἐκ τούτων εὐγενεῖς φασὶν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοὶ, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων· καὶ γὰρ τοὺς ἐκ τούτων γεγεννημένους, εὐγενεῖς προσαγορεύομεν. ἄλλο εἶδος, ἐὰν

ὠτός τις ᾖ γεννάδας τὴν ψυχὴν καὶ μεγαλόψυχος, καὶ τοῦτον εὐγενῆ φασίν. καὶ τῆς γε εὐγενείας αὕτη κρατίστη. τῆς ἄρα εὐγενείας τὸ μὲν, ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ, δυναστῶν, τὸ δὲ, ἐνδόξων, τὸ δὲ, ἀπὸ τῆς αὐτοῦ καλοκἀγαθίας. τὸ κάλλος διαιρεῖται εἰς τρία. ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετὸν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ, χρηστικόν· οἷον, ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα πρὸς χρῆσιν ἐστὶ καλά. τὸ δὲ πρὸς νόμους καὶ ἐπιτηδεύματα, καὶ τὰ τοιαῦτα, πρὸς ὠφέλειαν ἐστὶ καλά. τοῦ ἄρα κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν. ἡ ψυχὴ διαιρεῖται εἰς τρία. τὸ μὲν γὰρ αὐτῆς, ἐστὶ λογικόν· τὸ δὲ, ἐπιθυμητικόν· τὸ δὲ, θυμικόν. τούτων δὲ τὸ μὲν λογικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαι, καὶ λογίζεσθαι, καὶ διανοεῖσθαι, καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς αἴτιον τοῦ ἐπιθυμεῖν φαγεῖν, καὶ τοῦ πλησιάσαι, καὶ τῶν τοιούτων· τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαρρεῖν, καὶ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι. τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν, λογικόν, τὸ δὲ, ἐπιθυμητικόν, τὸ δὲ, θυμικόν. τῆς τελείας ἀρετῆς εἴδη τέτταρα· ἓν μὲν, φρόνησις· ἓν δὲ, δικαιοσύνη· τρίτον, ἀνδρεία· τέταρτον, σωφροσύνη. τούτων ἡ μὲν φρόνησις, αἰτία τοῦ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη, τοῦ ἐν ταῖς κοινωνίαις καὶ τοῖς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία, τοῦ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ ἐξίστασθαι ποιεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη, τοῦ κρατεῖν τῶν ἐπιθυμιῶν, καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. τῆς ἀρετῆς ἄρα τὸ μέν ἐστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη. ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν, εἰς τὸ κατὰ νόμον· ἓν δὲ, εἰς τὸ κατὰ φύσιν· ἓν δὲ, εἰς τὸ κατὰ ἔθος· τέταρτον, εἰς τὸ κατὰ γένος· πέμπτον δὲ, κατὰ βίαν. οἱ μὲν οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὰν αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν.

οἱ δὲ κατὰ φύσιν, οἱ ἄρρενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις ἄρχουσι καὶ ἐν τοῖς ἄλλοις ζώοις· (ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρρενα τῶν θηλειῶν ἄρχει) ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστὶν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκαλοι τῶν φοιτώντων. κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία. καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται. οἱ δὲ βιασάμενοι ἢ παρακρουσάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν· ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι. τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν, κατὰ νόμον, τὸ δὲ, κατὰ φύσιν, τὸ δὲ, κατὰ ἔθος, τὸ δὲ, κατὰ γένος, τὸ δὲ, κατὰ βίαν. Τῆς ῥητορείας εἴδη ἐστὶν ἕξ. ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμμαχεῖν πρός τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή. ὅταν δὲ ἀξιῶσι μὴ πολεμεῖν μηδὲ συμμαχεῖν, ἀλλ' ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδος ἐστὶν ἀποτροπή. τρίτον εἶδος τῆς ῥητορείας ὅταν τις φάσκῃ ἀδικεῖσθαι ὑπό τινος, καὶ πολλῶν κακῶν αἴτιον ἀποφαίνῃ. τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται. τέταρτον εἶδος τῆς ῥητορείας ἀπολογία καλεῖται, ὅταν ἀποφαίνῃ αὐτὸν μηθὲν ἀδικοῦντα, μήτε ἄλλο ἄτοπον μηθὲν πράττοντα· τὸ δὴ τοιοῦτον ἀπολογίαν καλοῦσι. πέμπτον εἶδος ῥητορείας, ὅταν τις εὖ λέγῃ καὶ ἀποφαίνῃ καλὸν κἀγαθόν· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγκώμιον. ἕκτον εἶδος, ὅταν τις ἀποφαίνῃ φαῦλον· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ψόγος. τῆς ἄρα ῥητορείας τὸ μὲν ἐστὶν ἐγκώμιον, τὸ δὲ ψόγος, τὸ δὲ προτροπὴ, τὸ δὲ ἀποτροπὴ, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία. Τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν, ἃ δεῖ λέγειν· ἓν δὲ, ὅσα δεῖ λέγειν· τρίτον, πρὸς οὓς δεῖ λέγειν· τέταρτον δὲ, πηνίκα λέγειν δεῖ. ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι καὶ τῷ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μὴ πλείω μηδὲ ἐλάττω τῶν ἱκανῶν. τὸ δὲ πρὸς οὓς δεῖ λέγειν, ἄν τε πρὸς πρεσβ

έροις ἁμαρτάνοντας διαλέγηται, ἁρμόττοντας δεῖ τοὺς λόγους διαλέγεσθαι ὡς πρεσβυτέροις· ἄν τε πρὸς νεωτέροις, ἁρμόττοντας δεῖ λέγεσθαι ὡς νεωτέροις. τηνίκα δὲ λέγειν ἐστὶ, μήτε προτέρω μήτε ὑστέρω· εἰ δὲ μὴ, ἁμαρτήσεσθαι καὶ κακῶς ἐρεῖν. ἡ εὐεργεσία διαιρεῖται εἰς τέτταρα. ἢ γὰρ χρήμασιν, ἢ σώμασιν, ἢ ταῖς ἐπιστήμαις, ἢ τοῖς λόγοις. τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ παραβοηθήσῃ τις εἰς χρημάτων λόγον εὐπορῆσαι. τοῖς δὲ σώμασιν εὖ ποιοῦσιν ἀλλήλους, ὅταν παραγινόμενοι τυπτομένοις παραβοηθῶσιν. οἱ δὲ παιδεύοντες, καὶ ἰατρεύοντες, καὶ διδάσκοντες ἀγαθόν τι, οὗτοι ταῖς ἐπιστήμαις εὐεργετοῦσιν· ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς, καὶ λόγον τινὰ ἐπιεικῆ εἴπῃ ὑπὲρ αὐτοῦ, οὗτος δὴ λόγῳ εὐεργετεῖ. τῆς ἄρα εὐεργεσίας ἡ μέν ἐστι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ διὰ ἐπιστημῶν, ἡ τετάρτη διὰ λόγων. διαιρεῖται τὸ τέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται, καὶ τοῦθ' ὁ νόμος τελέσῃ. κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμβάνει ἥ, τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς, καὶ αἱ ὧραι· κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική οἰκίαν γάρ τις ἐπιτελεῖ) καὶ ἡ ναυπηγική πλοῖα γάρ. κατὰ τύχην γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως, καὶ μὴ ὡς ὑπολαμβάνει τις ἀποβαίνῃ. τοῦ τέλους ἄρα τῶν πραγμάτων τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ τέχνην, τὸ δὲ κατὰ τύχην ἐστίν. ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μὲν, ὃ δυνάμεθα τῇ διανοίᾳ λογίζεσθαι καὶ ὑπονοεῖν· ἕτερον δὲ, τῷ σώματι, οἷον πορεύεσθαι καὶ διδόναι καὶ λαμβάνειν, καὶ τὰ τοιαῦτα· τρίτον, ὃ δυνάμεθα πλήθει στρατιωτῶν καὶ χρημάτων, ὅθεν καλεῖται πολλὴν δύναμιν ἔχων βασιλεύς. τετάρτη δὲ διαίρεσις δυνάμεως, πάσχειν, καὶ εὖ ποιεῖν καὶ κακῶς· οἷον, ἀρρωστεῖν καὶ παιδεύεσθαι δυνάμεθα, καὶ ὑγιεῖς γίνεσθαι, καὶ πάντα τὰ τοιαῦτα. τῆς ἄ-

ἄρα δυνάμεως ἡ μέν ἐστιν ἐν διανοίᾳ, ἡ δ' ἐν τῷ σώματι, ἡ δ' ἐν τῷ στρατοπέδῳ καὶ χρήμασιν, ἡ δ' ἐν τῷ ποιεῖν καὶ πάσχειν. τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ τῆς προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινὲς τὸν ἐντυγχάνοντα πάντα προσαγορεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν· ἄλλο εἶδος, ὅταν τις βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι· ἕτερον εἶδός ἐστι τῆς φιλανθρωπίας, ἐν ᾧ τινὲς φιλοδειπνισταί εἰσιν. τῆς ἄρα φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ, διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ, διὰ τοῦ ἑστιᾶν καὶ φιλοσυνουσιάζειν. ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐτῆς, ἐστὶν εὐβουλία· ἡ δὲ, εὐαισθησία καὶ ὑγίεια τοῦ σώματος· τρίτον, εὐτυχία ἐν ταῖς πράξεσι· τέταρτον, εὐδοξία παρὰ τοῖς ἀνθρώποις· πέμπτον, εὐπορία χρημάτων καὶ τῶν εἰς τὸν βίον χρησίμων. ἡ μὲν εὐβουλία γίνεται ἐκ παιδείας, καὶ ἐκ τοῦ πολλῶν ἔμπειρον γενέσθαι· ἡ δὲ εὐαισθησία, ἐκ τῶν τοῦ σώματος μελῶν. οἷον, ἐάν τις ὀφθαλμοῖς ὁρᾷ, καὶ τοῖς ὠσὶν ἀκούῃ, καὶ τῇ ῥινὶ καὶ τῷ στόματι αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὴ τοιοῦτον εὐαισθησία. ἡ δὲ εὐτυχία, ὅταν ἐφ' ἃ σκοπεῖ πράξῃ κατ' ὀρθὸν ἃ δεῖ πράττειν τὸν σπουδαῖον. εὐδοξία δ' ἐστὶν, ὅταν τις εὖ ἀκούῃ. εὐπορία δ' ἐστὶν, ὅταν τις πρὸς τὰς ἐν τῷ βίῳ χρήσεις οὕτως ἔχῃ ὥστε καὶ φίλοις εὖ ποιῆσαι, καὶ φιλοτίμως καὶ εὐπόρως ἀπολειτουργῆσαι. ᾧ δὲ ὑπάρχει ταῦτα πάντα, οὗτός ἐστιν εὐδαίμων τελέως. τῆς ἄρα εὐδαιμονίας ἐστὶ τὸ μὲν, εὐβουλία, τὸ δὲ εὐαισθησία, καὶ ὑγίεια τοῦ σώματος, τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπορία. αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν, πρώτη, ἡ δὲ, δευτέρα, ἡ δὲ, τρίτη. πρώτη μὲν οὖν ἡ μεταλλευτικὴ καὶ ὑλοτομική· παρασκευαστικαὶ γάρ εἰσιν. ἡ δὲ, χαλκευτικὴ καὶ ἡ τεκτονικὴ, μετασκευαστικαί εἰσιν. ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων, αὐλοὺς καὶ λύρας.

δὲ χρηστική, οἷον ἱππική, τοῖς χαλινοῖς χρῆται, ἡ πολεμικὴ τοῖς ὅπλοις, ἡ μουσικὴ τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. τέχνης ἄρα τρία εἴδη ἐστί· τὸ μέν τι πρότερον, τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον. τὸ ἀγαθὸν εἰς τέτταρα γένη διαιρεῖται· ὧν ἓν μὲν ἐν λέγομεν εἶναι τὸν τὴν ἀρετὴν ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δέ, αὐτὴν τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην λέγομεν ἀγαθὸν εἶναι· τρίτον δέ, οἷον σιτία καὶ γυμνάσια τὰ πρόσφορα καὶ φάρμακα· τέταρτον δὲ φαμὲν εἶναι ἀγαθόν, οἷον αὐλητικὴν καὶ ὑποκριτικὴν καὶ τὰ τοιαῦτα. ἀγαθοῦ ἄρα τέτταρα εἴδη ἐστί· τὸ μέν, τὸ τὴν ἀρετὴν ἔχειν· ἕτερον δέ, αὐτὴ ἡ ἀρετή· τρίτον δέ, σιτία καὶ γυμνάσια τὰ ὠφέλιμα· τέταρτον δέ, αὐλητικὴν καὶ ὑποκριτικὴν καὶ ποιητικὴν ἀγαθὸν λέγομεν εἶναι. Τῶν ὄντων τὰ μέν ἐστι κακά, τὰ δὲ ἀγαθά, τὰ δὲ οὐδέτερα. τούτων κακὰ μὲν λέγομεν ταῦτα, τὰ δυνάμενα βλάπτειν ἀεί, οἷον ἀκρασίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν, καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστιν. τὰ δὲ ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ περιπατεῖν, καὶ τὸ καθῆσθαι, καὶ ἐσθίειν, ἢ ὅλως μήτε ὠφελῆσαι, μήτε βλάψαι δυνάμενα· ταῦτα γοῦν οὔτε ἀγαθά, οὔτε κακά ἐστι. τῶν ἄρα ὄντων, τὰ μέν, ἀγαθά, τὰ δέ, κακά, τὰ δέ, οὐδέτερα τούτων. Εὐνομία διαιρεῖται εἰς τρία· ἓν μέν, ἐὰν ὦσιν οἱ νόμοι σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δέ, ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτο φαμὲν εὐνομίαν εἶναι· τρίτον δέ, ἐὰν, μὴ ὄντων τῶν νόμων, κατὰ ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται, καὶ τοῦτο εὐνομίαν προσαγορεύομεν. τῆς εὐνομίας ἄρα ἓν μέν ἐστι νόμους σπουδαίους εἶναι· ἄλλο δέ, ἐὰν τοῖς οὖσι νόμοις ἐμμένωσι· τρίτον δέ, ἐὰν ἔθεσι καὶ ἐπιτηδεύμασι χρηστῶς πολιτεύωνται. διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ἐστιν, ἐὰν ὦσιν νόμοι μοχθηροί, καὶ πρὸς ξένους καὶ πρὸς πολί-

ταις· ἕτερον δὲ, ἂν τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δὲ ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. τῆς ἄρα ἀνομίας ἓν μέν ἐστι, τὸ μοχθηροῖς εἶναι τοὺς νόμους· ἄλλο δὲ, ἐὰν τοῖς οὖσι μὴ πείθωνται· τρίτον, ἐὰν μηδεὶς ᾖ νόμος. τὰ ἐναντία διαιρεῖται εἰς τρία. οἷον, ἀγαθὰ κακοῖς ἐναντία φαμὲν εἶναι ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ, καὶ τὴν φρόνησιν τῇ ἀφροσύνῃ, καὶ τὰ τοιαῦτα. κακὰ δὲ κακοῖς ἐναντία εἶναι τὴν ἀσωτίαν καὶ τὴν ἀνελευθερίαν, καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· καὶ τὰ τοιαῦτα κακὰ κακοῖς ἐναντία ἐστί. τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα οἷον τὸ πένεσθαι τῷ πλουτεῖν. ἑκάτερον γὰρ κατ' αὐτὸ οὔτ' ἀγαθὸν, οὔτε κακόν· ἐναντία δὲ ὅμως. τὸ δὲ βαρὺ τῷ κούφῳ, καὶ τὸ ταχὺ τῷ βραδεῖ, καὶ τὸ μέλαν τῷ λευκῷ, ὡς οὐδέτερα οὐδετέροις ἐναντία ἐστί. τῶν ἐναντίων ἄρα, τὰ μὲν ὡς ἀγαθὰ, κακοῖς ἐναντία ἐστὶ, τὰ δὲ, ὡς κακὰ κακοῖς τὰ δὲ, ὡς οὐδετέροις οὐδέτερα. τῶν ἀγαθῶν γένη εἰσὶ τρία. τὰ μὲν γάρ ἐστιν ἑκτὰ, τὰ δὲ μεθεκτὰ, τὰ δὲ ὑπαρκτά. τὰ μὲν οὖν ἑκτά ἐστιν ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη, καὶ ἡ ὑγίεια· μεθεκτὰ δὲ, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μετασχεῖν δὲ αὐτῶν ἐνδέχεται· οἷον, αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μετασχεῖν δὲ αὐτοῦ ἐνδέχεται. ὑπαρκτὰ δὲ, ὅσα μήτε μετασχεῖν, μήτε ἔχειν ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον, τὸ σπουδαῖον εἶναι καὶ δίκαιον εἶναι, ἀγαθόν ἐστι· καὶ ταῦτα οὔτε σχεῖν οὔτε μετασχεῖν ἐστι ἀλλὰ ὑπάρχειν δεῖ, σπουδαῖον εἶναι καὶ δίκαιον εἶναι. τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν ἑκτὰ, τὰ δὲ, μεθεκτὰ, τὰ δὲ ὑπαρκτά. ἡ συμβουλία διαιρεῖται εἰς τρία. ἔστι γὰρ αὐτῆς, ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δὲ ἐκ τῶν μελλόντων, ἓν δὲ ἐκ τῶν ἐνεστώτων. τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων παραδείγματα, οἷον τί ἔπαθον Λακεδαιμόνιοι πιστεύσαντες· τὰ δὲ ἐκ τῶν παρόν-

των, οἷον, ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον· τὰ δὲ ἐκ τῶν μελλόντων, οἷον, ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δὲ ἐκ τῶν παρόντων, τὰ δὲ ἐκ τῶν μελλόντων. ἡ φωνὴ διαιρεῖται εἰς δύο. ἓν μὲν αὐτῆς ἐστιν ἔμψυχον, ἓν δὲ, ἄψυχον. ἔμψυχον μὲν, ἡ τῶν ζώων φωνή· ἄψυχον δὲ, φθόγγοι, καὶ ἦχοι. τῆς ἐμψύχου φωνῆς ἡ μέν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος. ἐγγράμματος μὲν, ἡ τῶν ἀνθρώπων· ἀγράμματος δὲ, ἡ τῶν ζώων. τῆς ἄρα φωνῆς ἡ μὲν, ἔμψυχος, ἡ δὲ, ἄψυχος. τῶν ὄντων τὰ μέν ἐστι μεριστὰ, τὰ δὲ, ἀμέριστα. τούτων δὲ τῶν μεριστῶν τὰ μὲν, ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. ἀμερῆ μὲν οὖν ἐστιν ὅσα μὴ ἔχει διαίρεσιν, μηδὲ ἔκ τινος σύγκειται, οἷον ἥτε μονὰς καὶ ἡ στιγμὴ καὶ ὁ φθόγγος· μεριστὰ δὲ, ὅσα ἔκ τινος σύγκειται, οἷον αἵτε συλλαβαὶ καὶ συμφωνίαι, καὶ ζῶα, καὶ ὕδωρ, καὶ χρυσός. καὶ ὁμοιομερῆ μὲν ὅσα ἐξ ὁμοίων σύγκειται, καὶ μηδὲν διαφέρει τὸ ὅλον τοῦ μέρους εἰ μὴ τῷ πλήθει· οἷον τὸ ὕδωρ καὶ τὸ χρυσίον καὶ πᾶν τὸ τοιοῦτον. ἀνομοιομερῆ δὲ, ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον οἰκία καὶ τὰ τοιαῦτα. τῶν ὄντων ἄρα τὰ μέν ἐστι μεριστὰ, τὰ δὲ, ἀμερῆ. τῶν δὲ μεριστῶν, τὰ μὲν, ὁμοιομερῆ, τὰ δὲ, ἀνομοιομερῆ. τῶν ὄντων, τὰ μέν ἐστι καθ' ἑαυτὰ, τὰ δὲ πρός τι λέγεται. τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα, ἐστὶν ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δὲ ἂν εἴη οἷον ἄνθρωπος, ἵππος, καὶ τὰ ἄλλα ζῶα. τούτων γὰρ οὐδὲν δι' ἑρμηνείας χωρεῖ. τῶν δὲ πρός τι λεγομένων, ὅσα προσδεῖται τινὸς ἑρμηνείας, οἷον τὸ μεῖζόν τινὸς, καὶ τὸ θᾶττον τινὸς, καὶ τὸ κάλλιον, καὶ τὰ τοιαῦτα. τό, τε γὰρ μεῖζον, ἐλάττονός ἐστι μεῖζον, καὶ τὸ θᾶττον τινός ἐστι. τῶν ὄντων ἄρα, τὰ μὲν αὐτὰ καθ' αὐ-

τὰ λέγεται, τὰ δὲ πρός τι. ὧδε καὶ τὰ πρῶτα διῄρει, κατὰ τὸν Ἀριστοτέλην.

Γέγονε δὲ καὶ ἄλλος Πλάτων φιλόσοφος Ῥόδιος, μαθητὴς Παναιτίου, καθά φησι Σέλευκος ὁ γραμματικὸς ἐν πρώτῳ περὶ φιλοσοφίας. καὶ ἄλλος, περιπατητικός, μαθητὴς Ἀριστοτέλους. καὶ ἕτερος, Πραξιφάνους. καὶ ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής.

# ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ τέταρτον.

## ΣΠΕΥΣΙΠΠΟΣ.

Τὰ μὲν περὶ Πλάτωνος τοσαῦτα ἦν ἐς τὸ δυνατὸν ἡμῖν συναγαγεῖν, φιλοπόνως διειληφόσι τὰ λεγόμενα περὶ τἀνδρός. διεδέξατο δ' αὐτὸν Σπεύσιππος Εὐρυμέδοντος, Ἀθηναῖος· τῶν μὲν δήμων Μυρρινούσιος ὤν, υἱὸς δὲ τῆς ἀδελφῆς αὐτοῦ Πωτώνης· καὶ ἐσχολάρχησεν ἔτη ὀκτώ, ἀρξάμενος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Χαρίτων τε ἀγάλματα ἀνέθηκεν ἐν τῷ μουσείῳ τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημίᾳ ἱδρυθέντι. καὶ ἔμεινε μὲν ἐπὶ τῶν αὐτῶν Πλάτωνι δογμάτων· οὐ μὴν τό γε ἦθος διέμεινε τοιοῦτος. καὶ γὰρ ὀργίλος καὶ ἡδονῶν ἥττων ἦν. φασὶ γοῦν αὐτὸν ὑπὸ θυμοῦ τὸ κυνίδιον εἰς τὸ φρέαρ ῥῖψαι· καὶ ὑφ' ἡδονῆς ἐλθεῖν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασάνδρου γάμον. ἐλέγοντο δὲ αὐτοῦ καὶ αἱ Πλάτωνος ἀκούειν μαθήτειαι, Λαθενία τε ἡ Μαντινική, καὶ Ἀξιοθέα ἡ Φλιασία. ὅτε καὶ Διονύσιος πρὸς αὐτὸν γράφων τωθαστικῶς, φησί, Καὶ ἐκ τῆς Ἀρκαδικῆς συμμαθητείας ἐστὶ τὴν φιλοσοφίαν καταμαθεῖν. καὶ Πλάτων μὲν ἀτελεῖς φόρων τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς, καὶ παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις. οὗτος πρῶτος (καθά φησι Διόδωρος ἐν ἀπομνημονευμάτων

πρῶτος) ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν, καὶ συνῳκείωσε καθόσον ἦν δυνατὸν ἀλλήλοις· καὶ πρῶτος παρὰ Ἰσοκράτους τὰ καλούμενα ἀπόρρητα ἐξήνεγκεν, ὥς φησι Καινδς. καὶ πρῶτος εὗρεν ᾧ τὰ φορμία τῶν φρυγάνων εὔογκα ποιοῦσιν. ἤδη δ' ὑπὸ παραλύσεως καὶ τὸ σῶμα διέφθαρτο. καὶ πρὸς Ξενοκράτη διεπέμπετο, παρακαλῶν αὐτὴν ἐλθεῖν, καὶ τὴν σχολὴν διαδέξασθαι. φασὶ δ' ἐφ' ἁμαξίου αὐτὸν φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει, καὶ Χαῖρε, εἰπεῖν· τὸν δὲ φάναι, Ἀλλὰ μὴ σύ γε, ὅστις ὑπομένεις ζῆν τοιοῦτος ὤν. καὶ τέλος ὑπὸ ἀθυμίας ἑκὼν τὸν βίον μετήλλαξε, γηραιὸς ὤν. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν,

Ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμάνθανον ὧδε θανεῖσθαι,
Οὐκ ἂν ἔπεισέ μέ τις, τόδε λέξας, ὡς ἄρ' ἦν ὃς
Οὐχὶ Πλάτωνι πρὸς αἵματος. οὐ γὰρ ἀθυμῶν
Κάτθανεν ἂν διά τι σφόδρα μικρόν.

Πλούταρχος δέ φησιν ἐν τῷ Λυσάνδρου βίῳ καὶ Σύλλα, φθειρσὶν ἐκζέσαι αὐτόν. ἦν δ' καὶ τὸ σῶμα διακεχυμένος, ὥς φησι Τιμόθεος ἐν τῷ περὶ βίων. οὗτος (φησὶ) πρὸς τὸν ἐρῶντα πλούσιον ἄμορφον, ἔφη, Τί δέ σοι δεῖ τούτου; ἐγὼ γάρ σοι δέκα ταλάντων ἀμορφοτέραν εὑρήσω. καταλέλοιπε δ' πάμπλειστα ὑπομνήματα, καὶ διαλόγους πλείονας· ἐν οἷς καὶ Ἀρίστιππον τὸν Κυρηναῖον· Περὶ πλούτου, α΄· Περὶ ἡδονῆς, α΄· Περὶ δικαιοσύνης, α΄· Περὶ φιλοσοφίας, α΄· Περὶ φιλίας, α΄· Περὶ θεῶν, α΄· Φιλόσοφος, α΄· Πρὸς Κέφαλον, α΄· Κέφαλος, α΄· Κλεινόμαχος, ἢ Λυσίας· Πολίτης, α΄· Περὶ ψυχῆς, α΄· Πρὸς Γρύλλον, α΄· Ἀρίστιππος, α΄· Τεχνῶν ἔλεγχος, α΄· ὑπομνηματικοὶ διάλογοι, Τεχνικόν, α΄· Διάλογοι τῶν περὶ τὴν πραγματείαν ὁμοίων, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, θ΄, ι΄. διαιρέσεις, καὶ πρὸς τὰ ὅμοια ὑποθέσεις. Περὶ γενῶν καὶ εἰδῶν παραδειγμάτων· Πρὸς τὸν Ἀμάρτυρον, Πλάτωνος ἐγκώμιον· Ἐπιστολαί,

πρὸς Δίωνα, Διονύσιον, Φίλιππον· Περὶ νομοθεσίας, Μαθηματικὸς, Μανδρόβουλος, Λυσίας, Ὅροι, Τάξεις ὑπομνημάτων. στίχοι μ͂, γ͂, σ͂, ο͂, ε͂. πρὸς τοῦτον γράφει καὶ Σιμωνίδης τὰς ἱστορίας, ἐν αἷς καταπέταχε τὰς πράξεις Δίωνός τε καὶ Βίωνος. ἐν δευτέρῳ ἀπομνημονευμάτων Φαβωρῖνος φησὶν ὡς Ἀριστοτέλης αὐτοῦ τὰ βιβλία τριῶν ταλάντων ὠνήσατο. γέγονε Σπεύσιππος καὶ ἕτερος, ἰατρὸς Ἡροφίλειος Ἀλεξανδρεύς.

## ΞΕΝΟΚΡΑ'ΤΗΣ.

Ξενοκράτης, Ἀγαθήνορος, Καρχηδόνιος· οὗτος ἐκ νέου Πλάτωνος ἤκουσε, καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν. ἦν δὲ τὴν φύσιν νωθρὸς, ὥστε φασὶ λέγειν τὸν Πλάτωνα, συγκρίνοντα αὐτὸν Ἀριστοτέλει, τῷ μὲν μύωπος δεῖ, τῷ δὲ, χαλινοῦ. καὶ, Ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω; σεμνὸς δὲ τά τε ἄλλα Ξενοκράτης καὶ σκυθρωπὸς ἀεὶ, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, Ξενόκρατες, θῦε ταῖς Χάρισι. διῆγέ τε ἐν Ἀκαδημίᾳ τὰ πλεῖστα· καὶ εἴποτε μέλλοι ἐς ἄστυ ἀπιέναι, φασὶ τοὺς θορυβώδεις πάντας καὶ πορνικοὺς ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ. καί ποτε καὶ Φρύνην τὴν ἑταίραν ἐθελῆσαι πειρᾶσαι αὐτὸν, καὶ δῆθεν διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον. τὸν δὲ, ἕνεκα τοῦ ἀνθρωπίνου, εἰσδέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου δεομένην μεταδοῦναι τῆς κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαροῦσαν, ἄπρακτον ἀναστῆναι. λέγειν τε πρὸς τοὺς πυνθανομένους, ὡς οὐκ ἀπ' ἀνδρὸς ἀλλ' ἀπ' ἀνδριάντος ἀνασταίη. ἔνιοι δὲ Λαΐδα φασὶ παρακατακλῖναι αὐτῷ τοὺς μαθητάς· τὸν δὲ οὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις πολλάκις ὑπομεῖναι περὶ τὸ αἰδοῖον. ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα· ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. καὶ δὴ καὶ αὐταρκέστατος ἦν. Ἀλεξάνδρου γοῦν συχνὸν ἀργύριον ἀποστείλαντος

αὐτῷ, τρισχιλίας Ἀττικὰς ἀφελὼν, τὸ λοιπὸν ἀπέπεμψεν· εἰπὼν, ἐκείνῳ πλειόνων δεῖν πλείονας τρέφοντι. ἀλλὰ καὶ τὸ ὑπ' Ἀντιπάτρου πεμφθὲν μὴ προσέσθαι, ὥς φησι Μυρωνιανὸς ἐν ὁμοίοις. καὶ χρυσῷ στεφάνῳ τιμηθέντα ἐπ' ἄθλῳ πολυποσίας, τοῖς καταχοῦσι παρὰ Διονυσίῳ ἐξιόντα θεῖναι πρὸς τὸν ἱδρυμένον Ἑρμῆν, ἔνθα περ τιθέναι καὶ τοὺς ἀνθίνους εἰώθει. λόγος δὲ αὐτὸν μετὰ καὶ ἄλλων πεμφθῆναι πρεσβευτὴν πρὸς Φίλιππον. καὶ τοὺς μὲν, δώροις μαλθασσομένους, καὶ ἐς τὰς κλήσεις συνιέναι καὶ τῷ Φιλίππῳ λαλεῖν· τὸν δὲ, μηδέτερον τούτων ποιεῖν. οὔτε γὰρ ὁ Φίλιππος αὐτὸν προσίετο διὰ τοῦτο. ὅθεν ἐλθόντας τοὺς πρέσβεις εἰς τὰς Ἀθήνας, φάσκειν ὡς μάτην αὐτοῖς Ξενοκράτης συνεληλύθει. καὶ τοὺς, ἑτοίμους εἶναι ζημιοῦν αὐτόν. μαθόντας δὲ παρ' αὐτοῦ ὡς νῦν καὶ μᾶλλον φροντιστέον εἶναι τῆς πόλεως αὐτοῖς, (τοὺς μὲν γὰρ ἤδη ἐδωροδόκησεν ὁ Φίλιππος, ἐμὲ δὲ μηδενὶ λόγῳ ἐπαξόμενος) φασὶ διπλασίως αὐτὸν τιμῆσαι. καὶ τὸν Φίλιππον δὲ λέγειν ὕστερον, ὡς μόνος εἴη Ξενοκράτης τῶν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος. ἀλλὰ καὶ πρεσβεύων πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων κατὰ τὸν Λαμιακὸν πόλεμον, καὶ κληθεὶς ἐπὶ δεῖπνον πρὸς αὐτὸν, προσηνέγκατο ταυτί,

Ὦ Κίρκη, τίς γάρ κεν ἀνὴρ, ὃς ἐναίσιμος εἴη,
Πρὶν τλαίη πάσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
Πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;

καὶ τὸν, ἀποδεξάμενον τὴν εὐστοχίαν, εὐθὺς ἀνεῖναι. στρουθίου δέ ποτε διωκομένου ὑπὸ ἱέρακος, καὶ εἰσπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθῆκεν· εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. σκωπτόμενος ὑπὸ Βίωνος, οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι. μηδὲ γὰρ τὴν τραγῳδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένην ἀποκρίσεως ἀξιοῦν. πρὸς δὲ τὸν μήτε μουσικὴν, μήτε γεωμετρείαν, μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν, Πο-

ρίου, ἔφη· λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας. οἱ δὲ τοῦτο φασὶν εἰπεῖν, Παρ' ἐμοὶ γὰρ πόκος οὐ κνάπτεται. εἰπόντος δὲ Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσει τις αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον, Οὐκ ἄν γε (ἔφη) τις πρότερον τούτου. φασὶ, καὶ Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀσπασαμένου αὐτὸν, μὴ πρότερον ἀντιπροσαγορεῦσαι πρὶν ἢ τὸν λόγον ὃν ἔλεγε διαπεράνασθαι. ἀτυφότατος δὲ ὢν, πολλάκις ἑαυτῷ τῆς ἡμέρας διεμελέτα, καὶ ὥραν μίαν φασὶν ἀπένεμε σιωπῇ. καὶ πλεῖστα ὅσα καταλέλοιπε συγγράμματα, καὶ ἔπη, καὶ παραινέσεις· ἅ ἐστι ταῦτα, Περὶ φύσεως, α, β, γ, δ, ε, ς. Περὶ φιλοσοφίας, ς· Περὶ πλούτου, α· Ἀρκάς, α· Περὶ τοῦ ἀορίστου, α· Περὶ τοῦ παιδίου, α· Περὶ ἐγκρατείας, α· Περὶ τοῦ ὠφελίμου, α· Περὶ τοῦ ἐλευθέρου, α· Περὶ θανάτου, α· Περὶ ἑκουσίου, α· Περὶ φιλίας, α, β. Περὶ ἐπιεικείας, α· Περὶ τοῦ ἐναντίου, α, β· Περὶ εὐδαιμονίας, α, β· Περὶ τοῦ γράφειν, α· Περὶ μνήμης, α· Περὶ τοῦ ψεύδους, α· Καλλικλῆς, α· Περὶ φρονήσεως, α, β· Οἰκονομικὸς, α· Περὶ σωφροσύνης, α· Περὶ δυνάμεως νόμου, α· Περὶ πολιτείας, α· Περὶ ὁσιότητος, α· ὅτι παραδοτὴ ἡ ἀρετὴ, α· Περὶ τοῦ ὄντος, α· Περὶ εἱμαρμένης α· Περὶ τῶν παθῶν, α· Περὶ βίων, α· Περὶ ὁμονοίας, α· Περὶ μαθητῶν, α, β· Περὶ δικαιοσύνης, α· Περὶ ἀρετῆς, α, β· Περὶ εἰδῶν, α· Περὶ ἡδονῆς, α, β· Περὶ βίου, α· Περὶ ἀνδρείας, α· Περὶ τοῦ ἑνός, α· Περὶ ἰδεῶν, α· Περὶ τέχνης, α· Περὶ θεῶν, α, β· Περὶ ψυχῆς, α, β· Περὶ ἐπιστήμης, α· Πολιτικὸς, α· Περὶ ἐπιστημοσύνης, α· Περὶ φιλοσοφίας, α· Περὶ τῶν Παρμενίδου, α· Ἀρχέδημος, ἢ Περὶ δικαιοσύνης, α· Περὶ ἀγαθοῦ, α· Τῶν περὶ τὴν διάνοιαν, α, β, γ, δ, ε, ς, ζ, η· Λύσις τῶν περὶ τοὺς λόγους, α, ι· Φυσικῆς ἀκροάσεως, α, β, γ, δ, ε, ς· Κεφάλαιον, α· Περὶ γενῶν καὶ εἰδῶν, α· Πυθαγόρεια, α· Λύσεις, α, β· Διαιρέσεις, η· Θέσεων βιβλία, κ μ γ· Τῆς περὶ τὸ διαλέγεσθαι

πραγματείας βιβλία ιη̄, μ̄, ᾱ, β̄, ψ̄, μ̄. μετὰ τοῦτο βιβλία ιε̄, καὶ ἄλλα βιβλία ιϛ̄. Περὶ μαθημάτων τῶν περὶ τὴν λέξιν λογικῶν, βιβλία θ̄. τῶν περὶ τὰ μαθήματα, βιβλία ϛ̄. τῶν περὶ τὴν διάνοιαν, ἄλλα βιβλία δύο. Περὶ γεωμετρῶν, βιβλία ε̄· ὑπομνημάτων, ᾱ· ἐναντίων, ᾱ· Περὶ ἀριθμῶν, ᾱ· Ἀριθμῶν θεωρία, ᾱ· Περὶ διαστημάτων, ᾱ· Τῶν περὶ ἀστρολογίαν, ϛ̄· Στοιχεῖα πρὸς Ἀλέξανδρον, Περὶ βασιλείας, δ̄· Πρὸς Ἀρύβαν, Πρὸς Ἡφαιστίωνα· Περὶ γεωμετρίας, ᾱ, β̄. στίχοι μ̄ κ̄ β̄ δ̄ σ̄ λ̄ θ̄. Ἀθηναῖοι δ' ὅμως αὐτὸν ὄντα τοιοῦτον ἐπιπρασκόν ποτε, τὸ μετοίκιον ἀπονοοῦντα θεῖναι. καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς, καὶ ἑκάτερον ἀποκατέστησε· Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μετοίκιον. τοῦτό φησι Μυρωνιανὸς ὁ Ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῶν ἱστορικῶν ὁμοίων κεφαλαίων. διεδέξατο δὲ Σπεύσιππον, καὶ ἀφηγήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσι ἔτη ἐπὶ Λυσιμάχου, ἀρξάμενος κατὰ τὸ δεύτερον ἔτος τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. ἐτελεύτα δὲ νυκτὸς, λεκάνῃ προσπταίσας, ἔτος ἤδη γεγονὼς δεύτερον καὶ ὀγδοηκοστόν. φαμὲν δὲ καὶ εἰς αὐτὸν οὑτωσὶ,

Χαλκῇ προσπταίσας λεκάνῃ ποτὲ, καὶ τὸ μέτωπον
Πλήξας, ἴαχεν ὢ σύντονον, εἶτ' ἔθανεν,
Ὁ πάντα πάντη Ξενοκράτης ἀνὴρ γεγώς.

γεγόνασι δὲ καὶ ἄλλοι Ξενοκράτεις ϛ̄. ὅ, τε τακτικὸς, ἀρχαῖος σφόδρα· καὶ ὁ συγγενὴς ἅμα καὶ πολίτης τῷ προειρημένῳ φιλοσόφῳ· φέρεται δὲ αὐτοῦ λόγος Ἀρσινοητικὸς, γεγραμμένος περὶ Ἀρσινόης ἀποθανούσης· τέταρτος, φιλόσοφος, ἐλεγείαν γεγραφὼς οὐκ ἐπιτυχῶς. (ἴδιον δέ. ποιηταὶ μὲν γὰρ ἐπιβαλλόμενοι πεζογραφεῖν, ἐπιτυγχάνουσι· πεζογράφοι δὲ ἐπιτιθέμενοι ποιητικῇ, πταίουσι. τῷ δῆλον, τὸ μὲν φύσεως εἶναι, τὸ δὲ τέχνης ἔργον) πέμπτος, ἀνδριαντοποιός· ἕκτος, ᾄσματα γεγραφὼς, ὥς φησιν Ἀριστόξενος.

## ΠΟΛΕ'ΜΩΝ.

Πολέμων, Φιλοστράτου μὲν υἱὸς ἦν, Ἀθηναῖος, τῶν δήμων Οἴηθεν. νέος δ' ὢν, ἀκόλαστός τε καὶ διακεχυμένος ἦν οὕτως, ὥστε καὶ περιφέρειν ἀργύριον πρὸς τὰς ἑτοίμους λύσεις τῶν ἐπιθυμιῶν. ἀλλὰ καὶ ἐν τοῖς στενωποῖς διέκρυπτεν. ἀλλὰ καὶ ἐν Ἀκαδημίᾳ πρὸς κίονι τινὶ τριώβολον εὑρέθη προσπεπλασμένον αὐτοῦ, διὰ τὴν ὁμοίαν τῇ προειρημένῃ πρόφασιν. καί ποτε συνθέμενος τοῖς νέοις, καὶ ἐστεφανωμένος, μεθύων εἰς τὴν Ξενοκράτους ἦξε σχολήν. ὁ δὲ, οὐδὲν διατραπεὶς, εἶρε τὸν λόγον ὁμοίως (ἦν δὲ περὶ σωφροσύνης) ἀκοῦον δὲ τὸ μειράκιον, κατ' ὀλίγον ἐθηράθη· καὶ οὕτως ἐγένετο φιλόπονος, ὡς ὑπερβάλλεσθαι τοὺς ἄλλους, καὶ αὐτὸν διαδέξασθαι τὴν σχολὴν, ἀρξάμενον ἀπὸ τῆς ἕκτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. φησὶ δὲ Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς βίοις, τὸν πατέρα αὐτοῦ πρῶτόν τε εἶναι τῶν πολιτῶν, καὶ ἁρματοτροφῆσαι. φυγεῖν δὲ τὸν Πολέμωνα καὶ δίκην κακώσεως ὑπὸ τῆς γυναικὸς, ὡς μειρακίοις συνόντα. τοσοῦτον δὲ ἐπιτεῖναι τὸ ἦθος ἀρξάμενον φιλοσοφεῖν, ὥστ' ἐπὶ τοῦ αὐτοῦ σχήματος τῆς μορφῆς πάντοτε μένειν. ἀλλὰ καὶ τὴν φωνὴν ἀναλλοίωτος ἦν· διὸ καὶ θηραθῆναι Κράντορα ὑπ' αὐτοῦ. κυνὸς γοῦν λυττῶντος, καὶ τὴν ἰγνύαν διασπάσαντος, μόνον μὴ ὠχριᾶσαι· καὶ ταραχῆς γενομένης ἐπὶ τῆς πόλεως, πυθόμενον τὸ γεγονὸς, ἄτρεπτον μεῖναι. ἔν τε τοῖς θεάτροις ἀσυμπαθέστατος ἦν. Νικοστράτου γοῦν ποτε, τοῦ ἐπικαλουμένου Κλυταιμνήστρα, ἀναγινώσκοντός τι τοῦ ποιητοῦ αὐτῷ τε καὶ Κράτητι, τὸν μὲν συνδιατίθεσθαι, τὸν δ' ἴσα καὶ μὴ ἀκοῦσαι. καὶ ὅλως ἦν τοιοῦτος οἷόν φησι Μελάνθιος ὁ ζωγράφος ἐν τοῖς Περὶ ζωγραφικῆς. φησὶ γὰρ δεῖν αὐθάδειαν τινὰ καὶ σκληρότητα τοῖς ἔργοις ἐπιτρέχειν, ὁμοίως δὲ κἀν τοῖς ἤθεσιν. ἔφασκε δὲ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνάζεσθαι, καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς

θεωρήμασι, καθάπερ ἁρμονικόν τι τεχνίον καταπιόντα, καὶ μελετήσαντα· ὡς κατὰ μὲν τὴν ἐρώτησιν θαυμάζεσθαι, κατὰ δὲ τὴν διάθεσιν ἑαυτοῖς μάχεσθαι. ἦν οὖν ἀστεῖός τις καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου, ὀξωτὰς καὶ σιλφωτά. ἅπερ (ὡς αὐτός φησι) καταπυγοσύνη ταῦτ᾽ ἐστὶ πρὸς κρέας μέγα. ἀλλὰ μὴν οὐδὲ καθίζων ἔλεγε πρὸς τὰς θέσεις, (φασὶ) περιπατῶν δὲ ἐπεχείρει. διὰ δὴ οὖν τὸ φιλογενναῖον ἐτιμᾶτο ἐν τῇ πόλει. οὐ μὴν ἀλλὰ καὶ ἐκπεπατηκὼς ἦν, διατρίβων ἐν τῷ κήπῳ, παρ᾽ ὃν οἱ μαθηταὶ μικρὰ καλύβια ποιησάμενοι, κατῴκουν πλησίον τοῦ μουσείου καὶ τῆς ἐξέδρας. ὡς ἐῴκει δὴ, ὁ Πολέμων κατὰ πάντα ἐζηλώκει τὸν Ξενοκράτην· καὶ ἐρασθῆναι αὐτοῦ φησὶν Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. ἀεὶ γοῦν ἐμέμνητο ὁ Πολέμων αὐτοῦ, τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ἐνεδέδυτο τἀνδρὸς καὶ τὸ βάρος, οἱονεὶ Δώριός τις οἰκονομία. ἦν δὲ καὶ φιλοσοφοκλῆς, καὶ μάλιστα ἐν ἐκείνοις ὅπου κατὰ τὸν κωμικὸν τὰ ποιήματα αὐτῷ κύων τις ἐδόκει συμποιεῖν Μολοττικός. καὶ ἔνθα ἦν (κατὰ τὸν Φρύνιχον) οὐ γαῦσις, οὐδ᾽ ὑπόχυτος, ἀλλὰ Πράμνιος. ἔλεγεν οὖν τὸν μὲν Ὅμηρον, ἐπικὸν εἶναι Σοφοκλέα· Ὅμηρον δὲ, Σοφοκλέα τραγικόν. ἐτελεύτησε δὲ γηραιὸς ἤδη ὑπὸ φθίσεως, ἱκανὰ συγγράμματα καταλιπών. καί ἐστιν ἡμῶν εἰς αὐτόν.

Οὐκ ἀΐεις; Πολέμωνα κεκεύθαμεν, ὃν θέτο τῇδε
  Ἀρρωστία, τὸ δεινὸν ἀνθρώπων πάθος.
Οὐ μᾶλλον Πολέμωνα, τὸ σῶμα δέ. τοῦτο γὰρ αὐτὸς
  Μέλλων ἐς ἄστρα διαβαίνειν, θῆκεν χαμαί.

## ΚΡΑΤΗΣ.

Κράτης, πατρὸς μὲν ἦν Ἀντιγένους, Θριάσιος δὲ τῶν δήμων, καὶ ἀκροατὴς ἅμα καὶ ἐρώμενος Πο-

λέμωνος. ἀλλὰ καὶ διεδέξατο τὴν σχολὴν αὐτοῦ· καὶ οὕτως ἀλλήλω ὠφιλείτην, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἦσαν ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιούσθην ἀλλήλοιν, καὶ θανόντε τῆς αὐτῆς ταφῆς ἐκοινωνείτην. ὅθεν Ἀνταγόρας εἰς ἄμφω τοῦτον ἐποίησε τὸν τρόπον,

Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα
Ἔννεπε κρύπτεσθαι ξεῖνε παρερχόμενος·
Ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος
Ἱερὸς ἤισσεν δαιμονίου στόματος.
Καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
Αἰῶνα, στρεπτοῖς δόγμασι πειθόμενος.

ἔνθεν καὶ Ἀρκεσίλαον μετελθόντα παρὰ Θεοφράστου πρὸς αὐτοὺς λέγειν, ὡς εἶεν θεοί τινες ἢ λείψανα τοῦ χρυσοῦ γένους. καὶ γὰρ ἦσαν οὐ φιλοδημώδεις· ἀλλ' οἷον Διονυσόδωρόν ποτέ φασι τὸν αὐλητὴν εἰπεῖν, σεμνυνόμενον ἐπὶ τῷ μηδένα τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους, μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου. συσσίτιον δέ φησιν αὐτῷ ὁ Ἀντίγονος εἶναι παρὰ Κράντορι, ὁμονόως συμβιούντων τούτων τε καὶ Ἀρκεσιλάου. τὴν δὲ οἴκησιν Ἀρκεσίλαον μὲν ἔχειν μετὰ Κράντορος, Πολέμωνα δὲ σὺν Κράτητι μετὰ Λυσικλέους τινὸς τῶν πολιτῶν. ἦν δὲ (φησὶν) ἐρώμενος, Κράτης μὲν (ὡς προείρηται) Πολέμωνος· Ἀρκεσίλαος δὲ, Κράντορος. τελευτῶν δὲ ὁ Κράτης (καθά φησιν Ἀπολλόδωρος ἐν τρίτῳ τῶν χρονικῶν) ἀπέλιπε βιβλία, τὰ μὲν φιλοσοφούμενα, τὰ δὲ περὶ κωμῳδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ πρεσβευτικούς. ἀλλὰ καὶ μαθητὰς ἐλλογίμους· ὧν Ἀρκεσίλαον, περὶ οὗ λέξομεν (διήκουσε γὰρ καὶ τούτου) καὶ Βίωνα τὸν Βορυσθενίτην, ὕστερον δὲ Θεοδώρειον ἀπὸ τῆς αἱρέσεως ἐπικαλούμενον· περὶ οὗ καὶ αὐτοῦ λέξομεν ἐχομένως Ἀρκεσιλάου. γεγόνασι δὲ Κράτητες δέκα. πρῶτος, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής· δεύτερος, ῥήτωρ Τραλλιανὸς, Ἰσο-

κράτειος· τρίτος, γραφρωρύχος, Ἀλεξάνδρῳ συνών· τέταρτος, ὁ κύων, περὶ οὗ λέξομεν· πέμπτος, φιλόσοφος περιπατητικός· ἕκτος, Ἀκαδημαϊκὸς, ὁ προειρημένος· ἕβδομος, Μαλλώτης, γραμματικός· ὄγδοος, γεωμετρικὰ γεγραφώς. ἔννατος, ἐπιγραμμάτων ποιητής· δέκατος, Ταρσεὺς, φιλόσοφος Ἀκαδημαϊκός.

## ΚΡΑ'ΝΤΩΡ.

Κράντωρ, Σολεὺς, θαυμαζόμενος ἐν τῇ ἑαυτοῦ πατρίδι, ἀπῆρεν εἰς Ἀθήνας, καὶ Ξενοκράτους διήκουσε Πολέμωνι συσχολάζων. καὶ κατέλιπεν ὑπομνήματα εἰς μυριάδας στίχων τρεῖς· ὧν τινά τινες Ἀρκεσιλάῳ προσάπτουσι. φασὶ δὲ αὐτὸν ἐρωτηθέντα τίνι θηραθείη ὑπὸ Πολέμωνος, εἰπεῖν, τῷ μήτε ὀξύτερον μήτε βαρύτερον ἀκοῦσαι φθεγγομένου. οὗτος νοσήσας εἰς τὸ Ἀσκληπιεῖον ἀνεχώρησε, κἀκεῖ περιεπάτει. οἱ δὲ, πανταχόθεν προσῄεσαν αὐτῷ, νομίζοντες οὐ διὰ νόσον, ἀλλὰ βούλεσθαι αὐτόθι σχολὴν συστήσασθαι. ὧν ἦν καὶ Ἀρκεσίλαος, θέλων ὑπ' αὐτοῦ συστῆναι Πολέμωνι, καίπερ ἐρῶντος, ὡς ἐν τῷ περὶ Ἀρκεσιλάου λέξομεν. ἀλλὰ καὶ αὐτὸν ὑγιάναντα διακούειν Πολέμωνος· ἐφ' ᾧ καὶ μάλιστα θαυμασθῆναι. λέγεται δὲ καὶ τὴν οὐσίαν καταλιπεῖν Ἀρκεσιλάῳ, ταλάντων οὖσαν δυοκαίδεκα. καὶ ἐρωτηθέντα πρὸς αὐτοῦ ποῦ βούλεται ταφῆναι, εἰπεῖν,

Ἐν γῆς φίλοις μυχοῖσι κρυφθῆναι καλόν.

λέγεται δὲ καὶ ποιήματα γράψαι, καὶ ἐν τῇ πατρίδι ἐπὶ τῷ τῆς Ἀθηνᾶς ἱερῷ σφραγισάμενος αὐτὰ θεῖναι. καί φησι Θεαίτητος ὁ ποιητὴς οὑτωσὶ περὶ αὐτοῦ,

Ἥνδανεν ἀνθρώποις, ὁ δ' ἐπίπλεον ἥνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω.
Γῆ σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑποδέξῃ,

Ἥ ῥ᾽ ὅγε καὶ ζώει κεῖθι ἐν ἀθυμίῃ.

ἐθαύμαζε δὲ ὁ Κράντωρ πάντων δὴ μᾶλλον Ὅμηρον καὶ Εὐριπίδην, λέγων ἐργῶδες, ἐν τῷ κυρίῳ τραγικῶς ἅμα καὶ συμπαθῶς γράψαι. καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου,

Οἴμοι. τί δ᾽ οἴμοι; θνητά τοι πεπόνθαμεν.

λέγεται δὲ καὶ Ἀνταγόραν τὸν ποιητήν, ὡς Κράντορος εἰς ἔρωτα πεποιημένα φέρεσθαι ταυτί,

Ἐνδοίῃ μοι θυμὸς, ὅ τοι γένος ἀμφιβόητον,
Ἤ σε θεῶν τὸν πρῶτον ἀειγενέων ἔρος εἴπω,
Τῶν ὅσσους Ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
Γείνατο νὺξ, πελάγεσσιν ὑπ᾽ εὐρέος Ὠκεανοῖο·
Ἢ σέ γε Κύπριδος υἷα περίφρονος, ἠέ σε γαίης
Ἢ ἀνέμων τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι
Ἀνθρώποις ἠδ᾽ ἐσθλά, τὸ καὶ σέο σῶμα διφυόν.

ἦν δὲ καὶ δεινὸς ὀνοματοποιῆσαι. τραγῳδὸν γοῦν ἀπελέκητον εἶπεν ἔχειν φωνήν, καὶ φλοιοῦ μεστήν. καὶ τινος ποιητοῦ σκίφης μεστοὺς εἶναι τοὺς στίχους· καὶ τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι. θαυμάζεται δὲ αὐτοῦ μάλιστα βιβλίον τὸ περὶ πένθους. καὶ κατέστρεψε πρὸ Πολέμωνος καὶ Κράτητος, ὑδρωπικῇ διαθέσει νοσήσας. καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν,

Ἐπέκλυσε καί σε, Κράντωρ, ἡ νόσων κακίστη,
Χ᾽ οὕτω κατῆλθες εἰς μέλαιναν Πλουτέως ἄβυσσον.
Καὶ σὺ μὲν ἐκεῖθι νῦν χαίρεις, σῶν λόγων δὲ
Χήρη ἔστηκεν Ἀκαδημία, καὶ Σόλοι, πατρὶς σεῦ.

## ἈΡΚΕΣΊΛΑΟΣ.

Ἀρκεσίλαος, Σεύθου, ἢ Σκύθου (ὡς Ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν) Πιταναῖος τῆς Αἰολίδος· οὗτός ἐστιν ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας πρῶτος, ἐπισχὼν τὰς

ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων. πρῶτος δὲ καὶ ἐς ἑκάτερον ἐπεχείρησε, καὶ πρῶτος τὸν λόγον ἐκίνησε τὸν ὑπὸ Πλάτωνος παραδεδομένον· καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως ἐριστικώτερον. παρέβαλε δὲ Κράντορι τοῦτον τὸν τρόπον. τέταρτος ἀδελφὸς ἦν ὧν εἶχε, δύο μὲν ὁμοπατρείους, δύο δὲ ὁμομητρείους. καὶ τῶν μὲν ὁμομητρείων πρεσβύτερον Πυλάδην, τῶν δὲ ὁμοπατρείων Μοιρέαν, ὃς ἦν αὐτῷ ἐπίτροπος. ἤκουσε δὲ κατ' ἀρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ, πολίτου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, μεθ' οὗ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ· μεθ' ὃν Θεοφράστου διήκουσεν. ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράντορα. Μοιρέας μὲν γὰρ, ὁ προειρημένος ἀδελφὸς, ἦγεν αὐτὸν ἐπὶ ῥητορικήν· ὁ δὲ φιλοσοφίας ἤρα. καὶ αὐτοῦ Κράντωρ ἐρωτικῶς διατεθεὶς, ἐπείθετο, τὰ ἐξ Ἀνδρομέδης Εὐριπίδου προσενεγκάμενος,

Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν;

καὶ ὃς τὰ ἐχόμενα,

Ἄγου με (ὦ ξένε) εἴτε δμῶτ' ἐθέλεις, εἴτ' ἄλοχον.

ἐκ τούτου συνήστην ἀλλήλοιν. ἵνα καὶ τὸν Θεόφραστον κνιζόμενον φασὶν εἰπεῖν, ὡς εὐφυὴς καὶ εὐεπιχείρητος ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος. καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέστατος καὶ φιλογράμματος ἱκανῶς γενόμενος, ἥπτετο καὶ ποιητικῆς. καὶ αὐτοῦ φέρεται ἐπιγράμματα εἰς Ἄτταλον οὕτως ἔχοντα,

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵπποις
Πολλάκις αὐδᾶται Πίσαν ἀνὰ ζαθέην.
Εἰ δὲ τὸν ἐκ Διόθεν θεμιτὸν θνατῶν νόον εἰπεῖν,
Ἔσσεται εἰσαῦθις πολλὸν ἀοιδοτέρη.

ἀλλὰ καὶ εἰς Μηνόδωρον τὸν Εὐδάμου ἑνὸς τῶν συσχολαστῶν ἐρώμενον,

Τηλοῦ μὲν Φρυγίη, τηλοῦ δ' ἱερὴ Θυάτειρα,

Ὦ Μηνόδωρε, σὴ πατρὶς Καδανάδη.

Ἀλλὰ γὰρ εἰς Ἀχέροντα, τὸν οὐ φατὸν, ἶσα κέλευθα,
Ὡς ξυνὸς ἀνδρῶν πάντοθεν μετρεύμενα.
Σῆμα δέ τοι τόδ' ἔρεξεν ἀειφραδὲς Εὔδαμος, ᾧ σὺ
Πολλῶν πενεστέων ἦσθα προσφιλέστερος.

ἀπεδέχετο δὲ πάντων μᾶλλον Ὅμηρον, οὗ καὶ εἰς ὕπνον ἰὼν πάντως τι ἀνεγίνωσκεν. ἀλλὰ καὶ ὄρθρου λέγων ἐπὶ τὸν ἐρώμενον ἀπιέναι, ὁπότ' ἂν βούλοιτο ἀναγνῶναι. τόν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι, καὶ ὀνομάτων καὶ ῥημάτων ἀπειρίαν παρασχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήριζε νέος ὤν. διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι. τοῦτον καὶ παρακόψαντα ἀναλαβὼν οἴκοι, ἐς τοσοῦτον ἐθεράπευσεν, ἐς ὅσον ἀποκαταστῆσαι. Κράτητος δὲ ἐκλιπόντος κατέσχε τὴν σχολὴν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. διὰ δὲ τὸ περὶ πάντων ἐπέχειν, οὐδὲ βιβλίον (φασὶ) τι συνέγραψεν. οἱ δὲ, ὅτι ἐφωράθη τινὰ κατορθῶν, ἅ φασιν οἱ μὲν ἐκδοῦναι, οἱ δὲ, κατακαῦσαι. ἐῴκει δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα, καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῦ. ἀλλὰ καὶ τὸν Πύρρωνα, κατά τινας, ἐζηλώκει· καὶ τῆς διαλεκτικῆς εἴχετο, καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων. ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος,

Πρόσθε Πλάτων, ὄπιθεν δὲ Πύρρων, μέσσος Διόδωρος.

καὶ ὁ Τίμων ἐπ' αὐτοῦ φησὶν οὕτως,

Τῇ γὰρ ἔχων Μενέδημος ὑπὸ στέρνοισι μόλυβδον
Θήσεται, ἢ Πύρρωνα τὸ πᾶν κρέας, ἢ Διόδωρον.

καὶ διαλιπὼν αὐτὸν ποιεῖ λέγοντα,

Νήξομαι εἰς Πύρρωνα, καὶ εἰς σκολιὸν Διόδωρον.

ἦν δὲ ἀξιωματικώτατος καὶ συνηγμένος, καὶ ἐν τῇ λαλιᾷ

διαστατικὸς τοῦ νοῦ. ἐπισκώπτης θ' ἱκανῶς καὶ παρρησιαστής. διὸ καὶ πάλιν ὁ Τίμων οὑτωσὶ περὶ αὐτοῦ,

Καὶ νέον οὐ λήσεις ἐπιπλήξεσιν ἐγκαταμιγνύς.

ὅθεν καὶ πρὸς τὸν θρασύτερον διαλεγόμενον νεανίσκον, Οὐ λήψεταί τις (ἔφη) τοῦτον ἀστραγάλῳ; πρὸς δὲ τὸν αἰτίαν ἔχοντα περαίνεσθαι, ὡς ἀνήνεγκεν αὐτῷ ὅτι οὐ δοκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι, ἠρώτησεν εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου. Ἡμονος δέ τινος Χίου ἀειδοῦς ὄντος, καὶ ὑπολαμβάνοντος εἶναι καλοῦ, καὶ ἐν χλανίσιν ἀεὶ ἀναστρεφομένου, εἰπόντος δὲ οὐ δοκεῖ αὐτῷ σοφὸς ἐρασθήσεσθαι, ἔφη, Πότερον ἐὰν οὐδὲ οὕτω καλὸς ᾖ τις ὥσπερ σύ, οὐδὲ αὖ οὕτω καλὰ ἱμάτια ἔχῃ; ἐπεὶ δὲ καὶ παρακίναιδος ὢν ὡς εἰς βαρὺν τὸν Ἀρκισίλαον ἔφη,

Ἔξεστ' ἐρωτᾶν πότνι', ἢ σιγὴν ἔχειν;

ἔφη ὑπολαβών, Γύναι

Τί μοι τραχεῖα καὶ οὐκ εἰθισμένως λαλεῖς;

στωμύλου δὲ ἀγεννοῦς προβλήματα αὐτῷ παρέχοντος, ἔφη,

Ἀκόλασθ' ὁμιλεῖν γίνεται δούλων τέκνα.

λάλου δὲ πολλὰ φλυαροῦντος, οὐδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη. τισὶ δὲ οὐδὲ ἀπεκρίνετο. πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον, εἰπόντα τι ἀγνοεῖν, ἔφη,

Λήθουσι γάρ τοι καὶ ἀνέμων διέξοδοι
Θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους. πρὸς Ἀλεξῖνον τινὰ διαλεκτικόν, μὴ δυνάμενον κατ' ἀξίαν τὴν Ἀλεξίνου τι διηγήσασθαι, τὸ Φιλοξένῳ πρὸς τοὺς πλινθιακοὺς πραχθὲν εἶπεν. ἐκεῖνος γὰρ τὰ αὐτοῦ κακῶς ᾄδοντας τούτους καταλαβών, αὐτὸς τὰς πλίνθους αὐτῶν συνεπάτησεν εἰπών, Ὡς ὑμεῖς τὰ ἐμὰ διαφθείρετε, κἀγὼ τὰ ὑμέτερα. ἤχθετο οὖν δὴ τοῖς μὴ καθ' ὥραν τὰ μαθήματα ἀνειληφόσι. φυσικῶς δέ πως ἐν τῷ διαλέγεσθαι ἐχεῖτο τοῦ,

ρημ' ἐγώ· καὶ, Οὐ συγκαταθήσεται τοῦτις ὁ δεῖνα· εἰπὼν
ὀνόματι. ὃ καὶ πολλοὶ τῶν μαθητῶν ἐζήλουν, καὶ τὴν ῥη-
τορείαν καὶ πᾶν τὸ σχῆμα. ἦν δὲ καὶ εὑρησιλογώτατος
ἀπαντῆσαι εὐστόχως, καὶ ἐπὶ τὸ προκείμενον ἀνενεγκεῖν
τὴν περίοδον τῶν λόγων, καὶ ἅπαντι συναρμόσασθαι και-
ρῷ. πιστικός τε ὑπὲρ πάνθ' ὁντινοῦν. παρὸ καὶ πλείους πρὸς
αὐτὸν ἀπήντων εἰς τὴν σχολὴν, καίπερ ὑπὸ ὀξύτητος αὐ-
τοῦ ἐπιπληττόμενοι. ἀλλ' ἔφερον ἡδέως· καὶ γὰρ ἦν ἀγαθὸς
σφόδρα, καὶ ἐλπίδων ὑπεπίμπλα τοὺς ἀκούοντας. ἔν
τε τῷ βίῳ κοινωνικώτατος ἐγένετο· καὶ εὐεργετῆσαι πρό-
χειρος ἦν, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος. εἰσελθὼν
γοῦν ποτε πρὸς Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ἀπορίᾳ θλι-
βόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ.
καὶ ὃς εὑρὼν, Ἀρκεσιλάου (φησὶ) τὸ παίγνιον. ἀλλὰ καὶ ἄλλο-
τε χιλίας ἀπέστειλεν. Ἀρχίαν δὲ τὸν Ἀρκάδα Εὐμένει συ-
στήσας, πολλῆς ἐποίησε τυχεῖν τῆς ἀξίας. ἐλευθέριός τε ὢν
καὶ ἀφιλαργυρώτατος εἰς τὰς ἀργυρικὰς δείξεις ἀπήντα
πρῶτος, καὶ ἐπὶ τὴν Ἀρχεκράτους καὶ Καλλικράτους, τὰς
χρυσίας παντὸς ἔσπευδε μᾶλλον. συχνοῖς τε ἐπήρκει καὶ
συνηράνιζε. καί ποτέ τινος ἀργυρώματα λαβόντος εἰς
ὑποδοχὴν φίλων, καὶ ἀποστεροῦντος, οὐκ ἀπῄτησεν, οὐδὲ
προσεποιήθη. οἱ δὲ φασὶν ἐπίτηδες χρῆσαι, καὶ ἀποδιδόν-
τος, ἐπεὶ πένης ἦν, χαρίσασθαι. ἦν μὲν οὖν αὐτῷ καὶ ἐν
Πιτάνῃ περιουσία, ἀφ' ἧς ἀπέστειλεν αὐτῷ Πυλάδης ὁ ἀ-
δελφός. ἀλλὰ καὶ ἐχορήγει αὐτῷ πολλὰ Εὐμένης ὁ τοῦ Φιλε-
ταίρου. διὸ καὶ τούτῳ μόνῳ τῶν ἄλλων βασιλέων προσε-
φώνει. πολλῶν δὲ καὶ τὸν Ἀντίγονον θεραπευόντων, καὶ
ὅτε ἥκοι ἀπαντώντων, αὐτὸς ἡσύχαζε, μὴ βουλόμενος
προεμπίπτειν εἰς γνῶσιν. φίλος τε ἦν μάλιστα Ἱεροκλεῖ τῷ
τὴν Μουνυχίαν ἔχοντι καὶ τὸν Πειραιᾶ. ἔν τε ταῖς ἑορταῖς
κατῄει πρὸς αὐτὸν ἑκάστοτε. καὶ δὴ καὶ πολλὰ ἐκείνου
συμπείθοντος ὥστε ἀσπάσασθαι τὸν Ἀντίγονον, οὐκ ἐπείσθη

ἀλλὰ ἕως πυλῶν ἐλθὼν ἀνέστρεψε. μετά τε τὴν Ἀντιγόνου ναυμαχίαν πολλῶν προσιόντων, καὶ ἐπιστόλια παρακλητικὰ γραφόντων, αὐτὸς ἐσιώπησεν. ἀλλ' οὖν ὅμως ὑπὸ τῆς πατρίδος εἰς Δημητριάδα ἐπρέσβευσε πρὸς Ἀντίγονον, καὶ οὐκ ἐπέτυχε. τὸ πᾶν δὴ διέτριβεν ἐν τῇ Ἀκαδημίᾳ, τὸν πολιτισμὸν ἐκτοπίζων. καί ποτε καὶ δὴ καὶ Ἀθήνησιν ἐν τῷ Πειραιεῖ πρὸς τὰς θέσεις λέγων ἐχρόνισεν, οἰκείως ἔχων πρὸς Ἱεροκλέα. ἐφ' ᾧ καὶ πρός τινων διεβάλλετο. πλυτελὴς δὲ ἄγαν ὢν, (καὶ τί γὰρ ἄλλο ἢ ἕτερος Ἀρίστιππος;) ἐπὶ τὰ δεῖπνα πρὸς τοὺς ὁμοιοτρόπους μὲν, πλὴν ἀλλ' ἀπήντα. καὶ Θεοδότῃ τε καὶ Φιλαίτῃ Ἠλείαις ἑταίραις συνῴκει φανερῶς, καὶ πρὸς τοὺς διασύροντας προσεφέρετο τὰς Ἀριστίππου χρείας. φιλομειράκιός τε ἦν καὶ καταφερής. ὅθεν οἱ περὶ Ἀρίστωνα τὸν Χῖον Στωϊκοὶ ἐπεκάλουν αὐτὸν, φθορέα τῶν νέων, καὶ κιναιδολόγον καὶ θρασὺν ἀποκαλοῦντες. καὶ γὰρ καὶ Δημητρίου τοῦ πλεύσαντος εἰς Κυρήνην, ἐπὶ πλέον ἐρασθῆναι λέγεται, καὶ Λεωχάρους τοῦ Μυρλεανοῦ. ἐφ' ᾧ καὶ πρὸς τοὺς κωμάσαντας εἰπεῖν, αὐτὸς μὲν θέλειν ἀνοῖξαι, ἐκεῖνον δὲ διακωλύειν. τούτου δὲ ἤρων καὶ Δημοχάρης ὁ Λάχητος καὶ Πυθοκλῆς ὁ τοῦ Βουγέλου· οἷς καταλαβὼν, ὑπ' ἀνεξικακίας παραχωρεῖν ἔφη. διὰ ταῦτα δὴ οὖν ἔδακνόν τε αὐτὸν οἱ προειρημένοι καὶ ἐπέσκωπτον, ὡς φίλοχλον καὶ φιλόδοξον. μάλιστα δὲ ἐπετίθεντο αὐτῷ παρὰ Ἱερωνύμῳ τῷ περιπατητικῷ, ὁπότε συνάγοι τοὺς φίλους ἐς τὴν Ἀλκυονέως τοῦ Ἀντιγόνου υἱοῦ ἡμέραν, εἰς ἣν ἱκανὰ χρήματα ἀπέστειλεν ὁ Ἀντίγονος πρὸς ἀπόλαυσιν. ἔνθα καὶ παραιτούμενον ἑκάστοτε τὰς ἐπικυλικείους διηγήσεις μὴ πρὸς ἀείδηλον προτείνοντά τι θεώρημα, καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν εἰπεῖν, Ἀλλ' αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων ἐπίστασθαι. εἰς δὲ τὸ διαβαλλόμενον αὐτῷ φίλοχλον καὶ Τίμων τά τε ἄλλα φησὶν, ἀτὰρ δὴ τοῦτον τὸν τρόπον·

ὣς εἰπὼν, ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
Οἱ δέ μιν ἠύτε γλαῦκα περιεσπίζα, τερατοῦντο
Ἠλέματιν δεικνύντες. ὅτι οὕνεκεν ὀχλοαρέσκης
Οὐ μέγα πρῆγμα τάλας τί πλατύνεαι, ἠλίθιος ὤν;

ἦν μὴν ἀλλ' οὕτως ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς πα-
ήνει καὶ ἄλλων ἀκούειν. καί τινος Χίου νεανίσκου μὴ
ἀρεσκομένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου τοῦ προει-
ημένου, αὐτὸς ἀπαγαγὼν συνέστησε τῷ φιλοσόφῳ, παραι-
έσας εὐτακτεῖν. χάριεν δ' αὐτοῦ φέρεται κἀκεῖνο.
ρὸς τὸν πυθόμενον διὰ τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνου-
ν εἰς τὴν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε·
φη, Ἐκ μὲν γὰρ ἀνδρὸς γάλλοι γίνονται, ἐκ δὲ γάλλων ἄν-
ρες οὐ γίνονται. λοιπὸν δὲ, πρὸς τῷ τέλει γινόμενος ἅ-
ντα κατέλιπε Πυλάδῃ τῷ ἀδελφῷ τὰ αὐτοῦ· ἀνθ' ὧν
Χῖον αὐτὸν προήγαγε τὸν Μοιρέαν λανθάνων, κἀκεῖ-
νεἰς Ἀθήνας ἀπήγαγε. περιὼν δὲ οὔτε γυναῖκα ἐπηγά-
το, οὔτε ἐπαιδοποιήσατο. τρεῖς τε διαθήκας ποιησάμε-
ς ἔθετο, τὴν μὲν ἐν Ἐρετρείᾳ, πρὸς Ἀμφίκριτον· τὴν δὲ
θήνησι, παρά τινας τῶν φίλων· τὴν δὲ τρίτην ἀπέστειλεν
ς οἶκον, πρὸς Θαυμασίαν ἕνα τινὰ τῶν ἀναγκαίων, ἀ-
ιώσας διατηρῆσαι· πρὸς ὃν καὶ γράφει ταυτί,

Ἀρκεσίλαος Θαυμασίᾳ χαίρειν.

Δέδωκα Διογένει διαθήκας ἐμαυτοῦ κομίσαι πρὸς σέ·
ὰ γὰρ τὸ πολλάκις ἀρρωστεῖν, καὶ τὸ σῶμα ἀσθενῶς ἔχειν,
δοξέ μοι διαθέσθαι, ἵν' εἴ τι γένοιτο ἀλλοῖον, μή τι σε ἠ-
κηκὼς ἀπίω, τὸν εἰς ἐμὲ ἐκτενῶς οὕτω πεφιλοτιμημέ-
ν. ἀξιοπιστότατος δ' εἶ τῶν ἐνθάδε σύ μοι τηρεῖν αὐτάς,
ά τε τὴν ἡλικίαν καὶ τὴν πρὸς ἡμᾶς οἰκειότητα. πειρῶ
ῦν μεμνημένος διότι σοι πίστιν τὴν ἀναγκαιοτάτην παρα-
κατατίθεμαι, δίκαιος ἡμῖν εἶναι, ὅπως ὅσον ἐπὶ σοὶ τὰ κατ'
μὲ εὐσχημόνως ᾖ μοι διῳκημένα. κεῖνται δὲ Ἀθήνησιν

αὗται παρά τισι τῶν γνωρίμων, καὶ ἐν Ἐρετρίᾳ παρ' Ἀμφικρίτῳ.

ἐτελεύτησε δὲ (ὥς φησιν Ἕρμιππος) ἄκρατον ἐμφορηθεὶς πολὺν, καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστὸν, ἀποδεχθεὶς παρ' Ἀθηναίων ὡς οὐδείς. ἔ[στι] καὶ εἰς τοῦτον ἡμῶν,

Ἀρκεσίλαε τί μοι, τί τοσοῦτον ἄκρητον ἀφειδῶς
Ἔσπασας ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἑῶν;
Οἰκτείρω σ' οὐ τόσσον ἐπεὶ θάνες, ἀλλ' ὅτι μούσας
Ὕβρισας, οὐ μετρίῃ χρησάμενος κύλικι.

γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρκεσίλαοι· ποιητὴς ἀρχαίας κωμῳδίας· ἄλλος, ἐλεγείας· ἕτερος, ἀγαλματοποιὸς, εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα τουτί,

Ἀρτέμιδος τόδ' ἄγαλμα. διηκόσιαι γὰρ ὁ μισθὸς
Δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημ' ἄρατος.
Ἀσκητὸς δ' ἐποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

ὁ δὲ προειρημένος φιλόσοφος (καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς) ἤκμαζε περὶ τὴν εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

## ΒΙΩΝ.

Βίων, τὸ μὲν γένος ἦν Βορυσθενίτης, ὧν τινων δὲ γονέων καὶ ἀφ' οἵων πραγμάτων ἦξεν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διασαφεῖ. ἐρομένου γὰρ αὐτὸν,

Τίς; πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;

αἰσθόμενος ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτὸν, Ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος, (διεδήλου δὲ τὸν ταριχέμπορον) γένος Βορυσθενίτης, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον. μήτηρ δὲ, οἵαν ὁ τοιοῦτος ἂν

ήμαι, ἀπ' οἰκήματος. ἔπειτα ὁ πατὴρ παρατελωνησάμε-
ός τι, πανοίκιος ἐπράθη μεθ' ἡμῶν. καί με ἀγοράζει
ις ῥήτωρ νεώτερον ὄντα καὶ εὔχαριν· ὃς καὶ ἀποθνήσκων
ατέλιπέ μοι πάντα. κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγ-
ράμματα καὶ πάντα συγξύσας, Ἀθήναζε ἦλθον καὶ ἐ-
ιλοσόφησα,

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

ῦτά ἐστι τὰ κατ' ἐμέ. ὥστε παυσάσθωσαν Περσαῖός
ε καὶ Φιλωνίδης ἱστοροῦντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ.
αὶ ἦν ὡς ἀληθῶς ὁ Βίων τὰ μὲν ἄλλα πολύτροπος καὶ
οφιστὴς ποικίλος, καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βου-
ομένοις καθιππάζεσθαι φιλοσοφίας· ἔν τισι δὲ καὶ πότι-
ος, καὶ ἀπολαῦσαι τύφου δυνάμενος. πλεῖστά τε κατα-
έλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγματα χρειώ-
η πραγματείαν ἔχοντα. οἷον, ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θη-
ρᾶσαι μειράκιον, οὐχ οἷόν τε εἶπεν ἁπαλὸν τυρὸν ἀγκί-
στρῳ ἐπισπᾶσθαι. ἐρωτηθείς ποτε τίς μᾶλλον ἀγωνιᾷ,
φη, Ὁ τὰ μέγιστα βουλόμενος εὐημερεῖν. ἐρωτηθεὶς εἰ
γήμαι (ἀναφέρεται γὰρ καὶ τοῦτο εἰς αὐτὸν ἔφη) Ἐὰν
μὲν γήμῃς αἰσχρὰν, ἕξεις ποινήν· ἂν δὲ καλὴν, ἕξεις κοι-
νήν. τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ
γοῦν πάντα καταφεύγειν. τὴν δόξαν, ἐτῶν μητέρα εἶναι.
τὸ κάλλος, ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον, νεῦρα πραγ-
μάτων. πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, Τὸν μὲν Ἀμ-
φιάραον (ἔφη) ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. μέγα κα-
κὸν, τὸ μὴ δύνασθαι φέρειν κακόν. κατεγίνωσκε δὲ καὶ
τῶν τοὺς ἀνθρώπους κατακαόντων μὲν ὡς ἀναισθήτους,
παρακαόντων δὲ ὡς αἰσθανομένους. ἔλεγε δὲ συνεχὲς ὅ-
τι αἱρετώτερόν ἐστι τὴν ὥραν ἄλλῳ χαρίζεσθαι, ἢ ἀλλοτρίας
ἀποδρέπεσθαι. καὶ γὰρ εἰς σῶμα βλάπτεσθαι καὶ εἰς ψυχήν.
διέβαλε δὲ καὶ τὸν Σωκράτην, λέγων, ὡς εἰ μὲν εἶχεν
Ἀλκιβιάδου χρείαν, καὶ ἀπείχετο, μάταιος ἦν· εἰ δὲ

μὴ εἶχεν, οὐδὲν ἐποίει παράδοξον. εὔκολον ἔφασκε τὴν εἰς ἅδου ὁδόν. καταμύοντας γοῦν ἀπιέναι. τὸν Ἀλκιβιάδην μεμφόμενος ἔλεγεν, ὡς νέος μὲν ὢν, τοὺς ἄνδρας ἀπάγοι τῶν γυναικῶν· νεανίσκος δὲ γενόμενος, τὰς γυναῖκας τῶν ἀνδρῶν. ἐν Ῥόδῳ τὰ ῥητορικὰ διασκούντων Ἀθηναίων, τὰ φιλοσοφούμενα ἐδίδασκε. πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη, Πυροὺς ἐκόμισα, καὶ κριθὰς πωλῶ. ἔλεγε τοὺς ἐν ἅδου μᾶλλον ἂν κολάζεσθαι εἰ ὁλοκλήροις καὶ μὴ τετρημμένοις ἀγγείοις ὑδροφόρουν. πρὸς τὸν ἀδολέσχην, λιπαροῦντα συλλαβέσθαι αὐτῷ, Τὸ ἱκανόν σοι ποιήσω (φησὶν) ἐὰν παρακλήτους πέμψῃς, καὶ αὐτὸς μὴ ἔλθῃς. πλέων μετὰ πονηρῶν, λῃσταῖς περιέπεσε. τῶν δὲ, Ἀπολώλαμεν, εἰπόντων, ἐὰν γνωσθῶμεν· Ἐγὼ δὲ, (φησὶν) ἐὰν μὴ γνωσθῶμεν. τὴν δὲ οἴησιν ἔλεγε προκοπῆς ἐγκοπήν. πρὸς πλούσιον μικρολόγον, Οὐχ οὗτος (ἔφη) τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον. ἔλεγε τοὺς μικρολόγους, τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι· ὡς δὲ ἐξ ἀλλοτρίων, μηδὲν ὠφελεῖσθαι. τῇ μὲν ἀνδρείᾳ νέους ὄντας ἔφη χρῆσθαι, τῇ δὲ φρονήσει γηράσκοντας ἀκμάζειν. τοσοῦτον διαφέρειν τὴν φρόνησιν τῶν ἄλλων ἀρετῶν, ὅσον τὴν ὅρασιν τῶν ἄλλων αἰσθήσεων. μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὸ γῆρας, Εἰς ὃ (ἔφη) πάντες εὐχόμεθα ἐλθεῖν. πρὸς βάσκανον ἐσκυθρωπακότα, Οὐκ οἶδα (ἔφη) πότερόν σοι κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν. τὴν δυσσέβειαν πονηρὸν ἔλεγεν εἶναι σύνοικον τῇ παρρησίᾳ.

Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομός τις ᾖ.

τοὺς φίλους, ὁποῖοι ἂν ὦσι, συντηρεῖν· ἵνα μὴ δοκοίημεν πονηροῖς κεχρῆσθαι, ἢ χρηστοὺς παρῃτῆσθαι. οὗτος τὴν ἀρχὴν μὲν παρῃτεῖτο τὰ Ἀκαδημαϊκά, καθ' ὃν χρόνον ἤκουε Κράτητος· εἶτ' ἀνείλετο τὴν Κυνικὴν ἀγωγήν, λαβὼν τρίβωνα καὶ πήραν. καὶ τί γὰρ ἄλλο μετεσκεύασεν αὐτὸν πρὸς ἀπάθειαν. ἔπειτα ἐπὶ τὰ Θεοδώρεια μετῆλθε, δι

ἀκούσας Θεοδώρου τοῦ ἀθέου κατὰ πᾶν εἶδος λόγου σοφιστεύον
τος· μεθ' ὃν Θεοφράστου διήκουσε τοῦ περιπατητικοῦ. ἦν δὲ
καὶ θεατρικὸς, καὶ πολὺς ἐν τῷ γελοίῳ διαφορῆσαι, φορτι-
κοῖς ὀνόμασι κατὰ τῶν πραγμάτων χρώμενος. διὰ δὴ οὖν
τὸ παντὶ εἴδει λόγου κεκρᾶσθαι, φασὶ λέγειν ἐπ' αὐτοῦ τὴν
Ἐρατοσθένην, ὡς πρῶτος Βίων τὴν φιλοσοφίαν ἀνθινὰ
ἐνέδυσεν. εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ
καὶ ταῦτα,

Ὦ πέπον Ἀρχύτα, ψαλληγενὲς, ὀλβιότυφε,

Τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρότατ' ἀνδρῶν.

καὶ ὅλως καὶ μουσικὴν καὶ γεωμετρίαν διέπαιζεν. ἦν δὲ
πολυτελής· καὶ διὰ τοῦτο πόλιν ἐκ πόλεως ἤμειβεν, ἐνίοτε
καὶ φαντασίαν ἐπιτεχνώμενος. ἐν γοῦν Ῥόδῳ τοὺς ναύτας
ἔπεισε σχολαστικὰς ἐσθῆτας ἀναλαβεῖν, καὶ ἀκολουθῆσαι
αὐτῷ. σὺν οἷς εἰσβάλλων εἰς τὸ γυμνάσιον, περίβλεπτος ἦν.
εἰώθει τε νεανίσκων τινῶν υἱοθεσίας ποιεῖσθαι, καὶ εἰς τὸ
ἀποχρῆσθαι αὐτοῖς ἔς τε τὰς ἡδονὰς, καὶ ὥστε φυλάττε-
σθαι ὑπ' εὐνοίας αὐτῶν. ἀλλὰ καὶ φίλαυτος ἦν ἰσχυ-
ρῶς, καὶ πολὺς ἐγκείμενος τῷ Κοινὰ τὰ φίλων. παρ' ὃ καὶ
οὐδεὶς μαθητὴς αὐτοῦ ἐπιγράφεται, τοσούτων αὐτῷ σχολα-
σάντων. καίτοι τινὰς εἰς ἀναισχυντίας προῆγεν. ὁ γοῦν
Βητίων, εἷς τῶν συνήθων αὐτοῦ, πρὸς Μενέδημόν ποτε λέ
γεται εἰπεῖν. Ἐγώ τοι, (ὦ Μενέδημε) νύκτωρ συνδέομαι
Βίωνι καὶ οὐδὲν ἄτοπον δοκῶ γε πεπονθέναι. πολλὰ δὲ καὶ
ἀθεώτερον προσεφέρετο τοῖς ὁμιλοῦσι, τοῦτο Θεοδώρειον
ἀπολαύσας. καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, (ὡς ἔφα-
σκον οἱ ἐν Χαλκίδι. αὐτόθι γὰρ καὶ κατέστρεψε,) περίαπτα λα-
βεῖν ἐπείσθη, καὶ μεταγινώσκειν ἐφ' οἷς ἐπλημμέλησεν
εἰς τὸ θεῖον. ἀπορείᾳ δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διετέ-
θετο, ἕως Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστειλε. καὶ
ἠκολούθει γε αὐτῷ ἐν φορείῳ, καθά φησι Φαβωρῖνος ἐν
Παντοδαπῇ ἱστορίᾳ. ἀλλὰ καὶ ὣς κατέστρεψε, καὶ ἡμεῖς

αὐτὸν οὕτως ἠπασάμεθα,

Βίωνα τὸν Βορυσθενίτην,
Ὃν ἔφυσεν ἡ Σκυθὶς αἶα,
Λέγειν ἀκούομεν θεοὺς
Ὡς οὐδέν εἰσιν ὄντως.
Κ'εἰ μὲν τὸ δόγμα τοῦτ' ἔχων
Ἔμμενεν, ἦν ἂν εἰκὸς
Λέγειν, φρονεῖν ὅπως δοκεῖ.
Κακῶς μὲν, ἀλλ' ἔδοξε.
Νῦν δ' ἐς νόσον πεσὼν μακρὰν,
Καὶ, μὴ θάνῃ δεδοικὼς,
Ὁ μὴ θεοὺς εἶναι λέγων,
Ὁ νηὸν οὐδὲ βλέψας,
Ὁ πολλὰ χλευάσας βροτοὺς,
Οἵπερ θεοῖς ἔθυον,
Οὐ μοῦνον ἐσχάρης ὕπερ,
Βωμῶν τε καὶ τραπέζης,
Κνίσῃ, λίπει, θυήμασι,
Θεῶν ἔδαισε ῥῖνας·
Οὐδ' εἶπε μοῦνον, Ἤλιτον,
Σύγγνωτε τοῖς πρίν· ἀλλὰ
Καὶ γραῒ δῶκεν εὐμαρῶς
Τράχηλον εἰς ἐπῳδὴν
Καὶ σκυτίσιν βραχίονας
Πεπεισμένος ἔδησε·
Ῥάμνον τε καὶ κλάδον δάφνης
Ὑπὲρ θύρην ἔθηκεν.
Ἅπαντα μᾶλλον, ἢ θανεῖν,
Ἕτοιμος ὢν ὑπουργεῖν.
Μωρὸς δ' ὃς ἤθελεν τινος
Μισθοῦ τὸ θεῖον εἶναι,
Ὡς τῶν θεῶν ὄντων ὅταν

Βίων θέλη νομίζειν.
Τοιγδ μάτην φρονῶν, ὅτ' ἦν
Ἅπας ὁ λέμβος ἄνθραξ,
Τὴν χεῖρα τείνας, ὧδέ πως,
Χαῖρ' εἶπε, χαῖρε Πλουτεῦ.

γεγόνασι δ' Βίωνες δέκα· πρῶτος, ὁ Φερεκύδῃ τῷ Συρίῳ συνακμάσας, οὗ φέρεται βιβλία δύο· (ἔστι δ' Προκοννήσιος) δεύτερος, Συρακούσιος, τέχνας ῥητορικὰς γεγραφώς· τρίτος, ὁ αὐτὸς οὗτος· τέταρτος, Δημοκρίτειος, καὶ μαθηματικὸς Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι· (οὗτος πρῶτος εἶπεν εἶναι οἰκήσεις ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν) πέμπτος, Σολεύς, Αἰθιοπικὰ γεγραφώς· ἕκτος, ῥητορικός, οὗ φέρεται ἐννέα βιβλία Μουσῶν ἐπιγραφόμενα· ἕβδομος, μελικὸς ποιητής· ὄγδοος, Μιλήσιος ἀνδριαντοποιός, οὗ μέμνηται καὶ Πολέμων· ἔνατος, ποιητὴς τραγῳδίας τῶν Ταρσικῶν λεγομένων· δέκατος, ἀγαλματοποιὸς Κλαζομένιος, ἢ Χῖος· οὗ μέμνηται καὶ Ἱππῶναξ.

## ΛΑΚΥΔΗΣ.

Λακύδης Ἀλεξάνδρου, Κυρηναῖος· οὗτός ἐστιν ὁ τῆς νέας Ἀκαδημίας κατάρξας, Ἀρκεσίλαον διαδεξάμενος, ἀνὴρ σεμνότατος, καὶ οὐκ ὀλίγους ἐσχηκὼς ζηλωτάς. φιλόπονός τε ἐκ νέου, καὶ πένης μὲν, εὔχαρις δ' ἄλλως καὶ εὐόμιλος. τοῦτόν φασι καὶ περὶ οἰκονομίαν γλυκύτατα ἐσχηκέναι. ἐπειδὰν γάρ τι προέλοι τοῦ ταμείου, σφραγισάμενος πάλιν εἴσω τὸν δακτύλιον διὰ τῆς ὀπῆς ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη καί τι βασταχθείη τῶν ἀποκειμένων. μαθόντα δὴ τοῦτο τὰ θεραπόντια ἀπεσφράγιζε, καὶ ὅσα ἐβούλετο, ἐβάσταζεν· ἔπειτα τὸν δακτύλιον διὰ τῆς ὀπῆς ἵει εἰς τὴν στοάν· καὶ τοῦτο ποιοῦντα οὐδέποτε

ἐφωράθη. ὁ γοῦν Λακύδης ἐσχόλαζεν ἐν Ἀκαδημίᾳ ἐν τῷ κατασκευασθέντι κήπῳ ὑπὸ Ἀττάλου τοῦ βασιλέως· καὶ Λακύδειον ἀπ' αὐτοῦ προσηγορεύετο. καὶ μόνος τῶν ἀπ' αἰῶνος ζῶν παρέδωκε τὴν σχολὴν Τηλεκλεῖ καὶ Εὐάνδρῳ, τοῖς Φωκεῦσι. παρὰ δὲ Εὐάνδρου διεδέξατο Ἡγησίνους Περγαμηνὸς, ἀφ' οὗ Καρνεάδης. χάριεν δ' εἰς τὸν Λακύδην ἀναφέρεται. Ἀττάλου γὰρ αὐτὸν μεταπεμπομένου φασὶν εἰπεῖν, τὰς εἰκόνας πόρρωθεν δεῖν θεωρεῖσθαι. ὀψὲ δὲ αὐτῷ γεωμετροῦντι λέγει τις, Εἶτα νῦν καιρός; Εἶτα μηδὲ νῦν; ἐτελεύτησε δὲ σχολαρχεῖν ἀρξάμενος, τῷ τετάρτῳ ἔτει τῆς τετάρτης καὶ τριακοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος· τῆς σχολῆς ἀφηγησάμενος ἓξ πρὸς τοῖς εἴκοσιν ἔτη. ἡ τελευτὴ δὲ αὐτῷ, παράλυσις ἐκ πολυποσίας· καὶ αὐτῷ προσεπαίξαμεν ἡμεῖς οὕτωσι,

Καὶ σέο, Λακύδη, φάτιν ἔκλυον, ὡς ἄρα καὶ σὺ
 Βάκχον ἑλὼν, ἀΐδην ποσσὶν ἔσυρες ἄκροις.
Ἦ σαφὲς ἦν, Διόνυσος, ὅταν πολὺς ἐς δέμας ἔλθοι
 Λῦσε μέλη· διὸ δὴ μήτι Λυαῖος ἔφυ.

## ΚΑΡΝΕΑΔΗΣ.

Καρνεάδης, Ἐπικώμου ἢ Φιλοκώμου, (ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς) ὁ Κυρηναῖος. οὗτος τὰ τῶν Στωϊκῶν βιβλία ἀναγνοὺς, ἐπιμελῶς τὰ Χρυσίππου, ἐπιεικῶς αὐτοῖς ἀντέλεγε. καὶ ἐπημέρει τοσοῦτον, ὥστε ἐκεῖνο ἐπιλέγειν, Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν ἐγώ. Φιλόπονος δὲ ἄνθρωπος γέγονεν, εἰ καί τις ἄλλος· ἐν μὲν τοῖς φυσικοῖς ἧττον φερόμενος, ἐν δὲ τοῖς ἠθικοῖς μᾶλλον. ὅθεν καὶ ἐκόμα καὶ ἔτρεφεν ὄνυχας, ἀσχολίᾳ τῇ περὶ τοὺς λόγους. τοσοῦτον δὲ ἴσχυσεν ἐν φιλοσοφίᾳ, ὥστε καὶ τοὺς ῥήτορας ἀπολύσαντας ἐκ τῶν σχολῶν παρ' αὐτὸν ἰέναι, καὶ αὐτοῦ ἀκούειν. ἦν δὲ καὶ μεγαλοφωνότατος, ὥστε τὸν γυμνασίαρχον προσπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δ'

εἰπεῖν, Καὶ δὸς μέτρον φωνῆς. ὅθεν εὐστόχως ἑλόντα ἀμείψασθαι φάναι γὰρ, Μέτρον ἔχεις τοὺς ἀκούοντας. δεινός τε ἦν ἐπιπληκτικὸς, καὶ ἐν ταῖς ζητήσεσι δύσμαχος. τά τε δεῖπνα λοιπὸν παρῃτεῖτο διὰ τὰς προειρημένας αἰτίας. οὗτός ποτε Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος, καὶ παρ' αὐτὸν ἐλθόντος εἰς τὴν διατριβὴν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ (καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) μεταξὺ λέγων παρῴδησεν εἰς αὐτὸν,

Πωλεῖταί τις δεῦρο γέρων, ἅλιος, νημερτὴς,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
Τοῦτον σχολῆς τῆσδ' ἐκκεκηρῦχθαι λέγω.

καὶ ὃς ἀναστὰς ἔφη,

Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.

Δειλότερον δέ πως δοκεῖ περὶ τὴν τελευτὴν ἀνεστράφθαι, ὅτε συνεχὲς ἔλεγεν, Ἡ συστήσασα φύσις καὶ διαλύσει. μαθών τε Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς· καὶ φησὶ, Δότε οὖν κἀμοί. τῶν δ' εἰπόντων, Τί; Οἰνόμελι, εἰπεῖν. τελευτῶντος δ' αὐτοῦ φασὶν ἔκλειψιν γενέσθαι σελήνης, συμπάθειαν (ὡς ἂν εἴποι τις) αἰνιττομένης τοῦ μεθ' ἥλιον καλλίστου τῶν ἄστρων. φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς ἀπελθεῖν αὐτὸν ἐξ ἀνθρώπων, ἔτει τετάρτῳ τῆς δευτέρας καὶ ἑξηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιώσαντα ἔτη πέντε πρὸς τοῖς ὀγδοήκοντα. φέρονται δὲ αὐτοῦ ἐπιστολαὶ πρὸς Ἀριαράθην τὸν Καππαδοκίας βασιλέα. τὰ δὲ λοιπὰ αὐτοῦ οἱ μαθηταὶ συνέγραψαν. αὐτὸς δὲ κατέλιπε μηδέν. ἔστι καὶ εἰς τοῦτον ἡμῶν τῷ λογαοιδικῷ καὶ Ἀρχεβουλείῳ μέτρῳ,

Τί με Καρνεάδην, τί με, Μοῦσα, θέλεις ἐλέγχειν;
Ἀμαθὴς ὃς οὔτι κατεῖδεν ὅπως δεδοίκει
Τὸ θανεῖν· ὅτε καὶ φθισικὴν ποτ' ἔχων κακίστην
Νόσον, οὐκ ἤθελε λύσιν ἰσχέμεν· ἀλλ' ἀκούσας

Ὅτι φάρμακον Ἀντίπατρος πιὼν ἀπέσβη,
Δότε τοίνυν (ἔφησε) τί κἀμοὶ πιεῖν. τί μέντοι; τί;
Δότ' οἰνόμελι. σφόδρα τ' εἶχε πρόχειρα ταυτί.
Φύσις ἡ συνέχουσά με καὶ διαλύσεται δή.
Καὶ ὁ μὲν οὐδὲν ἔλασσον ἔβη κατὰ γῆς. ἐνῆν δὲ
Τὰ πλεῖω κακὰ κέρδε' ἔχοντα, μολεῖν εἰς ἀΐδην.

λέγεται καὶ τὰς ὄψεις νυκτὸς ὑποχυθῆναι, καὶ ἀγνοεῖν. κελεῦσαί τε τὸν παῖδα λύχνον ἅψαι. εἰσκομίσαντος δὲ καὶ εἰπόντος, Κεκόμικα, Οὐκοῦν (εἰπεῖν) σὺ ἀναγίνωσκε. τούτου πολλοὶ μὲν καὶ ἄλλοι γεγόνασι μαθηταὶ, ἐλλογιμώτατος δὲ Κλειτόμαχος· περὶ οὗ καὶ λεκτέον. γέγονε μέντοι καὶ ἄλλος Καρνεάδης, ἐλεγείας ποιητὴς ψυχρός.

## ΚΛΕΙΤΟΜΑΧΟΣ.

Κλειτόμαχος, Καρχηδόνιος. οὗτος ἐκαλεῖτο μὲν Ἀσδρούβας, καὶ τῇ ἰδίᾳ φωνῇ κατὰ τὴν πατρίδα ἐφιλοσόφει. ἐλθὼν δ' εἰς Ἀθήνας ἤδη τετταράκοντα ἔτη γεγονὼς, ἤκουσε Καρνεάδου. κἀκεῖνος ἀποδεξάμενος αὐτοῦ τὸ φιλόπονον, γράμματά τε ἐποίησε μαθεῖν, καὶ συνήσκει τὸν ἄνδρα. ὁ δὲ εἰς τοσοῦτον ἤλασεν ἐπιμελείας, ὥστε ὑπὲρ τὰ τετρακόσια βιβλία συνέγραψε. καὶ διεδέξατο τὸν Καρνεάδην, καὶ τὰ αὐτοῦ μάλιστα διὰ τῶν συγγραμμάτων ἐφώτισεν· ἀνὴρ ἐν ταῖς τρισὶν αἱρέσεσι διαπρέψας, ἔν τε τῇ Ἀκαδημαϊκῇ καὶ Περιπατητικῇ καὶ Στωϊκῇ. καθόλου δὲ τοὺς Ἀκαδημαϊκοὺς ὁ Τίμων οὕτω διασύρει,

Οὐδ' Ἀκαδημαϊκῶν πλατυρημοσύνης ἀναλίστου.

ἡμεῖς δὲ τοὺς Ἀκαδημαϊκοὺς τοὺς ἀπὸ Πλάτωνος διεληλυθότες, ἔλθωμεν ἐπὶ τοὺς ἀπὸ Πλάτωνος περιπατητικοὺς, ὧν ἦρξεν Ἀριστοτέλης.

# ΔΙΟΓΕ΄ΝΟΥΣ ΛΑΕΡτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ πέμπτον.

## ἈΡΙΣΤΟΤΕ΄ΛΗΣ.

ΑΡΙΣΤΟΤΕ΄ΛΗΣ, Νικομάχου καὶ Φαιστιάδος, Σταγειρίτης. ὁ δὲ Νικόμαχος ἦν ἀπὸ Νικομάχου τοῦ Μαχάονος, τοῦ Ἀσκληπιοῦ, καθά φησιν Ἕρμιππος ἐν τῷ περὶ Ἀριστοτέλους· καὶ συνεβίω Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ, ἰατροῦ καὶ φίλου χρείᾳ. ...ος γνησιώτατος τῶν Πλάτωνος μαθητῶν, τραυλὸς τὴν ...ωνήν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. ...ἀλλὰ καὶ ἰσχνοσκελὴς (φασὶν) ἦν, καὶ μικρόμματος· ἐσθῆ...ί τε ἐπισήμῳ χρώμενος, καὶ δακτυλίοις, καὶ κουρᾷ. ἔσχε ...δὲ καὶ υἱὸν Νικόμαχον ἐξ Ἑρπυλλίδος τῆς παλλακῆς, ὥς ...ησι Τιμόθεος. ἀπέστη δὲ Πλάτωνος ἔτι περιόντος· ὥστε ...ασὶν ἐκεῖνον εἰπεῖν, Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε, καθαπερεὶ τὰ πωλάρια γεννηθέντα τὴν μητέρα. φησὶ δὲ ...Ἕρμιππος ἐν τοῖς βίοις, ὅτι πρεσβεύοντος αὐτοῦ πρὸς Φί...λιππον ὑπὲρ Ἀθηναίων, σχολάρχης ἐγένετο τῆς ἐν Ἀκα...δημίᾳ σχολῆς Ξενοκράτης· ἐλθόντα δὴ αὐτὸν καὶ θεασά...μενον ὑπ' ἄλλῳ τὴν σχολήν, ἑλέσθαι περίπατον τὸν ἐν Λυ...κείῳ. καὶ μέχρι μὲν ἀλείμματος ἀνακάμπτοντα, τοῖς μαθηταῖς συμφιλοσοφεῖν, ὅθεν Περιπατητικὸν προσαγορευ-

θῆναι. οἱ δ', ὅτι ἐκ νόσου περιπατοῦντι Ἀλεξάνδρῳ, συμπαρὼν διελέγετο ἄττα· ἐπειδὴ δὲ πλείους ἐγίνοντο ἤδη, καὶ ἐκάθισεν, εἰπών,

Αἰσχρὸν σιωπᾶν, Ξενοκράτη δ' ἐᾶν λέγειν.

καὶ πρὸς θέσιν συνεγύμναζε τοὺς μαθητὰς, ἅμα καὶ ῥητορικῶς ἐπασκῶν. ἔπειτα μέντοι ἀπῆρε πρὸς Ἑρμείαν τὸν εὐνοῦχον, Ἀταρνέως ὄντα τύραννον, ὃν οἱ μὲν φασὶ παιδικὰ γενέσθαι αὐτοῦ· οἱ δὲ, καὶ κηδεῦσαι αὐτῷ, δόντα τὴν θυγατέρα ἢ ἀδελφιδῆν, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων. ὃς καὶ δοῦλον Εὐβούλου φησὶ γενέσθαι τὸν Ἑρμείαν, γένει Βιθυνὸν ὄντα, καὶ τὸν δεσπότην ἀνελόντα. Ἀρίστιππος δ' ἐν τῷ πρώτῳ περὶ παλαιᾶς τρυφῆς, φησὶν ἐρασθῆναι τὸν Ἀριστοτέλην παλλακίδος τοῦ Ἑρμείου. τοῦ δὲ συγχωρήσαντος, ἔγημέ τε αὐτὴν, καὶ ἔθυεν ὑπερχαίρων τῇ γυναίῳ, ὡς Ἀθηναῖοι τῇ Ἐλευσινίδι Δήμητρι. τῷ τε Ἑρμείᾳ Παιᾶνα ἔγραψεν, ὃς ἔνδον γέγραπται. ἐντεῦθέν τε γενέσθαι ἐν Μακεδονίᾳ παρὰ Φιλίππῳ, καὶ λαβεῖν μαθητὴν παρ' αὐτοῦ τὸν υἱὸν Ἀλέξανδρον· καὶ αἰτῆσαι ἀναστῆσαι αὐτοῦ τὴν πατρίδα κατασκαφεῖσαν ὑπὸ Φιλίππου, καὶ τυχεῖν· οἷς καὶ νόμους θεῖναι. ἀλλὰ καὶ ἐν τῇ σχολῇ νομοθετεῖν, μιμούμενον Ξενοκράτην· ὥστε κατὰ δέκα ἡμέρας ἄρχοντα ποιεῖν. ἐπειδὴ δὲ ἐδόκει ἐπιεικῶς αὐτῷ συγγεγενῆσθαι Ἀλεξάνδρῳ, ἀπῆρεν εἰς Ἀθήνας, συστήσας αὐτῷ τὸν συγγενῆ Καλλισθένη τὸν Ὀλύνθιον. ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ, καὶ μὴ πειθόμενον αὐτῷ, φασὶν ἐπιπλήξαντα εἰπεῖν,

Ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις.

καὶ δὴ καὶ ἐγένετο. δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς, ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι παραβληθεὶς, οὕτω κατέστρεψεν. ὁ δ' οὖν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς

-θήνας, καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτη, ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου, ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμείαν. ἀλλὰ καὶ ἐπίγραμμα ἐπὶ τοῦ ἐν Δελφοῖς ἀνδριάντος, τοιόνδε,

Τόνδε ποτ᾽ οὐχ ὁσίως, παραβὰς μακάρων θέμιν ἁγνήν,
  Ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς·
Οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
  Ἀλλ᾽ ἀνδρὸς πίστει χρησάμενος δολίου.

ἐνταῦθα δὴ πιὼν ἀκόνιτον ἐτελεύτησεν, ὥς φησιν Εὔμηλος ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν, βιοὺς ἔτη ἑβδομήκοντα. ὁ δ᾽ αὐτός φησιν αὐτὸν καὶ Πλάτωνι τριακοντούτην συστῆναι διαπίπτων. βεβίωκε γὰρ τρία μὲν πρὸς τοῖς ἑξήκοντα· Πλάτωνι δὲ ἑπτακαίδεκα ἔτη συνέστη. ὁ δὲ ὕμνος ἔχει τὸν τρόπον, Ἀρετὰ πολύμοχθε γένει βροτείῳ, θήραμα κάλλιστον βίῳ, σᾶς πέρι παρθένε μορφᾶς καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος, καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας. τοῖον ἐπὶ φρένα βάλλεις καρπὸν εἰς ἀθάνατον, χρυσοῦ τε κρεῖσσον καὶ γονέων, μαλακαυγητοῖό θ᾽ ὕπνου. σοῦ δ᾽ ἕνεκ᾽ ἐκ Διὸς Ἡρακλέης Λήδας τε κοῦροι πόλλ᾽ ἀνέτλασαν, ἔργοις σὰν ἀγρεύοντες δύναμιν. σοῖς τε πόθοις Ἀχιλλεὺς Αἴας τ᾽ ἀΐδαο δόμους ἦλθον. σᾶς δ᾽ ἕνεκε φιλίου μορφᾶς Ἀταρνέως ἔντροφον ἀελίου χήρωσεν αὐγάς. τοιγὰρ ἀοίδιμος ἔργοις ἀθάνατοί τε μιν αὐξήσουσι Μοῦσαι, Μναμοσύνας θύγατρες, Διὸς ξενίου σέβας αὔξουσαι, φιλίας τε γέρας βεβαίου. ἔστι δ᾽ οὖν καὶ εἰς τοῦτον ἡμῶν, οὕτως ἔχον,

Εὐρυμέδων ποτὲ μέλλεν Ἀριστοτέλην ἀσεβείας
  Γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος.
Ἀλλὰ πιὼν ἀκόνιτον, ὑπέκφυγε τοῦτ᾽ ἀκονιτί.
  Ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.

τοῦτον πρῶτον Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, λόγον φησὶ δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι, ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ, καὶ λέγειν ὡς Ἀθήνησιν

Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

φησὶ δ' Ἀπολλόδωρος ἐν χρονικοῖς, γεννηθῆναι μὲν αὐτὸν τῷ πρώτῳ ἔτει τῆς ἐνάτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος· παραβαλεῖν δὲ Πλάτωνι, καὶ διατρῖψαι παρ' αὐτὸν εἴκοσιν ἔτη ἑπτακαιδεκέτη συστάντα, καὶ εἰς τε Μιτυλήνην ἐλθεῖν ἐπὶ ἄρχοντος Εὐβούλου, τῷ τετάρτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Πλάτωνος δὲ τελευτήσαντος τῷ πρώτῳ ἔτει ἐπὶ Θεοφίλου, πρὸς Ἑρμείαν ἀπᾶραι, καὶ μεῖναι ἔτη τρία. ἐπὶ Πυθοδότου δ' ἐλθεῖν πρὸς Φίλιππον, τῷ δευτέρῳ ἔτει τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, Ἀλεξάνδρου πεντεκαίδεκα ἔτη ἤδη γεγονότος. εἰς δὲ Ἀθήνας ἀφικέσθαι τῷ δευτέρῳ ἔτει τῆς ἑνδεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. καὶ ἐν Λυκείῳ σχολάσαι ἔτη τρία πρὸς τοῖς δέκα, εἶτα ἀπᾶραι εἰς Χαλκίδα τῷ τρίτῳ ἔτει τῆς τετάρτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, καὶ τελευτῆσαι ἐτῶν τριῶν που καὶ ἑξήκοντα, νόσῳ· ὅτε καὶ Δημοσθένην καταστρέψαι ἐν Καλαβρείᾳ ἐπὶ Φιλοκλέους. λέγεται δὲ, διὰ τὴν Καλλισθένους πρὸς Ἀλέξανδρον σύστασιν, προσκροῦσαι τῷ βασιλεῖ· κἀκεῖνον ἐπὶ τῷ τοῦτον λυπῆσαι, Ἀναξιμένην μὲν αὐξῆσαι, πέμψαι δὲ καὶ Ξενοκράτει δῶρα. ἀπέσκωψε δ' εἰς αὐτὸν ἐπίγραμμα καὶ Θεόκριτος ὁ Χῖος, οὑτωσὶ ποιήσας (ὥς φησιν Ἀμβρύων ἐν τῷ περὶ Θεοκρίτου)

Ἑρμείου εὐνούχου ἠδ' Εὐβούλου ἅμα δούλου,
Σῆμα κενὸν κενόφρων τεῦξεν Ἀριστοτέλης.

ἀλλὰ καὶ Τίμων αὐτοῦ καθήψατο, εἰπὼν,

Οὐδ' ἄρ' Ἀριστοτέλους εἰκαιοσύνης ἀλεγεινῆς.

καὶ οὗτος μὲν ὁ βίος τοῦ φιλοσόφου. ἡμεῖς δὲ καὶ διαθήκαις αὐτοῦ ἐνετύχομεν, οὕτω πως ἐχούσαις, Ἔσται μὲν εὖ·

ἐὰν δέ τι συμβαίνῃ, τάδε διέθετο Ἀριστοτέλης· ἐπίτροπον μὲν εἶναι πάντων καὶ διὰ παντὸς Ἀντίπατρον. ἕως δ' ἂν Νικάνωρ καταλάβῃ ἐπιμελεῖσθαι, Ἀριστομένη, Τίμαρχον, Διοτέλη, Θεόφραστον, ἐὰν βούληται καὶ ἐνδέχηται αὐτῷ, τῶν τε παιδίων καὶ Ἑρπυλλίδος καὶ τῶν καταλελειμμένων. καὶ ὅταν ὥρα ᾖ τῇ παιδὶ, ἐκδόσθαι αὐτὴν Νικάνορι. ἐὰν δὲ τῇ παιδὶ συμβῇ τι, (ὃ μὴ γένοιτο, οὐδὲ ἔσται) πρὸ τοῦ γήμασθαι, ἢ ἐπειδὰν γήμηται, μήπω παιδίων ὄντων, Νικάνωρ κύριος ἔστω καὶ περὶ τοῦ παιδίου καὶ περὶ τῶν ἄλλων διοικεῖν ἀξίως καὶ αὑτοῦ καὶ ἡμῶν. ἐπιμελείσθω δὲ Νικάνωρ καὶ τῆς παιδὸς καὶ τοῦ παιδὸς Νικομάχου, ὅπως ἂν ἀξιοῖ τὰ περὶ αὐτῶν, ὡς καὶ πατὴρ ὢν καὶ ἀδελφός. ἐὰν δέ τι πρότερον συμβαίνῃ Νικάνορι, (ὃ μὴ γένοιτο) ἢ πρὸ τοῦ λαβεῖν τὴν παῖδα, ἢ ἐπειδὰν λάβῃ, μήπω παιδίων ὄντων· ἐὰν μέν τι ἐκεῖνος τάξῃ, ταῦτα κύρια ἔστω· ἐὰν δὲ βούληται Θεόφραστος εἶναι μετὰ τῆς παιδὸς, καθάπερ πρὸς Νικάνορα· εἰ δὲ μὴ, τοὺς ἐπιτρόπους βουλευομένους μετὰ Ἀντιπάτρου, καὶ περὶ τῆς παιδὸς καὶ περὶ τοῦ παιδὸς διοικεῖν ὅπως ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι. ἐπιμελεῖσθαι δὲ τοὺς ἐπιτρόπους, καὶ Νικάνορα, μνησθέντας ἐμοῦ καὶ Ἑρπυλλίδος, ὅτι σπουδαία περὶ ἐμὲ ἐγένετο, τῶν τε ἄλλων, καὶ ἐὰν βούληται ἄνδρα λαμβάνειν, ὅπως μὴ ἀνάξιος ἡμῶν δοθῇ. δοῦναι δ' αὐτῇ πρὸς τοῖς πρότερον δεδομένοις, καὶ ἀργυρίου τάλαντον, ἐκ τῶν καταλελειμμένων, καὶ θεραπαίνας τρεῖς, ἐὰν βούληται, καὶ τὴν παιδίσκην ἣν ἔχει, καὶ παῖδα τὸν Πυρραῖον. καὶ ἐὰν μὲν ἐν Χαλκίδι βούληται οἰκεῖν, τὸν ξενῶνα τὸν πρὸς τῷ κήπῳ· ἐὰν δὲ ἐν Σταγείροις, τὴν πατρῴαν οἰκίαν. ὁποτέραν δ' ἂν τούτων βούληται, κατασκευάσαι τοὺς ἐπιτρόπους σκεύεσιν οἷς ἂν δοκῇ κἀκείνοις καλῶς ἔχειν, καὶ Ἑρπυλλίδι ἱκανῶς. ἐπιμελείσθω δὲ Νικάνωρ καὶ Μύρμηκος τοῦ παιδίου, ὅπως ἂν ἀξίως ἡμῶν τοῖς ἰδίοις ἐπικομισθῇ, σὺν τοῖς ὑπάρχουσιν

ἃ εἰλήφαμεν αὐτοῦ. εἶναι δὲ καὶ Ἀμβρακίδα ἐλευθέραν, καὶ δοῦναι αὐτῇ, ὅταν ἡ παῖς ἐκδοθῇ, πεντακοσίας δραχμὰς, καὶ τὴν παιδίσκην ἣν ἔχει. δοῦναι δὲ καὶ Θαλῇ πρὸς τῇ παιδίσκῃ ἣν ἔχει τῇ ὠνηθείσῃ χιλίας δραχμὰς καὶ παιδίσκην. καὶ Σίμῳ χωρὶς τοῦ πρότερον ἀργυρίου αὐτῷ εἰς παῖδα ἄλλον, ἢ παῖδα πρίασθαι, ἢ ἀργύριον δοῦναι. Τύχωνα δὲ ἐλεύθερον εἶναι, ὅταν ἡ παῖς ἐκδοθῇ, καὶ Φίλωνα, καὶ Ὀλύμπιον, καὶ τὸ παιδίον αὐτοῦ. μὴ πωλεῖν δὲ τῶν παίδων μηδένα τῶν ἐμὲ θεραπευόντων, ἀλλὰ χρῆσθαι αὐτοῖς. ὅταν δ' ἐν ἡλικίᾳ γένωνται, ἐλευθέρους ἀφεῖναι κατ' ἀξίαν. ἐπιμελεῖσθαι δὲ καὶ τῶν ἐκδεδομένων εἰκόνων παρὰ Γρυλλίωνος, ὅπως ἐπιτελεσθεῖσαι ἀνατεθῶσιν, ἥ τε Νικάνορος καὶ ἡ Προξένου, ἣν διενοούμην ἐκδοῦναι, καὶ ἡ τῆς μητρὸς τῆς Νικάνορος· καὶ τὴν Ἀριμνήστου τὴν πεποιημένην ἀναθεῖναι, ὅπως μνημεῖον αὐτοῦ ᾖ, ἐπειδὴ ἄπαις ἐτελεύτησε. καὶ τῆς μητρὸς τῆς ἡμετέρας τὴν Δήμητρα ἀναθεῖναι εἰς Νεμέαν, ἢ ὅπου ἂν δοκῇ. ὅπου δ' ἂν ποιῶνται τὴν ταφὴν, ἐνταῦθα καὶ τὰ Πυθιάδος ὀστᾶ ἀνελόντας θεῖναι, ὥσπερ αὐτὴ προσέταξεν. ἀναθεῖναι δὲ καὶ Νικάνορα σωθέντα, ἣν εὐχὴν ὑπὲρ αὐτοῦ ηὐξάμην, ζῷα λίθινα τετραπήχη, Διῒ σωτῆρι καὶ Ἀθηνᾷ σωτείρᾳ ἐν Σταγείρῃ. τοῦτον ἴσχουσιν αὐτῷ αἱ διαθῆκαι τὸν τρόπον. λέγεται δὲ καὶ λοπάδας αὐτοῦ πλείστας εὑρῆσθαι· καὶ Λύκωνα λέγειν ὡς ἐν πυέλῳ θερμοῦ ἐλαίου λούοιτο, καὶ τοὔλαιον διαπωλοῖτο. ἔνιοι δὲ καὶ ἀσκίον θερμοῦ ἐλαίου ἐπιτιθέναι αὐτὸν τῷ στομάχῳ φασί· καὶ ὁπότε κοιμῷτο, σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα, λεκάνης ὑποκειμένης, ἵν' ἐκπεσούσης τῆς σφαίρας εἰς τὴν λεκάνην, ὑπὸ τοῦ ψόφου ἐξέγροιτο. ἀποφέρεται δ' εἰς αὐτὸν καὶ ἀποφθέγματα κάλλιστα, ταυτί. ἐρωτηθεὶς τί περιγίνεται κέρδος τοῖς ψευδομένοις, Ὅταν (ἔφη) λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι. ὀνει-

διζόμενος ποτὲ ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, Οὐ τὸν τρόπον (εἶπεν) ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα. συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, ἔνθα ἂν καὶ ὅπου διατρίβων ἔτυχεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. πολλάκις δὲ καὶ ἀποτεινόμενος, τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ, μή. τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας εἶναι πικρὰς, γλυκεῖς δὲ τοὺς καρπούς. ἐρωτηθεὶς τί γηράσκει ταχὺ, Χάρις, ἔφη. ἐρωτηθεὶς τί ἐστιν ἐλπὶς, Ἐγρηγορότος (εἶπεν) ἐνύπνιον. Διογένους ἰσχάδα αὐτῷ διδόντος, νοήσας ὅτι, εἰ μὴ λάβῃ, χρείαν εἴη μεμελετηκὼς, λαβὼν, ἔφη, Διογένη, μετὰ τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι. πάλιν δὲ διδόντος, λαβὼν καὶ μετεωρίσας, (ὡς τὰ παιδία) εἰπών τε Μέγας Διογένης, ἀπέδωκεν αὐτῷ. τριῶν ἔφη δεῖν παιδείᾳ, φύσεως, μαθήσεως, ἀσκήσεως. ἀκούσας ὑπό τινος λοιδορεῖσθαι, Ἀπόντα με (ἔφη) καὶ μαστιγούτω. τὸ κάλλος παντὸς ἔλεγεν ἐπιστολίου συστατικώτερον. οἱ δὲ τοῦτο μὲν Διογένη φασὶν ὁρίσασθαι· αὐτὸν δὲ, δῶρον εἰπεῖν ἀμορφίας· Σωκράτη δὲ, ὀλιγοχρόνιον τυραννίδα· Πλάτωνα, προτέρημα φύσεως· Θεόφραστον, σιωπῶσαν ἀπάτην· Θεόκριτον, ἐλεφαντίνην ζημίαν· Καρνεάδην, ἀδορυφόρητον βασιλείαν. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, Ὅσῳ (εἶπεν) οἱ ζῶντες τῶν τεθνηκότων. τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις, καταφυγήν. τοὺς γονέας τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων. τοὺς μὲν γὰρ, τὸ ζῆν· τοὺς δὲ, τὸ καλῶς ζῆν παρασχέσθαι. πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, οὐ τοῦτο ἔφη σκοπεῖν, ἀλλ᾽ ὅστις μεγάλης πατρίδος ἄξιός ἐστιν. ἐρωτηθεὶς τί ἐστι φίλος, ἔφη, Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα. τῶν ἀνθρώπων ἔλεγε, τοὺς

μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν, Τυφλοῦ, ἔφη, τὸ ἐρώτημα. ἐρωτηθεὶς τί ποτ' αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν. ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη, Ἐὰν τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι. πρὸς τὸν εἰπόντα ἀδολέσχην, ἐπειδὴ πολλὰ αὐτοῦ κατήντλησε, Μή τι σου κατεφλυάρησα; μὰ Δί', εἶπεν. οὐ γάρ σοι προσεῖχον. πρὸς τὸν αἰτιασάμενον ὡς εἴη μὴ ἀγαθῷ ἔρανον δεδωκὼς (φέρε γὰρ καὶ οὕτω) Οὐ τῷ ἀνθρώπῳ (φησὶν) ἔδωκα, ἀλλὰ τῷ ἀνθρωπίνῳ. ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις προσφεροίμεθα, ἔφη, Ὡς ἂν εὐξαίμεθα αὐτοὺς ἡμῖν προσφέρεσθαι. τὴν δικαιοσύνην ἔφη ἀρετὴν ψυχῆς διανεμητικὴν τοῦ κατ' ἀξίαν. κάλλιστον ἐφόδιον τῷ γήρᾳ τὴν παιδείαν ἔλεγε. φησὶ δὲ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν ἀπομνημονευμάτων, ὡς ἑκάστοτε λέγοι, Ὦ φίλοι, οὐδεὶς φίλος. ἀλλὰ καὶ ἐν τῷ ζ τῶν ἠθικῶν ἐστί. καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται. συνέγραψε δὲ πάμπλειστα βιβλία, ἃ ἀκόλουθον ἡγησάμην ὑπογράψαι, διὰ τὴν περὶ πάντας λόγους τἀνδρὸς ἀρετήν. Περὶ δικαιοσύνης, α, β, γ, δ· Περὶ ποιητῶν, α, β, γ· Περὶ φιλοσοφίας, α, β, γ· Πολιτικοῦ, α, β· Περὶ ῥητορικῆς, Γρύλλος, α· Νήρινθος, α· Σοφιστής, α· Μενέξενος, α· Ἐρωτικός, α· Συμπόσιον, α· Περὶ πλούτου, α· Προτρεπτικός, α· Περὶ ψυχῆς, α· Περὶ εὐχῆς, α· Περὶ εὐγενείας, α· Περὶ ἡδονῆς, α· Ἀλέξανδρος, ἢ ὑπὲρ ἀποίκων, α· Περὶ βασιλείας, α· Περὶ παιδείας, α· Περὶ τἀγαθοῦ, α, β, γ· Τὰ ἐκ τῶν νόμων Πλάτωνος, α, β, γ· Τὰ ἐκ τῆς πολιτείας, α, β· Οἰκονομικός, α· Περὶ φιλίας, α· Περὶ τοῦ πάσχειν, ἢ πεπονθέναι, α· Περὶ ἐπιστημῶν, α· Περὶ ἐριστικῶν, α, β· Λύσεις ἐρι-

...τικαὶ, δ. Διαιρέσεις σοφιστικαὶ, δ. Περὶ ἐναντίων, α. Περὶ εἰδῶν καὶ γενῶν, α. Περὶ ἰδίων, α. Ὑπομνήματα ἐπιχειρηματικοῦ, γ. Προτάσεις περὶ ἀρετῆς, α, β, γ. Ἐνστάσεις, α. Περὶ τῶν ποσαχῶς λεγομένων, ἢ κατὰ πρόσθεσιν, α. Περὶ παθῶν ὀργῆς, α. Ἠθικῶν, α, β, γ, δ, ε. Περὶ στοιχείων, α, β, γ. Ὑπὲρ ἐπιστήμης, α. Περὶ ἀρχῆς, α. Διαιρέσεις ἑπτακαίδεκα. Διαιρετικῶν, α. Ἐρωτήσεως καὶ ἀποκρίσεως, α, β. Περὶ κινήσεως, α, β. Προτάσεις, α. Προτάσεις ἐριστικαὶ, δ. Συλλογισμοὶ, α. Προτέρων ἀναλυτικῶν, α, β, γ, δ, ε, ς, ζ, η, θ. Ἀναλυτικῶν ὑστέρων μεγάλων, α, β. Περὶ προβλημάτων, α. Μεθοδικὰ, α, β, γ, δ, ε, ς, ζ, η. Περὶ τοῦ βελτίονος, α. Περὶ τῆς ἰδέας, α. Ὅροι πρὸ τῶν τοπικῶν, α, β, γ, δ, ε, ς, ζ. Συλλογισμῶν, α, β. Συλλογιστικὸν, καὶ ὅροι, α. Περὶ τοῦ αἱρετοῦ καὶ τοῦ συμβεβηκότος, α. Τὰ πρὸ τῶν τόπων, α. Τοπικὸν πρὸς τοὺς ὅρους, α, β. Πάθη, α. Διαιρετικὸν, α. Μαθηματικὸν, α. Ὁρισμοὶ, τρεισκαίδεκα. Ἐπιχειρημάτων, α, β. Περὶ ἡδονῆς, α. Προτάσεις, α. Περὶ ἑκουσίου, α. Περὶ καλοῦ, α. Θέσεις ἐπιχειρηματικαὶ, πέντε καὶ εἴκοσι. Θέσεις φιλικαὶ, β. Θέσεις περὶ ψυχῆς, α. Πολιτικὰ, β. Πολιτικῆς ἀκροάσεως, ὡς ἡ Θεοφράστου, α, β, γ, δ, ε, ς, ζ, η. Περὶ δικαίων, α, β. Τεχνῶν συναγωγὴ, α, β. Τέχνης ῥητορικῆς, α, β. Τέχνη, α. Ἄλλη τέχνη, α, β. Μεθοδικὸν, α. Τέχνης τῆς Θεοδέκτου εἰσαγωγῆς, α. Πραγματεία τέχνης ποιητικῆς, α, β. Ἐνθυμήματα ῥητορικά. Περὶ μεγέθους, α. Ἐνθυμημάτων διαιρέσεις, α. Περὶ λέξεως, α, β. Περὶ συμβουλείας, α. Συναγωγῆς, α, β. Περὶ φύσεως, α, β, γ. Φυσικὸν, α. Περὶ τῆς Ἀρχύτου φιλοσοφίας, α, β, γ. Περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτους, α. Τὰ ἐκ τοῦ Τιμαίου, καὶ τῶν Ἀρχυτείων, α. Πρὸς τὰ Μελίσσου, α. Πρὸς τὰ Ἀλκμαίωνος, α. Πρὸς τοὺς Πυθαγορείους, α. Πρὸς τὰ Γοργίου, α. Πρὸς τὰ Ξενοκράτους, α. Πρὸς

τὰ Ζήνωνος, α΄. Περὶ τῶν Πυθαγορείων, α΄. Περὶ ζώων, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, θ΄. Ἀνατομῶν, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄. Ἐκλογὴ ἀνατομῶν, α΄. Ὑπὲρ τῶν συνθέτων ζώων, α΄. Ὑπὲρ τῶν μυθολογουμένων ζώων, α΄. Ὑπὲρ τοῦ μὴ γεννᾶν, α΄. Περὶ φυτῶν, α΄, β΄. Φυσιογνωμονικὸν, α΄. Ἰατρικὰ, β΄. Περὶ μονάδος, α΄. Σημεῖα χειμώνων, α΄. Ἀστρονομικὸν, α΄. Ὀπτικὸν, α΄. Περὶ κινήσεως, α΄. Περὶ μουσικῆς, α΄. Μνημονικὸν, α΄. Ἀπορημάτων Ὁμηρικῶν, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄. Ποιητικὰ, α΄. Φυσικῶν κατὰ στοιχεῖον, ὀκτὼ πρὸς τοῖς τριάκοντα. Ἐπιτεθεαμένων προβλημάτων, α΄, β΄. Ἐγκυκλίων, α΄, β΄. Μηχανικὸν, α΄. Προβλήματα ἐκ τῶν Δημοκρίτου, α΄, β΄. Περὶ τῆς λίθου, α΄. Δικαιώματα, α΄, β΄. Παραβολαὶ, α΄. Ἄτακτα δεκαδύο. Ἐξηγημένα κατὰ γένος, τέτταρα καὶ δέκα. Ὀλυμπιονῖκαι, α΄. Πυθιονῖκαι μουσικῆς, α΄. Πυθικὸς α΄. Πυθιονικῶν ἔλεγχοι, α΄. Νῖκαι Διονυσιακαὶ, α΄. Περὶ τραγῳδιῶν, α΄. Διδασκαλίαι, α΄. Παροιμίαι, α΄. Νόμος συσσιτικὸς, α΄. Νόμων, α΄, β΄, γ΄, δ΄. Κατηγοριῶν, α΄. Περὶ ἑρμηνείας, α΄. Πολιτεῖαι πόλεων δυοῖν δεούσαιν ἑξήκοντα καὶ ἑκατὸν, καὶ ἰδίᾳ δημοκρατικαὶ, ὀλιγαρχικαὶ, ἀριστοκρατικαὶ, καὶ τυραννικαί. Ἐπιστολαὶ πρὸς Φίλιππον. Σηλυμβρίων ἐπιστολαί. Πρὸς Ἀλέξανδρον τέτταρες ἐπιστολαί. Πρὸς Ἀντίπατρον, ἐννέα. Πρὸς Μέντορα, α΄. Πρὸς Ἀρίστωνα, α΄. Πρὸς Ὀλυμπιάδα, α΄. Πρὸς Ἡφαιστίωνα, α΄. Πρὸς Θεμισταγόραν, μία. Πρὸς Φιλόξενον, α΄. Πρὸς Δημόκριτον, ἔπη, ὧν ἀρχὴ, Ἁγνὲ θεῶν πρέσβισθ' ἑκατηβόλε. Ἐλεγεῖα, ὧν ἀρχὴ, Καλλιτέκνου μητρὸς θύγατερ. Γίνονται αἱ πᾶσαι, μυριάδες στίχων τέτταρες καὶ τετταράκοντα πρὸς τοῖς πεντακισχιλίοις καὶ διακοσίοις ἑβδομήκοντα καὶ τοσαῦτα μὲν αὐτῷ πεπραγμάτευται βιβλία. Βούλεται δὲ ἐν αὐτοῖς τάδε. Διττὸν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν, πρακτικὸν· τὸν δὲ, θεωρητικόν. Καὶ τοῦ πρακτικοῦ

τόν τε ἠθικὸν, καὶ πολιτικόν· οὗ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον ὑπογεγράφθαι· τοῦ δὲ θεωρητικοῦ, τόν τε φυσικὸν καὶ λογικόν. οὗ τὸ λογικὸν, οὐχ ὁλομερῶς, ἀλλ' ὡς ὄργανον προσηκριβωμένον. καὶ τούτου διττοὺς ὑποθέμενος σκοποὺς, τό τε πιθανὸν, καὶ τὸ ἀληθὲς, διεσάφησε. δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο, διαλεκτικῇ μὲν καὶ ῥητορικῇ, πρὸς τὸ πιθανόν· ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ, πρὸς τὸ ἀληθές· οὐδὲν ὑπολειπόμενος οὔτε τῶν πρὸς εὕρεσιν, οὔτε τῶν πρὸς κρίσιν, οὔτε μὴν τῶν πρὸς χρῆσιν. πρὸς μὲν οὖν τὴν εὕρεσιν, τά τε τοπικὰ καὶ μεθοδικὰ, παρέδωκε προτάσεων πλῆθος· ἐξ ὧν πρὸς τὰ προβλήματα πιθανῶν ἐπιχειρημάτων οἷόν τε εὐπορεῖν· πρὸς δὲ τὴν κρίσιν, τὰ ἀναλυτικὰ πρότερα καὶ ὕστερα. διὰ μὲν οὖν τῶν προτέρων τὰ λήμματα κρίνεται, διὰ δὲ τῶν ὑστέρων ἡ συναγωγὴ ἐξετάζεται. πρὸς δὲ τὴν χρῆσιν, τά τε ἀγωνιστικὰ, καὶ τὰ περὶ ἐρωτήσεως, ἐριστικά τε, καὶ σοφιστικῶν ἐλέγχων τε καὶ συλλογισμῶν, καὶ τῶν ὁμοίων τούτοις. κριτήριον δὲ τῆς ἀληθείας, τῶν μὲν κατὰ φαντασίαν ἐνεργημάτων, τὴν αἴσθησιν ἀπεφήνατο· τῶν δὲ ἠθικῶν τῶν περὶ πόλιν καὶ περὶ οἶκον καὶ περὶ νόμους, τὸν νοῦν. τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ. ἔφη δὲ καὶ τὴν εὐδαιμονίαν συμπλήρωμα ἐκ τριῶν ἀγαθῶν εἶναι· τῶν περὶ ψυχὴν, ἃ δὴ καὶ πρῶτα τῇ δυνάμει καλεῖ· ἐκ δευτέρων δὲ, τῶν περὶ σῶμα, ὑγιείας, καὶ ἰσχύος, καὶ κάλλους, καὶ τῶν παραπλησίων· τῶν δὲ ἐκτὸς, πλούτου, καὶ εὐγενείας καὶ δόξης, καὶ τῶν ὁμοίων. τήν τε ἀρετὴν, μὴ εἶναι αὐτάρκη πρὸς εὐδαιμονίαν. προσδεῖσθαι γὰρ τῶν τε περὶ σῶμα καὶ τῶν ἐκτὸς ἀγαθῶν· ὡς κακοδαιμονήσοντος τοῦ σοφοῦ, κἂν ἐν πόνοις ᾖ, κἂν ἐν πενίᾳ καὶ τοῖς ὁμοίοις. τὴν μέντοι κακίαν, αὐτάρκη πρὸς κακοδαιμονίαν, κἂν ὅτι

μάλιστα παρῇ αὐτῇ τὰ ἐκτὸς ἀγαθὰ, καὶ τὰ περὶ σῶμα. τάς τε ἀρετὰς ἔφη μὴ ἀκολουθεῖν. ἐνδέχεσθαι γὰρ, φρόνιμόν τινα, καὶ ὁμοίως δίκαιον ὄντα, ἀκόλαστον καὶ ἀκρατῆ εἶναι. ἔφη δὲ τὸν σοφὸν, μὴ εἶναι μὲν ἀπαθῆ, μετριοπαθῆ δέ. τήν τε φιλίαν ὡρίζετο ἰσότητα εὐνοίας ἀντίστροφον. ταύτης δὲ τὴν μὲν, εἶναι συγγενικήν· τὴν δὲ, ἐρωτικήν, τὴν δὲ, ξενικήν. εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον συνουσίας, ἀλλὰ καὶ φιλοσοφίας. καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν, καὶ πολιτεύσεσθαι, γαμήσειν τε μὴν καὶ βασιλεῖ συμβιῶναι. βίων τε τριῶν ὄντων, θεωρητικοῦ, πρακτικοῦ, ἡδονικοῦ, τὸν θεωρητικὸν προέκρινεν. εὔχρηστα δὲ καὶ τὰ ἐγκύκλια μαθήματα πρὸς ἀρετῆς ἀνάληψιν. ἔν τε τοῖς φυσικοῖς αἰτιολογικώτατος πάντων ἐγένετο, ὥστε καὶ περὶ τῶν ἐλαχίστων τὰς αἰτίας ἀποδιδόναι. διόπερ καὶ οὐκ ὀλίγα βιβλία συνέγραψε φυσικῶν ἀπομνημονευμάτων. τὸν δὲ θεὸν ἀσώματον ἀπέφαινε, καθὰ καὶ ὁ Πλάτων. διατείνειν δὲ αὐτοῦ τὴν πρόνοιαν μέχρι τῶν οὐρανίων, καὶ εἶναι ἀκίνητον αὐτόν· τὰ δὲ ἐπίγεια, κατὰ τὴν πρὸς ταῦτα συμπάθειαν οἰκονομεῖσθαι. εἶναι δὲ παρὰ τὰ τέσσαρα στοιχεῖα καὶ ἄλλο πέμπτον, ἐξ οὗ τὰ αἰθέρια συνεστάναι. ἀλλοίαν δὲ αὐτοῦ τὴν κίνησιν εἶναι· κυκλοφορικὴν γάρ. καὶ τὴν ψυχὴν δὲ ἀσώματον, ἐντελέχειαν οὖσαν τὴν πρώτην. σώματος γὰρ φυσικοῦ καὶ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος. διττὴ δὲ αὐτῇ ἐστὶ κατ' αὐτόν. λέγει δὲ ἐντελέχειαν, ἧς ἐστιν εἶδός τι ἀσώματον· ἡ μὲν, κατὰ δύναμιν, ὡς ἐν τῷ κηρῷ ὁ Ἑρμῆς ἐπιτηδειότητα ἔχων ἐπιδέξασθαι τοὺς χαρακτῆρας· καὶ ὁ ἐν τῷ χαλκῷ ἀνδριάς. καθ' ἕξιν δὲ λέγεται ἐντελέχεια, ἡ τοῦ συντετελεσμένου Ἑρμοῦ ἢ ἀνδριάντος. σώματος δὲ φυσικοῦ ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι χειρόκμητα, ὡς τὰ ὑπὸ τεχνιτῶν γινόμενα, οἷον πύργος, πλοῖον· τὰ δὲ, ὑπὸ φύσεως, ὡς φυτὰ, καὶ τὰ τῶν ζώων. ὀργανικοῦ δὲ εἶπε, τουτέστι πρός τι κατεσκευασμένου, ὡς ἡ ὅρασις πρὸς τὸ ὁρᾶν, καὶ ἡ ἀκοὴ πρὸς

τὸ ἀκούειν. δυνάμει δὲ ζωὴν ἔχοντος, οἷον ἐν ἑαυτῷ τὸ δυνάμει δέ, ἤτοι ἢ κατ' ἐνέργειαν. κατ' ἐνέργειαν μέν, ὡς ὁ ἐγρηγορὼς λέγεται ψυχὴν ἔχειν· καθ' ἕξιν δ', ὡς ὁ καθεύδων. ἵν' οὖν καὶ οὗτος ὑποπίπτῃ, τὸ δυνάμει προσέθηκε. πολλὰ δὲ καὶ ἄλλα περὶ πολλῶν ἀπεφήνατο, ἅπερ μακρὸν ἂν εἴη καταριθμεῖσθαι. τοῖς γὰρ ὅλοις φιλοπονώτατος ἐγένετο καὶ εὑρετικώτατος, ὡς δῆλον ἐκ τῶν προγεγραμμένων συγγραμμάτων, ἃ τὸν ἀριθμὸν ἐγγὺς ἥκει τετρακοσίων, τὰ ὅσα γε ἀναμφίλεκτα. πολλὰ γὰρ καὶ ἄλλα εἰς αὐτὸν ἀναφέρεται συγγράμματα αὐτοῦ, καὶ ἀποφθέγματα ἀγράφου φωνῆς εὐστοχήματα. γεγόνασι δὲ Ἀριστοτέλεις ὀκτώ· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, ὁ πολιτευσάμενος Ἀθήνησιν, οὗ καὶ δικανικοὶ φέρονται λόγοι χαρίεντες· τρίτος, περὶ Ἰλιάδος πεπραγματευμένος· τέταρτος, Σικελιώτης ῥήτωρ, πρὸς τὸν Ἰσοκράτους Πανηγυρικὸν ἀντιγεγραφώς· πέμπτος, ὁ ἐπικληθεὶς Μῦθος, Αἰσχίνου τοῦ Σωκρατικοῦ γνώριμος· ἕκτος, Κυρηναῖος, γεγραφὼς περὶ ποιητικῆς· ἕβδομος, παιδοτρίβης, οὗ μέμνηται Ἀριστόξενος ἐν τῷ Πλάτωνος βίῳ· ὄγδοος, γραμματικὸς ἄσημος, οὗ φέρεται τέχνη περὶ πλεονασμοῦ. τοῦ δὴ Σταγειρίτου γεγόνασι μὲν πολλοὶ γνώριμοι, διαφέρων δὲ μάλιστα Θεόφραστος, περὶ οὗ λεκτέον.

## ΘΕΌΦΡΑΣΤΟΣ.

Θεόφραστος Ἐρέσιος, Μελάντα κναφέως υἱός, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ περιπάτων. οὗτος πρότερον μὲν ἤκουσε Λευκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος, μετέστη πρὸς Ἀριστοτέλη. κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος, αὐτὸς διεδέξατο τὴν σχολὴν Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ. φέρεται δ' αὐτοῦ καὶ δοῦλος φιλόσοφος ὄνομα Πομπύλος,

καθά φησι Μυρωνιανὸς Ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῶν ὁμοίων ἱστορικῶν κεφαλαίων. ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπονώτατος. καὶ καθά φησι Παμφίλη ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν ὑπομνημάτων, διδάσκαλος Μενάνδρου τοῦ κωμικοῦ· ἄλλως τε καὶ εὐεργετικὸς καὶ φιλόλογος. Κάσανδρος γοῦν αὐτὸν ἀπεδέχετο, καὶ Πτολεμαῖος ἔπεμψεν ἐπ' αὐτόν. τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρὰ Ἀθηναίοις, ὥστε Ἁγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ καὶ προσῶφλεν. ἀπήντων τε εἰς τὴν διατριβὴν αὐτοῦ μαθηταὶ πρὸς δισχιλίους. οὗτος τά τε ἄλλα, καὶ περὶ δικαστηρίου τοιαῦτα διείλεκται ἐν τῇ πρὸς Φανίαν τὸν Περιπατητικὸν ἐπιστολῇ, Οὐ γὰρ ὅτι πανήγυριν, ἀλλ' οὐδὲ συνέδριον ῥᾴδιον, οἷόν τις βούλεται, λαβεῖν. αἱ δὲ ἀναγνώσεις ποιοῦσιν ἐπανορθώσεις· τὸ δὲ ἀναβάλλεσθαι πάντα καὶ ἀμελεῖν, οὐκέτι φέρουσιν αἱ ἡλικίαι. ἐν ταύτῃ τῇ ἐπιστολῇ σχολαστικὸν ὠνόμακε. τοιοῦτος δὲ ὤν, ὅμως ἀπεδήμησε πρὸς ὀλίγον καὶ οὗτος, καὶ πάντες οἱ λοιποὶ φιλόσοφοι Σοφοκλέους τοῦ Ἀμφικλείδου νόμον εἰσενεγκόντος, Μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. ἀλλὰ αὖθις ἐπανῆλθον εἰς νέωτα, Φιλλίωνος τὸν Σοφοκλέα γραψαμένου παρανόμων. ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν Ἀθηναῖοι, τὸν δὲ Σοφοκλέα πέντε ταλάντοις ἐζημίωσαν· κάθοδόν τε τοῖς φιλοσόφοις ἐψηφίσαντο, ἵνα καὶ Θεόφραστος κατέλθῃ, καὶ ἐν τοῖς ὁμοίοις ᾖ. Τοῦτον, Τύρταμον λεγόμενον, Θεόφραστον διὰ τὸ τῆς φράσεως θεσπέσιον Ἀριστοτέλης μετωνόμασεν· οὗ καὶ τοῦ υἱέος Νικομάχου φησὶν ἐρωτικῶς διατεθῆναι, καίπερ ὄντα διδάσκαλον, Ἀρίστιππος ἐν τετάρτῳ περὶ παλαιᾶς τρυφῆς. λέγεται δ' ἐπ' αὐτοῦ τε καὶ Καλλισθένους τὸ ὅμοιον εἰπεῖν Ἀριστοτέλην, ὅπερ Πλάτωνα (καθὰ προείρηται) φασὶν εἰπεῖν ἐπί τε Ξενοκράτους καὶ αὐτοῦ

τύπου. φασὶ γάρ, τοῦ μὲν Θεοφράστου καθ' ὑπερβολὴν ὀξύτητος πᾶν τὸ νοηθὲν ἐξερμηνεύοντος, τοῦ δὲ νωθροῦ τὴν φύσιν ὑπάρχοντος, ὡς τῷ μὲν χαλινοῦ δέοι, τῷ δὲ κέντρου. λέγεται δ' αὐτὸν καὶ ἴδιον κῆπον σχεῖν μετὰ τὴν Ἀριστοτέλους τελευτήν, Δημητρίου τοῦ Φαληρέως, ὃς ἦν καὶ γνώριμος αὐτῷ, τοῦτο συμπράξαντος. φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτὶ χρειώδη. θᾶττον ἔφη πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ, ἢ λόγῳ ἀσυντάκτῳ. πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον, ἔφη, Εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. συνεχές τε ἔλεγε, πολυτελὲς ἀνάλωμα εἶναι τὸν χρόνον. ἐτελεύτα δὴ γηραιὸς, βιοὺς ἔτη πέντε καὶ ὀγδοήκοντα, ἐπειδὴ παρ' ὀλίγον ἀνῆκε τῶν πόνων. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν,

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,
Ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.
Δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν, ἀπηρός
Ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν εἴ τι ἐπισκήπτει, εἰπεῖν, ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται. ἡμεῖς γὰρ ὁπότε ἀρχόμεθα ζῆν, τότε ἀποθνήσκομεν. οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. ἀλλ' εὐτυχεῖτε, καὶ ἤτοι τὸν λόγον ἄφετε, (πολὺς γὰρ ὁ πόνος) ἢ καλῶς αὐτῷ προΐστητε (μεγάλη γὰρ ἡ δόξα) τὸ δὲ κενὸν τοῦ βίου, πλεῖον τοῦ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον, ὑμεῖς δὲ ἐπισκέψασθε τί ποιητέον. ταῦτα (φασὶν) εἰπὼν ἀπέπνευσε, καὶ αὐτὸν (ὡς ὁ λόγος) Ἀθηναῖοι πανδημεὶ παρέπεμψαν ποσὶ, τὸν ἄνδρα τιμήσαντες. Φαβωρῖνος δέ φησι γηράσαντα αὐτὸν ἐν φορείῳ περιφέρεσθαι. καὶ τοῦτο λέγειν Ἕρμιππον, παρατιθέμενον ἱστορεῖν Ἀρκεσίλαον τὸν Πιταναῖον, ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον. καταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμπλειστα, ἃ καὶ

αὐτῆς ἄξιον ἡγησάμην ὑπογράψαι, διὰ τὸ πάσης ἀρετῆς πεπληρῶσθαι. ἔστι δὲ τάδε. Ἀναλυτικῶν προτέρων, α, β, γ. Ἀναλυτικῶν ὑστέρων, α, β, γ, δ, ε, ς, ζ. Περὶ ἀναλύσεως συλλογισμῶν, α. Ἀναλυτικῶν ἐπιτομή, α. Ἀνηγμένων τόπων, α, β. Ἀγωνιστικῶν τῆς περὶ τοὺς ἐριστικοὺς λόγους θεωρίας. Περὶ αἰσθήσεων, α. Πρὸς Ἀναξαγόραν, α. Περὶ τῶν Ἀναξαγόρου, α. Περὶ τῶν Ἀναξιμένους, α. Περὶ τῶν Ἀρχελάου, α. Περὶ ἁλῶν νίτρου, στυπτηρίας, α. Περὶ τῶν λιθουμένων, α, β. Περὶ τῶν ἀτόμων γραμμῶν, α. Ἀκροάσεως, α, β. Περὶ ἀνέμων, α. Ἀρετῶν διαφοραί, α. Περὶ βασιλείας, α. Περὶ παιδείας βασιλέως, α. Περὶ βίων, α, β, γ. Περὶ γήρως, α. Περὶ τῆς Δημοκρίτου ἀστρολογίας, α. Τῆς μεταρσιολεσχίας, α. Περὶ τῶν εἰδώλων, α. Περὶ χυμῶν, χροῶν, σαρκῶν, α. Περὶ τοῦ διακόσμου, α. Περὶ τῶν ἀνθρώπων, α. Τῶν Διογένους συναγωγή, α. Διορισμῶν, α, β, γ. Ἐρωτικὸς, α. Ἄλλο περὶ ἔρωτος, α. Περὶ εὐδαιμονίας, α. Περὶ εἰδῶν, α, β. Περὶ ἐπιληψίας, α. Περὶ ἐνθουσιασμοῦ, α. Περὶ Ἐμπεδοκλέους, α. Ἐπιχειρημάτων, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε, ις, ιζ, ιη. Ἐνστάσεων, α, β, γ. Περὶ ἑκουσίου, α. Ἐπιτομὴ τῆς Πλάτωνος πολιτείας, α, β. Περὶ ἑτεροφωνίας ζώων τῶν ὁμογενῶν, α. Περὶ τῶν ἀθρόων φαινομένων, α. Περὶ δακετῶν καὶ βλητικῶν, α. Περὶ τῶν ζώων ὅσα λέγεται φρονεῖν, α. Περὶ τῶν ἐν ξηρῷ διαμενόντων, α. Περὶ τῶν τὰς χρόας μεταβαλλόντων, α. Περὶ τῶν φωλευόντων, α. Περὶ ζώων, α, β, γ, δ, ε, ς, ζ. Περὶ ἡδονῆς, ὡς Ἀριστοτέλης, α. Θέσεις, κδ. Περὶ θερμοῦ καὶ ψυχροῦ, α. Περὶ ἰλίγγων καὶ σκοτώσεων, α. Περὶ ἱδρῶτος, α. Περὶ καταφάσεως καὶ ἀποφάσεως, α. Καλλισθένης, ἢ Περὶ πένθους, α. Περὶ κόπων, α. Περὶ κινήσεως, α, β, γ. Περὶ λίθων, α. Περὶ λοιμῶν, α. Περὶ λειποψυχίας, α. Μεγαρικὸς, α. Περὶ μελαγχολίας, α. Πε-

ει μετάλλων, α, β. Περὶ μέλιτος, α. Περὶ τῶν Μητροδώρου συναγωγῶν, α. Μεταρσιολογικῶν, α, β. Περὶ μέθης, α. Νόμων, κατὰ στοιχεῖον, κδ. Νόμων ἐπιτομῆς, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι. Πρὸς τοὺς ὁρισμοὺς, α. Περὶ ὀδμῶν, α. Περὶ οἴνου καὶ ἐλαίου. Πρώτων προτάσεων, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε, ις, ιζ, ιη. Νομοθετῶν, α, β, γ. Πολιτικῶν, α, β, γ, δ, ε, ς. Πολιτικὸν πρὸς τοὺς καιροὺς, α, β, γ, δ. Πολιτικῶν ἐθῶν, α, β, γ, δ. Περὶ τῆς ἀρίστης πολιτείας, α. Προβλημάτων συναγωγῆς, α, β, γ, δ, ε. Περὶ παροιμιῶν, α. Περὶ πήξεων καὶ τήξεων, α. Περὶ πυρὸς, α, β. Περὶ πνευμάτων, α. Περὶ παραλύσεως, α. Περὶ πνιγμοῦ, α. Περὶ παραφροσύνης, α. Περὶ παθῶν, α. Περὶ σημείων, α. Σοφισμάτων, α, β. Περὶ συλλογισμῶν λύσεως, α. Τοπικῶν, α, β. Περὶ τιμωρίας, α, β. Περὶ τειχῶν, α. Περὶ τυραννίδος, α. Περὶ ὕδατος, α, β, γ. Περὶ ὕπνου, καὶ ἐνυπνίων, α. Περὶ φιλίας, α, β, γ. Περὶ φιλοτιμίας, α, β. Περὶ φύσεως, α, β, γ. Περὶ φυσικῶν, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι, ια, ιβ, ιγ, ιδ, ιε, ις, ιζ, ιη. Περὶ φυσικῶν ἐπιτομῆς, α, β. Φυσικῶν, α, β, γ, δ, ε, ς, ζ, η. Πρὸς τοὺς φυσικοὺς, α. Περὶ φυσικῶν ἱστοριῶν, α, β, γ, δ, ε, ς, ζ, η, θ, ι. Φυσικῶν αἰτιῶν, α, β, γ, δ, ε, ς, ζ, η. Περὶ χυλῶν, α, β, γ, δ, ε. Περὶ ψεύδους ἡδονῆς, α. Περὶ ψυχῆς θέσις μία. Περὶ τῶν ἀτέχνων πίστεων, α. Περὶ τῶν ἁπλῶν διαπορημάτων, α. Ἁρμονικῶν, α. Περὶ ἀρετῆς, α. Ἀφορμαὶ ἢ ἐναντιώσεις, α. Περὶ ἀποφάσεως, α. Περὶ γνώμης, α. Περὶ γελοίου, α. Δειλινῶν, α, β. Διαιρέσεις, α, β. Περὶ τῶν διαφορῶν, α. Περὶ τῶν ἀδικημάτων, α. Περὶ διαβολῆς, α. Περὶ ἐπαίνου, α. Περὶ ἐμπειρίας, α. Ἐπιστολῶν, α, β, γ. Περὶ τῶν αὐτομάτων ζώων, α. Περὶ ἐκκρίσεων, α. Ἐγκώμια θεῶν, α. Περὶ ἑορτῶν, α. Περὶ εὐτυχίας, α. Περὶ ἐνθυμημάτων, α. Περὶ εὑρημάτων, α, β. Ἠθι-

κῶν χολῶν, α΄. Ἠθικοὶ χαρακτῆρες, α΄. Περὶ θορύβου, α΄. Περὶ ἱστορίας, α΄. Περὶ κρίσεως συλλογισμῶν, α΄. Περὶ κολακείας, α΄. Περὶ θαλάττης, α΄. Πρὸς Κάσανδρον περὶ βασιλείας, α΄. Περὶ κωμῳδίας, α΄. Περὶ μετεώρων, α΄. Περὶ λέξεως, α΄. Λόγων συναγωγή, α΄. Λύσεις, α΄. Περὶ μουσικῆς, α΄, β΄, γ΄. Περὶ μέτρων, α΄. Μεγακλῆς, α΄. Περὶ νόμων, α΄. Περὶ παρανόμων, α΄. Τῶν Ξενοκράτους συναγωγῆς, α΄. Ὁμιλητικός, α΄. Περὶ ὅρκου, α΄. Παραγγέλματα ῥητορικῆς, α΄. Περὶ πλούτου, α΄. Περὶ ποιητικῆς, α΄. Προβλήματα πολιτικά, ἠθικά, φυσικά, ἐρωτικά, α΄. Προοιμίων, α΄. Προβλημάτων συναγωγῆς, α΄. Περὶ τῶν προβλημάτων φυσικῶν, α΄. Περὶ παραδείγματος, α΄. Περὶ προθέσεως καὶ διηγήματος, α΄. Περὶ ποιητικῆς ἄλλο, α΄. Περὶ τῶν σοφῶν, α΄. Περὶ συμβουλῆς, α΄. Περὶ σολοικισμῶν, α΄. Περὶ τέχνης ῥητορικῆς, α΄. Περὶ τεχνῶν ῥητορικῶν, εἴδη ιζ΄. Περὶ ὑποκρίσεως, α΄. Ὑπομνημάτων Ἀριστοτελικῶν ἢ Θεοφραστείων, α΄, β΄, γ΄, δ΄, ε΄, ς΄. Φυσικῶν δοξῶν, α΄, β΄, γ΄, δ΄, ε΄, ς΄, ζ΄, η΄, θ΄, ι΄, ια΄, ιβ΄, ιγ΄, ιδ΄, ιε΄, ις΄. Φυσικῶν ἐπιτομῆς, α΄. Περὶ χάριτος, α΄. Χαρακτῆρες ἠθικοί. Περὶ ψεύδους καὶ ἀληθοῦς, α΄. Τῶν περὶ τὸ θεῖον ἱστορίας, α΄, β΄, γ΄, δ΄, ε΄, ς΄. Περὶ θεῶν, α΄, β΄, γ΄. Ἱστορικῶν γεωμετρικῶν, α΄, β΄, γ΄, δ΄. Ἐπιτομῶν Ἀριστοτέλους Περὶ ζώων, α΄, β΄, γ΄, δ΄, ε΄, ς΄. Ἐπιχειρημάτων, α΄, β΄. Θέσεις, γ΄. Περὶ βασιλείας, α΄, β΄. Περὶ αἰτιῶν, α΄. Περὶ Δημοκρίτου, α΄. Περὶ διαβολῆς, α΄. Περὶ γενέσεως, α΄. Περὶ ζώων φρονήσεως καὶ ἤθους, α΄. Περὶ κινήσεως, α΄, β΄. Περὶ ὄψεως, α΄, β΄, γ΄, δ΄. Πρὸς ὅρους, α΄, β΄. Περὶ τοῦ δίδοσθαι, α΄. Περὶ μείζονος καὶ ἐλάττονος, α΄. Περὶ τῶν μουσικῶν, α΄. Περὶ τῆς θείας εὐδαιμονίας, α΄. Πρὸς τοὺς ἐξ Ἀκαδημίας, α΄. Προτρεπτικός, α΄. Πῶς ἄριστ' ἂν πόλις οἰκοῖτο, α΄. Τὰ ὑπομνήματα, α΄. Περὶ ῥύακος τοῦ ἐν Σικελίᾳ, α΄. Περὶ τῶν ὁμολογουμένων, α΄. Περὶ τῶν προ-

βλημάτων φυσικῶν, α΄. Τίνες οἱ τρόποι τοῦ ἐπίστασθαι, α΄. Περὶ τοῦ ψευδομένου, α΄, β΄, γ΄. Τὰ περὶ τῶν τόπων, α΄. Πρὸς Αἰσχύλον, α΄. Ἀστρολογικῆς ἱστορίας, α΄, β΄, γ΄, δ΄, ε΄, ς΄. Ἀριθμητικῶν ἱστοριῶν περὶ αὐξήσεως, α΄. Ἀκίχαρος, α΄. Περὶ δικανικῶν λόγων, α΄. Περὶ διαβολῆς, α΄. Ἐπιστολαὶ αἱ ἐπὶ τῷ Ἀστυκρέοντι, Φανίᾳ, Νικάνορι. Περὶ εὐσεβείας, α΄. Εὐϊάδος, α΄. Περὶ καιρῶν, α΄, β΄. Περὶ οἰκείων λόγων, α΄. Περὶ παίδων ἀγωγῆς, α΄. Ἄλλο διάφορον, α΄. Περὶ παιδείας, ἢ Περὶ ἀρετῶν, ἢ Περὶ σωφροσύνης, α΄. Προτρεπτικός, α΄. Περὶ ἀριθμῶν, α΄. Ὁριστικὰ περὶ λέξεως συλλογισμῶν, α΄. Περὶ οὐρανοῦ, α΄. Πολιτικῶν, α΄, β΄. Περὶ φύσεως, Περὶ καρπῶν, Περὶ ζώων, ἃ γίνονται στίχων, μ΄., β ω ν. Τοσαῦτα μὲν οὖν καὶ τῷδε τὰ βιβλία. εὗρον δ' αὐτοῦ καὶ διαθήκας τοῦτον ἐχούσας τὸν τρόπον, Ἔσται μὲν εὖ. ἐὰν δέ τι συμβῇ, τάδε διατίθεμαι. τὰ μὲν οἴκοι ὑπάρχοντα πάντα δίδωμι Μέλαντι καὶ Παγκρέοντι τοῖς υἱοῖς Λέοντος. ἀπὸ δὲ τῶν παρ' Ἱππάρχου συμβεβλημένων, τάδε μοι βούλομαι γενέσθαι· τὰ περὶ τὸ μουσεῖον καὶ τὰς θεὰς συντελεσθῆναι, κἂν εἴ τι ἄλλο δύναται περὶ αὐτὰς ἐπικοσμηθῆναι πρὸς τὸ κάλλιον. ἔπειτα τὴν Ἀριστοτέλους εἰκόνα τεθῆναι εἰς τὸ ἱερόν, καὶ τὰ λοιπὰ ἀναθήματα, ὅσα πρότερον ὑπῆρχεν ἐν τῷ ἱερῷ· εἶτα τὸ στοΐδιον οἰκοδομηθῆναι τὸ πρὸς τῷ μουσείῳ μὴ χεῖρον ἢ πρότερον. ἀναθεῖναι δὲ καὶ τοὺς πίνακας, ἐν οἷς αἱ τῆς γῆς περίοδοι εἰσὶν εἰς τὴν κάτω στοάν. ἐπισκευασθῆναι δὲ καὶ τὸν βωμόν, ὅπως ἔχῃ τὸ τέλειον καὶ τὸ εὔσχημον. βούλομαι δὲ καὶ τὴν Νικομάχου εἰκόνα συντελεσθῆναι ἴσην. τὸ μὲν τῆς πλάσεως ἔχει Πραξιτέλης, τὸ δ' ἄλλο ἀνάλωμα ἀπὸ τούτου γινέσθω. σταθῆναι δὲ ὅπου ἂν δοκῇ τοῖς καὶ τῶν ἄλλων ἐπιμελουμένοις τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν καὶ τὰ ἀναθήματα, τοῦτον ἔχει τὸν τρόπον. τὸ δὲ χωρίον τὸ ἐν Σταγείροις ἡμῖν ὑπάρχον, δίδωμι Καλλίνῳ· τὰ δὲ βιβλία πάντα, Νηλεῖ. τὸν δὲ

κῆπον, καὶ τὸν περίπατον, καὶ τὰς οἰκίας τὰς πρὸς τῷ κήπῳ πάσας, δίδωμι τῶν γεγραμμένων φίλων ἀεὶ τοῖς βουλομένοις συσχολάζειν καὶ συμφιλοσοφεῖν ἐν αὐτῷ, ἐπειδὴ γὰρ οὐ δυνατὸν ἀεὶ πᾶσιν ἀνθρώποις ἐπιδημεῖν, μήτε ἐξαλλοτριοῦσθαι, μήτε ἐξιδιαζομένου μηδενός; ἀλλ' ὡς ἂν ἱερὸν κοινὴ κεκτημένοις, καὶ τὰ πρὸς ἀλλήλους οἰκείως καὶ φιλικῶς χρωμένοις; ὡς γὰρ προσῆκον καὶ δίκαιον. ἔσωσαν δὲ οἱ κοινωνοῦντες, Ἵππαρχος; Νηλεὺς, Στράτων, Κλεινίας, Δημότιμος; Δημάρατος; Κλεισθένης, Μεγαίτης; Παγκρέων, Νίκιππος. ἐξεῖναι δὲ βουλομένῳ φιλοσοφεῖν καὶ Ἀριστοτέλει, τῷ Μειδίου καὶ Πυθιάδος υἱῷ, καὶ μετέχειν τούτων· καὶ αὐτοῦ πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πρεσβυτάτους, ὅπως ὅτι μάλιστα περιαχθῇ κατὰ φιλοσοφίαν. θάψαι δὲ καὶ ἡμᾶς ὅπου ἂν δοκῇ μάλιστα ἁρμόττον εἶναι τοῦ κήπου, μηδὲν περιεργὸν περὶ τὴν ταφὴν μήτε περὶ τὸ μνημεῖον ποιοῦντας. ὅπως δὲ συνείρηται, μετὰ τὰ περὶ ἡμᾶς συμβάντα, περὶ τὸ ἱερὸν, καὶ τὸ μνημεῖον, καὶ τὸν κῆπον, καὶ τὸν περίπατον, θεραπευόμενα, συνεπιμελεῖσθαι καὶ Πομπύλον τοῦτον ἐπικοῦντα αὐτὸν, καὶ τὴν τῶν ἄλλων ἐπιμέλειαν ποιούμενον ἣν καὶ πρότερον· τῆς δὲ λοιπ-πλείας ἐπιμελεῖσθαι αὐτὸν τοὺς ἔχοντας ταῦτα. Πομπύλῳ δὲ καὶ Θρέπτῃ πάλαι ἐλευθέροις οὖσι, καὶ ἡμῖν πολλὴν χρείαν παρεχομένοις, εἴ τι πρότερον ἔχουσι παρ' ἡμῶν, καὶ εἴ τι αὐτοὶ ἐκτήσαντο καὶ ἃ νῦν παρ' Ἱππάρχου αὐτοῖς συνέταξα, δισχιλίας δραχμὰς, ἀσφαλῶς οἶμαι δεῖν αὐτοῖς ὑπάρχειν ταῦτα, καθάπερ καὶ αὐτοῖς διελέχθην Μέλαντι καὶ Παγκρέοντι πλεονάκις· καὶ πάντα μοι συγκατετίθεντο. δίδωμι δὲ αὐτοῖς καὶ Σωματάλην, καὶ τὴν παιδίσκην. τῶν δὲ παίδων, Μόλωνα μὲν, Κίμωνα, καὶ Παρμένοντα, ἤδη ἐλευθέροις ἀφίημι. Μαίνην δὲ καὶ Κλεινίαν παραμείναντας ἔτη τέτταρα ἐν τῷ κήπῳ, καὶ συνεργασαμένοις καὶ ἀναμαρτήτοις γινομένοις, ἀφίημι ἐλευθέρους.

τῶν δὲ οἰκηματικῶν σκευῶν ἀποδιδόντας Πομπύλῳ ὅσα ἂν δοκῇ τοῖς ἐπιμεληταῖς καλῶς ἔχειν, τὰ λοιπὰ ἐξαργυρίσαι. δίδωμι δὲ καὶ Καρίωνα Δημοτίμῳ, Δόνακα δὲ Νηλεῖ, Εὔβιον δ᾽ ἀποδόσθαι. δότω δ᾽ Ἵππαρχος Καλλίνῳ τρισχιλίας δραχμάς· Μέλαντι δὲ καὶ Παγκρέοντι, εἰ μὲν μὴ ἑωρῶμεν Ἵππαρχον καὶ ἡμῖν πρότερον χρείαν παρεσχημένον, καὶ νῦν ἐν τοῖς ἰδίοις μάλα νεναυαγηκότα, προσετάξαμεν ἂν μετὰ Μέλαντος καὶ Παγκρέοντος ἐξάγειν αὐτά· ἐπειδὴ δὲ οὔτε ἐκείνοις ἑώρων ῥᾴδιον ὄντα συνοικονομεῖν, λυσιτελέστερόν τε αὐτοῖς ὑπελάμβανον εἶναι τεταγμένον τι λαβεῖν παρὰ Ἱππάρχου· δότω Ἵππαρχος Μέλαντι καὶ Παγκρέοντι, ἑκατέρῳ τάλαντον, διδόναι δ᾽ Ἵππαρχον καὶ τοῖς ἐπιμεληταῖς εἰς τὰ ἀναλώματα, τὰ ἐν τῇ διαθήκῃ γεγραμμένα, κατὰ τοὺς ἑκάστου καιροὺς τῶν δαπανημάτων. οἰκονομήσαντα δὲ ταῦτα Ἵππαρχον ἀπηλλάχθαι τῶν συμβολαίων τῶν πρὸς ἐμὲ πάντων. καὶ εἴ τι ἐπὶ τοῦ ἐμοῦ ὀνόματος συμβέβληκεν Ἵππαρχος ἐν Χαλκίδι, Ἱππάρχου τοῦτό ἐστιν. ἐπιμεληταὶ δὲ ἔστωσαν τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων, Ἵππαρχος, Νηλεύς, Στράτων, Καλλῖνος, Δημότιμος, Καλλισθένης, Κτήσαρχος. αἱ διαθῆκαι κεῖνται ἀντίγραφα τῷ Θεοφράστου δακτυλίῳ σεσημασμέναι, μία μὲν παρὰ Ἡγησίᾳ Ἱππάρχου· μάρτυρες, Κάλλιππος Πελληνεύς, Φιλόμηλος Εὐωνυμεύς, Λύσανδρος Ὑβάδης, Φιλίων Ἀλωπεκῆθεν. τὴν δ᾽ ἑτέραν ἔχει Ὀλυμπιόδωρος· μάρτυρες δ᾽ οἱ αὐτοί. τὴν δ᾽ ἑτέραν ἔλαβεν Ἀδείμαντος, ἀπήνεγκε δὲ Ἀνδροσθένης ὁ υἱός· μάρτυρες, Ἀείμνηστος Κλεοβούλου, Λυσίστρατος Φείδωνος Θάσιος, Στράτων Ἀρκεσιλάου Λαμψακηνός, Θήσιππος Θησίππου ἐκ Κεραμέων, Διοσκουρίδης Διονυσίου Ἐπικηφίσιος. ὧδε ἔχουσιν αὐτῷ καὶ αἱ διαθῆκαι. ἀκοῦσαι δ᾽ αὐτοῦ καὶ Ἐρασίστρατον τὸν ἰατρόν, εἰσὶν οἱ λέγουσι· καὶ εἰκός.

## ΣΤΡΑΤΩΝ.

Διεδέξατο δ᾽ αὐτοῦ τὴν σχολὴν Στράτων Ἀρκεσιλάου, Λαμψακηνὸς, οὗ καὶ ἐν ταῖς διαθήκαις ἐμνημόνευσεν. ἀνὴρ ἐλλογιμώτατος, καὶ φυσικὸς ἐπικληθεὶς ἀπὸ τοῦ ἐπὶ τὴν θεωρίαν ταύτην παρ᾽ ὁντινοῦν ἐπιμελέστατα διατετριφέναι. ἀλλὰ καὶ καθηγήσατο Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἔλαβε (φασὶ) παρ᾽ αὐτοῦ τάλαντα ὀγδοήκοντα. σχολαρχεῖν δὲ (καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς) ἤρξατο τῇ τρίτῃ καὶ εἰκοστῇ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὀκτωκαίδεκα. φέρεται δ᾽ αὐτοῦ καὶ βιβλία ταῦτα· Περὶ βασιλείας, γ΄. Περὶ δικαιοσύνης, τρία· Περὶ τἀγαθοῦ, γ΄· Περὶ θεῶν, γ΄· Περὶ ἀρχῆς, γ΄· Περὶ βίων, Περὶ εὐδαιμονίας, Περὶ φιλοσοφίας, Περὶ ἀνδρίας, Περὶ τοῦ κενοῦ, Περὶ οὐρανοῦ, Περὶ τοῦ πνεύματος, Περὶ φύσεως ἀνθρωπίνης, Περὶ ζωογονίας, Περὶ μίξεως, Περὶ ὕπνου, Περὶ ἐνυπνίων, Περὶ ὄψεως, Περὶ αἰσθήσεως, Περὶ ἡδονῆς, Περὶ χρωμάτων, Περὶ νόσων, Περὶ κρίσεων, Περὶ δυνάμεων, Περὶ τῶν μεταλλικῶν μηχανημάτων, Περὶ λιμοῦ καὶ σκοτώσεων, Περὶ κούφου καὶ βαρέος, Περὶ ἐνθουσιασμοῦ, Περὶ χρόνου, Περὶ τροφῆς καὶ αὐξήσεως, Περὶ τῶν ἀπορουμένων ζώων, Περὶ τῶν μυθολογουμένων ζώων, Περὶ αἰτιῶν, Λύσεις ἀπορουμένων, Τόπων προοίμια, Περὶ τοῦ συμβεβηκότος, Περὶ τοῦ ὅρου, Περὶ τοῦ μᾶλλον καὶ ἧττον, Περὶ ἀδίκου, Περὶ τοῦ προτέρου γένους, Περὶ τοῦ ἰδίου, Περὶ τοῦ μέλλοντος, Περὶ τοῦ προτέρου καὶ ὑστέρου, Εὑρημάτων ἔλεγχοι δύο. Ὑπομνήματα, διστάζεται· Ἐπιστολαὶ ὧν ἀρχὴ, Στράτων Ἀρσινόῃ εὖ πράττειν. τοῦτον φασὶν οὕτω γενέσθαι λεπτὸν ὡς ἀναισθήτως τελευτῆσαι. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον,

Λεπτὸς ἀνὴρ δέμας ἦν, εἰ μὴ προσεχρήσατο χρισμοῖς,

Στράτωνα τοῦτον φημί σοι Λαμψακηνόν·
Λάμψακος ὅν ποτ' ἔφυσεν. ἀεὶ δὲ νόσοισι παλαίων
Θνήσκει λαθὼν, οὐδ' ᾔσθετο θανάτου.

γόνασι δὲ Στράτωνες ὀκτώ· πρῶτος, Ἰσοκράτους ἀκροατής· δεύτερος, αὐτὸς οὗτος· τρίτος, ἰατρὸς, μαθητὴς Ἐρασιστράτου, ὡς δέ τινες, τρόφιμος· τέταρτος, ἱστορικὸς, Φιλίππου καὶ Περσέως τῶν Ῥωμαίοις πολεμησάντων γεγραφὼς πράξεις· ἕκτος, ποιητὴς ἐπιγραμμάτων· ἕβδομος, ατρὸς ἀρχαῖος, ὡς Ἀριστοτέλης φησίν· ὄγδοος, περιπατητικὸς, βεβιωκὼς ἐν Ἀλεξανδρείᾳ. τοῦ δ' οὖν φυσικοῦ φέρονται καὶ διαθῆκαι τοῦτον ἔχουσαι τὸν τρόπον, Τάδε διατίθεμαι, ἐάν τι πάσχω. τὰ μὲν οἴκοι καταλείπω πάντα Λαμπυρίωνι, καὶ Ἀρκεσιλάῳ. ἀπὸ δὲ τοῦ Ἀθήνησιν ὑπαρχοντός μοι ἀργυρίου, πρῶτον μὲν οἱ ἐπιμεληταὶ τὰ περὶ τὴν ἐκφορὰν ἐπιμεληθήτωσαν, καὶ ὅσα νομίζεται μετὰ τὴν ἐκφορὰν, μηθὲν μήτε περίεργον ποιοῦντες μήτ' ἀνελεύθερον. ἐπιμεληταὶ δὲ ἔστωσαν τῶν κατὰ τὴν διαθήκην οἵδε, Ὀλυμπικὸς, Ἀριστείδης, Μνησιγένης, Ἱπποκράτης, Ἐπικράτης, Γοργύλος, Διοκλῆς, Λύκων, Ἀθάνης. καταλείπω δὲ τὴν μὲν διατριβὴν Λύκωνι, ἐπειδὴ τῶν ἄλλων οἱ μὲν εἰσι πρεσβύτεροι, οἱ δὲ, ἄσχολοι. καλῶς δ' ἂν ποιοῖεν καὶ οἱ λοιποὶ συγκατασκευάζοντες τοῦτο. καταλείπω δ' αὐτῷ καὶ τὰ βιβλία πάντα, πλὴν ὧν αὐτοὶ γεγράφαμεν, καὶ τὰ σκεύη πάντα, κατὰ τὸ συσσίτιον, καὶ τὰ στρώματα, καὶ τὰ ποτήρια. δότωσαν δὲ οἱ ἐπιμεληταὶ Ἐπικράτει πεντακοσίας δραχμὰς, καὶ τῶν παίδων ἕνα ὃν ἂν δοκῇ. Ἀρκεσιλάῳ δὲ πρῶτον μὲν Λαμπυρίων καὶ Ἀρκεσίλαος, ἀράθωσαν τὰς συνθήκας ἃς ἔθετο Δαΐππος ὑπὲρ Ἰραίου· καὶ μηδὲν ὀφειλέτω μήτε Λαμπυρίωνι, μήτε τοῖς Λαμπυρίωνος κληρονόμοις, ἀλλ' ἀπηλλάχθω παντὸς τοῦ συμβολαίου. δότωσαν δ' αὐτῷ καὶ οἱ ἐπιμεληταὶ ἀργυρίου πεντακοσίας δραχμὰς, καὶ τῶν παίδων ἕνα, ὃν ἂν δοκιμάζῃ

Ἀρκεσίλαος, ὅπως ἂν πολλὰ συμπεπονηκὼς ἡμῖν, καὶ πα-ρεσχημένος χρείας, ἔχῃ βίον ἱκανὸν, καὶ εὐσχήμων ᾖ. ἀ-φίημι δὲ καὶ Διόφαντον ἐλεύθερον, καὶ Διοκλέα, καὶ Ἄ-βυν. Σιμμίαν δὲ ἀποδίδωμι Ἀρκεσιλάῳ. ἀφίημι δὲ καὶ Δρό-μωνα ἐλεύθερον. ἐπειδὰν δὲ παραγένηται Ἀρκεσίλαος, λο-γισάσθω Ἵραιος μετ' Ὀλυμπικοῦ καὶ Ἐπικράτους καὶ τῶν ἄλλων ἐπιμελητῶν τὸ γεγονὸς ἀνάλωμα εἰς τὴν ἐκφο-ρὰν, καὶ τὰ ἄλλα τὰ νομιζόμενα. τὸ δὲ περιὸν ἀργύριον κο-μισάσθω Ἀρκεσίλαος παρὰ Ὀλυμπικοῦ, μηδὲν ἐνοχλῶν αὐτὸν κατὰ τοὺς καιροὺς καὶ τοὺς χρόνους. ἀρέσθω δὲ καὶ τὰς συνθήκας Ἀρκεσίλαος, ἃς ἔθετο Στράτων πρὸς Ὀ-λυμπικὸν καὶ Ἀμεινίαν, τὰς κειμένας παρὰ Φιλοκρά-τει Τισαμένου. τὰ δὲ περὶ τὸ μνημεῖον ποιείτωσαν ὡς ἂν δοκῇ Ἀρκεσιλάῳ καὶ Ὀλυμπικῷ καὶ Λύκωνι. καὶ αἵδε μέν εἰσιν αἱ φερόμεναι αὐτοῦ διαθῆκαι, καθά που συνήγαγε καὶ Ἀρίστων ὁ Κεῖος. αὐτὸς δὲ ὁ Στράτων ἀνὴρ γέγονε (καθάπερ καὶ ἄνω δεδήλωται) πολλῆς τῆς ἀπο-δοχῆς ἄξιος, διατρίψας ἐν παντὶ λόγων εἴδει, καὶ μάλι-στά γε ἐν τῷ καλουμένῳ φυσικῷ, ὅπερ εἶδος ἀρχαιότερόν τε καὶ σπουδαιότερον.

## ΛΥ'ΚΩΝ.

ΤΟῦτον διεδέξατο Λύκων Ἀστυάνακτος, Τρωαδεὺς, φραστικὸς ἀνὴρ, καὶ περὶ παίδων ἀγωγῆς ἄκρως συντεταγμένος. ἔφασκε γὰρ δεῖν παρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ καὶ φιλοτιμίαν, ὡς τοῖς ἵπποις μύωπα καὶ χαλι-νόν. τὸ δ' ἐκφραστικὸν αὐτοῦ καὶ περιγεγονὸς ἐν τῇ ἑρ-μηνείᾳ, φαίνεται κἀνθάδε. φησὶ γὰρ τοῦτον τὸν τρόπον ἐπὶ παρθένου πενιχρᾶς, Βαρὺ γὰρ φορτίον πατρὶ κόρη, διὰ σπά-νιν προικὸς ἐκτρέχουσα τὸν ἀκμαῖον τῆς ἡλικίας και-ρόν. διὸ δὴ καί φασιν Ἀντίγονον ἐπ' αὐτοῦ τοῦτο εἰπεῖν,

ς οὐκ ἦν ὥσπερ μήλου τὴν εὐωδίαν καὶ χάριν ἄλλο-
ί που μετενεγκεῖν, ἀλλ' ἐπ' αὐτοῦ τοῦ ἀνθρώπου, καθάπερ
ἐπὶ τοῦ δένδρου, τῶν λεγομένων ἕκαστον ἔδει θεωρεῖσθαι. τοῦτο
δ', ὅτι ἐν μὲν τῷ λέγειν γλυκύτατος ἦν. παρὸ καί τινες τὸ
γάμμα αὐτοῦ τῷ ὀνόματι προσετίθεσαν. ἐν δὲ τῷ γρά-
φειν ἀνόμοιος αὑτῷ. ἀμέλει γοῦν καὶ ἐπὶ τῶν μεταγινω-
σκόντων ἐπειδὴ μὴ ἔμαθον ὅτε καιρός, καὶ εὐχομένων, οὕ-
τως ἐκαλλιέπει τὴν τοπικήν. ἔλεγχεν αὐτοὺς κατηγορεῖν, ἀ-
δυνάτῳ μηνύοντας εὐχῇ μετάνοιαν ἀργίας ἀδιόρθωτον.
τούς τε βουλευομένους ὀρθῶς, διαπίπτειν ἔφασκε τῷ λογι-
σμῷ, οἱονεὶ στρεβλῷ κανόνι βασανίζοντας εὐθεῖαν φύσιν, ἢ
πρόσωπον ὕδατι κλυδαζομένῳ ἢ κατόπτρῳ διεστραμμέ-
νῳ. καὶ ἐπὶ μὲν τὸν ἐκ τῆς ἀγορᾶς στέφανον πολλοὺς ἀπιέ-
ναι, ἐπὶ δὲ τὸν Ὀλυμπιᾶσιν ἢ ὀλίγους, ἢ οὐδένα. Πολλά-
κις τε πολλὰ συμβουλεύσας Ἀθηναίοις, τὰ μέγιστα αὐτοὺς
ὠφέλησεν. ἦν δὲ καὶ καθαρώτατος τὴν στολήν, ὡς ἀνυ-
πέρβλήτῳ χρῆσθαι μαλακότητι ἱματίων, καθάπερ φησὶν
Ἕρμιππος. ἀλλὰ καὶ γυμναστικώτατος ἐγένετο, καὶ εὐέ-
κτης τὸ σῶμα, τήν τε πᾶσαν σχέσιν ἀθλητικὴν ἐπιφαίνων,
ὠτοθλαδίας καὶ ἐμπινὴς ὤν, καθά φησιν Ἀντίγονος ὁ Κα-
ρύστιος. διὰ τοῦτο δὲ καὶ παλαῖσαι λέγεται τά τε ἐν τῇ πα-
τρίδι Ἰλεία, καὶ σφαιρίσαι. ὡς οὐκ ἄλλος τε, ἦν φίλος
τοῖς περὶ Εὐμένη καὶ Ἄτταλον, οἳ καὶ πλεῖστα ἐπεχορήγουν
αὐτῷ. ἐπειρᾶτο δ' αὐτὸν σχεῖν καὶ Ἀντίοχος, ἀλλ' οὐκ ἔ-
τυχεν. οὕτω δὲ ἦν ἐχθρὸς Ἱερωνύμῳ τῷ περιπατητικῷ,
ὡς μόνον μὴ ἀπαντᾷν πρὸς αὐτὸν εἰς τὴν ἐτήσιον ἡμέ-
ραν, περὶ ἧς ἐν τῷ Ἀρκεσιλάου βίῳ διειλέγμεθα. ἀφηγή-
σατο δὲ τῆς σχολῆς ἔτη τετταράκοντα, Στράτωνος αὐτὸν ἐν ταῖς
διαθήκαις καταλιπόντος, κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν
καὶ ἑκατοστὴν Ὀλυμπιάδα. οὐ μὴν ἀλλὰ καὶ Πανθοί-
δου διήκουσε τοῦ διαλεκτικοῦ. ἐτελεύτησε δὲ γεγονὼς ἔτος
τέταρτον καὶ ἑβδομηκοστόν, νόσῳ ποδαγρικῇ καταπονηθείς.

καὶ ἔστιν καὶ ἡμῶν εἰς αὐτὴν,

Οὐ μὰ τὸν, οὐδὲ Λύκωνα παρήσομεν, ὅτι ποδαλγὴς
Κάτθανε. θαυμάζω τοῦτο μάλιστα δ' ἐγώ.
Τὴν οὕτως ἀΐδαο μακρὴν ὁδὸν, ἣν πρὶν ὁ ποσὶν
Ἀλλοτρίοις βαδίσας, ἔδραμε νυκτὶ μιῇ.

γεγόνασι δὲ καὶ ἄλλοι Λύκωνες· πρῶτος, Πυθαγορικός· δεύτερος, αὐτὸς οὗτος· τρίτος, ἐπῶν ποιητής· τέταρτος, ἐπιγραμμάτων ποιητής. τοῦ δὲ φιλοσόφου καὶ διαθήκαις περιετύχομεν ταῖσδε, Τάδε διατίθεμαι περὶ τῶν κατ' ἐμαυτοῦ, ἐὰν μὴ δυνηθῶ τὴν ἀρρωστίαν ταύτην ὑπενεγκεῖν. τὰ μὲν ἐν οἴκῳ πάντα δίδωμι τοῖς ἀδελφοῖς, Ἀστυάνακτι καὶ Λύκωνι. καὶ οἶμαι δεῖν ἀποδοθῆναι ἀπὸ τούτων ὅσα κατακέχρημαι Ἀθήνησι παρά τινος, ἔχων ἢ ἐκπεπραχώς καὶ ἃ ἂν εἰς τὴν ἐκφορὰν ἀναλωθῇ, καὶ εἰς τἄλλα τὰ νομιζόμενα. τὰ δὲ ἐν ἄστει καὶ ἐν Αἰγίνῃ, δίδωμι Λύκωνι διὰ τὸ καὶ τοὔνομα φέρειν ἡμῶν, καὶ συνδιατετριφέναι πλείω χρόνον ἀρεστῶς πάνυ, καθάπερ δίκαιον ἦν τὸν υἱοῦ τάξιν ἐσχηκότα. τὸν δὲ περίπατον καταλείπω τῶν γνωρίμων τοῖς βουλομένοις, Βούλωνι, Καλλίνῳ, Ἀρίστωνι, Ἀμφίωνι, Λύκωνι, Πύθωνι, Ἀριστομάχῳ, Ἡρακλείῳ, Λυκομήδει, Λύκωνι τῷ ἀδελφιδῷ. προστησάσθωσαν δ' αὐτοὶ ὃν ἂν ὑπολαμβάνωσι διαμένειν ἐπὶ τοῦ πράγματος καὶ συνέξειν μάλιστα δυνήσεσθαι. συγκατασκευαζέτωσαν δὲ καὶ οἱ λοιποὶ γνώριμοι, κἀμοῦ καὶ τοῦ τόπου χάριν. περὶ δὲ τῆς ἐκφορᾶς καὶ καύσεως ἐπιμεληθήτωσαν Βούλων καὶ Καλλῖνος μετὰ τῶν συνήθων, ὅπως μήτ' ἀνελεύθερος γένηται μήτε περίεργος. τῶν δὲ ἐν Αἰγίνῃ μοι γινομένων μερῶν μετὰ τὴν ἐμὴν ἀπόλυσιν καταχωρισάτω Λύκων τοῖς νεανίσκοις εἰς ἐλαιοχρηστίαν, ὅπως καὶ ἐμοῦ καὶ τοῦ τιμήσαντος ἐμὲ μνήμη γίνηται διὰ τῆς χρείας αὕτη ἡ προσήκουσα. καὶ ἀνδριάντα ἡμῶν ἀναθέτω. τὸν δὲ τόπον, ὅπως ἁρμόττων ᾖ, τῆς στάσεως, ἐπιβλ

άτω καὶ συμπραγματευθήτω Διόφαντος καὶ Ηρακλείδης Δημητρίου. ἀπὸ δὲ τῶν ἐν ἄστει, Λύκων ἀποδότω πᾶσι παρὼν ἃ προείληφα μετὰ τὴν ἀποδημίαν τὴν κείνου. παρακολουθούντων δὲ Βούλων καὶ Καλλῖνος, καὶ ἃ ν εἰς τὴν ἐκφορὰν ἀναλωθῇ, καὶ τὰ ἄλλα τὰ νομιζόμενα. κομισάσθω δὲ ταῦτα ἀπὸ τῶν ἐν οἴκῳ κοινῇ καταλειπομένων ἀμφοτέροις ὑπ' ἐμοῦ. τιμησάτω δὲ καὶ τοὺς ἰατροὺς Πασίθεμιν καὶ Μειδίαν, ἀξίους ὄντας, καὶ διὰ τὴν ἐπιμέλειαν τὴν περὶ ἐμὲ, καὶ τὴν τέχνην, καὶ μείζονος τιμῆς. δίδωμι δὲ τῷ Καλλίνου παιδίῳ θηρικλείων ζεῦγος, καὶ τῇ γυναικὶ αὐτοῦ ῥοιάκων ζεῦγος, ψιλοτάπιδα, ἀμφίταπιν, περίστρωμα, προσκεφάλαια δύο τὰ βέλτιστα τῶν καταλειπομένων· ὡς ἂν ἐφ' ὅσον ἂν ἥκει πρὸς τιμὴν, καὶ τούτων φαινώμεθα μὴ ἀμνημονεύοντες. περὶ δὲ τῶν θεραπευόντων ἐμαυτὸν οὕτως ἐξάγω· Δημητρίῳ μὲν ἐλευθέρῳ πάλαι ὄντι ἀφίημι τὰ λύτρα, καὶ δίδωμι πέντε μνᾶς, καὶ ἱμάτιον καὶ χιτῶνα· ἵνα πολλὰ πεπονηκὼς μετ' ἐμοῦ, βίον εὐσχήμονα ἔχῃ. Κρίτωνι δὲ Καρχηδονίῳ, καὶ τούτῳ τὰ λύτρα ἀφίημι, καὶ δίδωμι τέτταρας μνᾶς. καὶ τὸν Μικρὸν ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω μὲν αὐτὸν καὶ παιδευσάτω, ἀπὸ τοῦ νῦν χρόνου ἓξ ἔτη. καὶ Χάρητα ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω Λύκων αὐτόν. καὶ δύο μνᾶς αὐτῷ δίδωμι, καὶ τὰ ἐμὰ βιβλία τὰ ἀνεγνωσμένα· τὰ δὲ ἀνέκδοτα, Καλλίνῳ, ὅπως ἐπιμελῶς αὐτὰ ἐκδῷ. δίδωμι δὲ καὶ Σύρῳ ἐλευθέρῳ ὄντι τέτταρας μνᾶς, καὶ τὴν Μηνοδώραν δίδωμι· καὶ εἴ τι μοι ὀφείλει, ἀφίημι αὐτόν. καὶ Ἱλαρᾷ πέντε μνᾶς, καὶ ἀμφίταπιν, καὶ δύο προσκεφάλαια, καὶ περίστρωμα, καὶ κλίνην ἣν ἂν βούληται. ἀφίημι δὲ ἐλευθέραν καὶ τὴν τοῦ Μικροῦ μητέρα, καὶ Νοήμονα, καὶ Δίωνα, καὶ Θέωνα, καὶ Εὐφράνορα, καὶ Ἑρμείαν. καὶ Ἀγάθωνα, δύο ἔτη παραμείναντα, ἀφεῖσθαι ἐλεύθερον· καὶ τοὺς φορεαφόρους, Ὠφελίωνα καὶ Ποσειδώνιον,

τέτταρα ἔτη παραμείναντας. δίδωμι δὲ καὶ Δημητρίῳ καὶ Κρίτωνι καὶ Σύρῳ, κλίνην ἑκάστῳ, καὶ στρώματα τῶν καταλειπομένων, ἃ ἂν φαίνηται Λύκωνι καλῶς ἔχειν. ταῦτα ἔστω αὐτοῖς, ἀποδείξασιν ὀρθῶς ἐφ᾽ ὧν ἕκαστοι τεταγμένοι εἰσί. περὶ δὲ τῆς ταφῆς, ἐάν τε αὐτοῦ βούληται Λύκων θάπτειν, ἐάν τε ἐν οἴκῳ, οὕτω ποιείτω. πέπεισμαι γὰρ αὐτὸν οὐδὲν ἧττον ἐμοῦ συνορᾶν τὸ εὔσχημον. ταῦτα δὲ πάντα οἰκονομήσαντι κυρία ἔστω ἡ δόσις τῶν ἐνταῦθα. μάρτυρες Κλεῖνος Ἑρμιονεύς, Ἀρίστων Κεῖος, Εὐφρόνιος Παιανιεύς. οὕτω μέντοι αὐτῷ συνετῶς τὰ πάντα πράττοντι, τά τε περὶ παιδείαν καὶ πάντας λόγους, οὐδὲν ἧττον καὶ τὸ τῶν διαθηκῶν τόπον τινὰ καὶ σφόδρα οἰκονομικῶς τε καὶ ἐπιμελῶς ἴσχει· ὥστε κἀνταῦθα ζηλωτέος.

## ΔΗΜΗΤΡΙΟΣ.

Δημήτριος Φανοστράτου, Φαληρεύς· οὗτος ἤκουσε μὲν Θεοφράστου. δημηγορῶν δὲ παρ᾽ Ἀθηναίοις, τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα, καὶ εἰκόνων ἠξιώθη χαλκῶν ἑξήκοντα πρὸς ταῖς τριακοσίαις· ὧν αἱ πλείους ἐφ᾽ ἵππων ἦσαν καὶ ἁρμάτων καὶ συνωρίδων, συντελεσθεῖσαι ἐν οὐδὲ τριακοσίαις ἡμέραις. τοσοῦτον ἐσπουδάσθη. ἄρξασθαι δ᾽ αὐτὸν τῆς πολιτείας φησὶ Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις, ὁπότε φυγὼν Ἀλέξανδρον εἰς Ἀθήνας ἧκεν Ἅρπαλος. πολλὰ δὲ καὶ κάλλιστα τῇ πατρίδι ἐπολιτεύσατο. καὶ γὰρ προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν πόλιν, καίπερ οὐκ εὐγενὴς ὤν. ἦν γὰρ ἐκ τῆς Κόνωνος οἰκίας, ὡς Φαβωρῖνος ἐν πρώτῳ τῶν ἀπομνημονευμάτων φησίν. ἀλλὰ ἀστῇ καὶ εὐγενεῖ συνῴκει Λαμίᾳ τῇ ἐρωμένῃ, καθάπερ ὁ αὐτὸς ἐν τῷ πρώτῳ φησίν. ἀλλὰ καὶ ὑπὸ Κλέωνος πεπονθέναι ἐν τῷ δευτέρῳ ἱστορεῖ. Δίδυμος δὲ ἐν συμποσιακοῖς, καὶ χαριτοβλέφαρον, καὶ λαμπετὼ καλεῖσθαι

αὐτόν φησιν ἀπό τινος ἑταίρας. λέγεται δ' ἀποβαλόντα αὐτὸν τὰς ὄψεις ἐν Ἀλεξανδρείᾳ, κομίσασθαι αὖθις παρὰ τοῦ Σαράπιδος· ὅθεν καὶ τοὺς παιᾶνας ποιῆσαι τοὺς μέχρι νῦν ᾀδομένους. σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις, ὅμως ἐπεσκοτίσθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ πάντα διεσθίοντος φθόνου. ἐπιβουλευθεὶς γὰρ ὑπό τινων δίκην θανάτου, οὐ παρὼν ὦφλεν. οὐ μὴν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ, ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκόν, κατασπάσαντες αὐτοῦ τὰς εἰκόνας, καὶ τὰς μὲν ἀποδόμενοι, τὰς δὲ βυθίσαντες, τὰς δὲ κατακόψαντες εἰς ἀμίδας· λέγεται γὰρ καὶ τοῦτο. μία δὲ μόνη σώζεται ἐν ἀκροπόλει. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ, τοῦτο ποιῆσαι τοὺς Ἀθηναίους, Δημητρίου κελεύσαντος τοῦ βασιλέως. ἀλλὰ καὶ τὸ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ ἐπέγραψαν ἀνομίας, ὥς Φαβωρῖνος. φησὶ δ' αὐτὸν Ἕρμιππος μετὰ τὸν Κασσάνδρου θάνατον φοβηθέντα Ἀντίγονον, παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα· κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοῖς ἄλλοις, καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. τοῦ δὲ οὐ πεισθέντος, ἀλλὰ παραδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῇ χώρᾳ μέχρι τι δόξει περὶ αὐτοῦ. ἐνταῦθα ἀθυμότερον διῆγε· καί πως ὑπνώττων, ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μετέθηκε. καὶ θάπτεται ἐν τῷ Βουσειρίτῃ νομῷ, πλησίον Διοσπόλεως. καὶ αὐτῷ ἐπεγράψαμεν ἡμεῖς,

Παρ' ὑμῖν ἀνεῖλεν ἀσπὶς τὸν σοφὸν Δημήτριον,
Ἰὸν ἔχουσα πολὺν ἄσμηκτον,
Οὐ στίλβουσα φῶς ἀπ' ὀμμάτων, ἀλλ' ἀΐδην μέλανα.

Ἡρακλείδης δ' ἐν τῇ ἐπιτομῇ τῶν Σωτίωνος διαδοχῶν, τῷ Φιλαδέλφῳ τὴν βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον· τὸν δ' ἀποτρέπειν, φάσκοντα, Ἂν ἄλλῳ δῷς,

σὺ οὐκ ἄξεις. ὁπηνίκα δὴ ἐσυκοφαντεῖτο ἐν ταῖς Ἀθήναις (μανθάνω γὰρ καὶ τοῦτο) Μένανδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ· ἀλλ' αὐτὸν παρῃτήσατο Τελεσφόρος ὁ ἀνεψιὸς τοῦ Δημητρίου. πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς κατ' αὐτὸν Περιπατητικούς, ἀπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὁντινοῦν· ὧν ἐστι τὰ μὲν, ἱστορικὰ· τὰ δὲ, πολιτικὰ· τὰ δὲ, περὶ ποιητῶν· τὰ δὲ, ῥητορικὰ· δημηγοριῶν τε καὶ πρεσβειῶν. ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαὶ, καὶ ἄλλα πλείω. ἔστι δὲ, τὰ Περὶ τῆς Ἀθήνησι νομοθεσίας, α, β, γ, δ, ε· Περὶ τῶν Ἀθήνησι πολιτῶν, α, β· Περὶ δημαγωγίας, α, β· Περὶ πολιτικῆς, α, β· Περὶ νόμων, α· Περὶ ῥητορικῆς, α, β· Στρατηγικῶν, α, β· Περὶ Ἰλιάδος, α, β· Περὶ Ὀδυσσείας, α, β, γ, δ· Πτολεμαῖος, Ἐρωτικὸς, α· Φαιδώνδας, α· Μαίδων, α· Κλέων, α· Σωκράτης, α· Ἀριστόμαχος, α· Ἀρταξέρξης, α· Ὁμηρικὸς, α· Ἀριστείδης, α· Προτρεπτικὸς, α· Ὑπὲρ τῆς πολιτείας, α· Περὶ τῆς δεκαετίας, α· Περὶ τῶν Ἰώνων, α· Πρεσβευτικὸς, α· Περὶ πίστεως, α· Περὶ χάριτος, α· Περὶ τύχης, α· Περὶ μεγαλοψυχίας, α· Περὶ γάμου, α· Περὶ τοῦ δοκοῦ, α· Περὶ εἰρήνης, α· Περὶ νόμων, α· Περὶ ἐπιτηδευμάτων, α· Περὶ καιροῦ, α· Διονύσιος, α· Χαλκιδικὸς, α· Ἀθηναίων καταδρομὴ, α· Περὶ Ἀντιφάνους, α· Προοίμιον ἱστορικὸν, α· Ἐπιστολαὶ, α· Ἐκκλησία ἔνορκος, α· Περὶ γήρως, α· Δίκαια, α· Αἰσωπείων, α· Χρειῶν, α. Χαρακτὴρ δὲ φιλόσοφος, εὐτονίᾳ ῥητορικῇ καὶ δυνάμει κεκραμένος. οὗτος, ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν Ἀθηναῖοι, Ἀλλ' οὐ τὴν ἀρετὴν, ἔφη, δι' ἣν ἐκείνας ἀνέστησαν. ἔλεγε μὴ μικρὸν εἶναι μέρος τὰς ὀφρῦς· ὅλῳ γοῦν ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ. οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλὸν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν αὐτὸν τύχην. ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, το-

τοῦτον ἐν πολιτείαις ἰσχύειν λόγον. ἰδών ποτε νεανίσκον ἄσωτον, Ἰδοὺ, ἔφη, τετράγωνος Ἑρμῆς, ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα. τῶν τετυφωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν, τὸ δὲ φρόνημα καταλιπεῖν. τοὺς νέους ἔφη δεῖν, ἐπὶ μὲν τῆς οἰκίας τοὺς γονεῖς αἰδεῖσθαι· ἐν δὲ ταῖς ὁδοῖς, τοὺς ἀπαντῶντας· ἐν δὲ ταῖς ἐρημίαις, ἑαυτούς. τοὺς φίλους ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι, ἐπὶ δὲ τὰς συμφορὰς, αὐτομάτους. τοσαῦτα καὶ εἰς τοῦτον ἀναφέρεσθαι δοκεῖ. γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι· πρῶτος, Καρχηδόνιος, ῥήτωρ, καὶ Θρασυμάχου πρεσβύτερος· δεύτερος, αὐτὸς οὗτος· τρίτος, Βυζάντιος Περιπατητικός· τέταρτος, καλούμενος γραφικὸς, καὶ σαφὴς διηγήσασθαι (ἦν δὲ καὶ ὁ αὐτὸς ζωγράφος) πέμπτος, Ἀσπένδιος, μαθητὴς Ἀπολλωνίου τοῦ Σολέως· ἕκτος, Καλατιανὸς, ὁ γεγραφὼς περὶ Ἀσίας καὶ Εὐρώπης εἴκοσι βίβλους· ἕβδομος, Βυζάντιος, ἐν τρεισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν, καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον, καὶ τὴν Λιβύης ὑπ' αὐτῶν διοίκησιν· ὄγδοος, ὁ διατρίψας ἐν Ἀλεξανδρείᾳ σοφιστὴς, τέχνας γεγραφὼς ῥητορικάς· ἔνατος, Ἀδραμυττηνὸς, γραμματικὸς, ἐπικληθεὶς Ἰξίων, διὰ τὸ ἀδικῆσαί τι δοκεῖν περὶ τὴν Ἥραν· δέκατος, Κυρηναῖος γραμματικὸς, ὁ ἐπικληθεὶς Στάμνος, ἀνὴρ ἀξιόλογος· ἑνδέκατος, Σκήψιος, πλούσιος καὶ εὐγενὴς ἄνθρωπος, καὶ φιλόλογος ἄκρως· (οὗτος καὶ Μητρόδωρον προεβίβασε τὸν πολίτην) δωδέκατος, γραμματικὸς, Ἐρυθραῖος, πολιτογραφηθεὶς ἐν Τήμνῳ. τρεισκαιδέκατος, Βιθυνὸς Διφύλου τοῦ Στωϊκοῦ υἱὸς, μαθητὴς δὲ Παναιτίου τοῦ Ῥοδίου· τεσσαρεσκαιδέκατος, ῥήτωρ Σμυρναῖος. καὶ οὗτοι μὲν, λογικοί. ποιηταὶ δὲ, πρῶτος, ἀρχαίαν κωμῳδίαν πεποιηκώς·

δεύτερος ἐπῶν ποιητής, οὗ μόνα σώζεται πρὸς τοὺς φθονεροὺς εἰρημένα τάδε,

Ζωὸν ἀτιμήσαντες, ἀποφθίμενον ποθέουσι.
Καί ποτ' ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο
Ἄστεα νεῖκος ἔπηλθεν, ἔριν δ' ἐστήσατο λαός.

τρίτος, Ταρσικός, σατυρογράφος· τέταρτος, ἰάμβοις γεγραφώς, πικρὸς ἀνήρ· πέμπτος, ἀνδριαντοποιός, οὗ μέμνηται Πολέμων· ἕκτος, Ἐρυθραῖος, ποικιλογράφος ἄνθρωπος, καὶ ἱστορικὰ καὶ ῥητορικὰ πεποίηκε βιβλία.

## ΗΡΑΚΛΕΙΔΗΣ.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης, τοῦ Πόντου, ἀνὴρ πλούσιος. Ἀθήνησι δὲ παρέβαλε πρῶτον μὲν Σπευσίππῳ· ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε, καὶ τὰ Πλάτωνος ἐζηλώκει· καὶ ὕστερον ἤκουσεν Ἀριστοτέλους, ὥς φησι Σωτίων ἐν διαδοχαῖς. οὗτος ἐσθῆτί τε μαλακῇ ἐχρῆτο, καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικόν, ἀλλὰ Πομπικὸν καλεῖσθαι. πρᾷός τε ἦν τὸ βάδισμα καὶ σεμνός. φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά τε καὶ ἄριστα. Διάλογοι, ὧν ἠθικὰ μὲν, Περὶ δικαιοσύνης γ΄· ἓν δὲ, Περὶ σωφροσύνης· Περί τε ἀσεβείας, α΄· καὶ Περὶ ἀνδρείας, α΄· κοινῶς τε Περὶ ἀρετῆς, α΄· Περὶ εὐδαιμονίας, α΄· Περὶ ἀρχῆς, α΄· καὶ Νόμων, α΄, καὶ τῶν συγγενῶν τούτοις· Περὶ ὀνομάτων, α΄· Συνθῆκαι, α΄· Ἀκούσιος ἐρωτικός, καὶ Κλεινίας, α΄. φυσικὰ δὲ, Περὶ νοῦ, Περὶ ψυχῆς, καὶ κατ' ἰδίαν, Περὶ ψυχῆς, καὶ Περὶ φύσεως, Περὶ εἰδώλων, Πρὸς Δημόκριτον Περὶ τῶν ἐν οὐρανῷ, α΄· Περὶ τῶν ἐν ᾅδου· Περὶ βίων, α΄, β΄· αἰτίαι Περὶ νόσων, α΄· Περὶ τοῦ ἀγαθοῦ, α΄· Πρὸς τὰ Ζήνωνος, α΄· Πρὸς τὰ Μήτρωνος, α΄· γραμματικὰ δὲ, Περὶ τῆς Ὁμήρου καὶ Ἡσιόδου ἡλικίας α΄, β΄· Περὶ Ἀρχιλόχου καὶ Ὁμήρου α΄, β΄. καὶ μουσικὰ

δὲ, Περὶ τῶν παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ, α, β, γ. Περὶ μουσικῆς, α, β. Λύσεων Ὁμηρικῶν, α, β. Θεωρηματικὸν, α. Περὶ τῶν τριῶν τραγωδοποιῶν, α. Χαρακτῆρες, α. Περὶ ποιητικῆς καὶ τῶν ποιητῶν, α. Περὶ στοχασμοῦ, α. Προοπτικῶν, α. Ἡρακλείτου ἐξηγήσεις, δ. Πρὸς τὸν Δημόκριτον ἐξηγήσεις, α. Λύσεων ἐριστικῶν, α, β. Ἀξίωμα, α. Περὶ εἰδῶν, α. Λύσεις, α. Ὑποθῆκαι, α. Πρὸς Διονύσιον, α. ῥητορικὰ δὲ, Περὶ τοῦ ῥητορεύειν, ἢ Πρωταγόρας. ἱστορικὰ, περὶ Πυθαγορείων, καὶ Περὶ εὑρημάτων. τούτων τὰ μὲν κωμικῶς πέπλακεν, ὡς τὸ Περὶ ἡδονῆς, καὶ Περὶ σωφροσύνης· τὰ δὲ, τραγικῶς, ὡς τὸ Περὶ τῶν καθ' ᾅδην, καὶ τὸ Περὶ εὐσεβείας, καὶ τὸ Περὶ ἐξουσίας. ἔστι δ' αὐτῷ καὶ μεσότης τις ὁμιλητικὴ φιλοσόφων τε καὶ στρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν πρὸς ἀλλήλους διαλεγομένων. ἀλλὰ καὶ γεωμετρικά ἐστιν αὐτοῦ καὶ διαλεκτικά. ἄλλως τε καὶ ἐν ἅπασι ποικίλος τε καὶ διηρμένος τὴν λέξιν ἐστὶ, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος. δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν ὁμωνύμοις. ὃς καὶ τοιόνδε ἱστορεῖ περὶ αὐτοῦ· θρέψαι αὐτὸν δράκοντα ἐκ νέου, καὶ αὐξηθέντα, ἐπειδὴ τελευτᾶν ἔμελλε, κελεῦσαι τινὶ τῶν πιστῶν αὐτοῦ τὸ σῶμα κατακρύψαι, τὸν δὲ δράκοντα ἐπὶ τῆς κλίνης θεῖναι, ἵνα δόξειεν εἰς θεοὺς μεταβεβηκέναι. ἐγένετο δὲ πάντα. καὶ μεταξὺ παραπεμπόντων τὸν Ἡρακλείδην τῶν πολιτῶν, καὶ εὐφημούντων, ὁ δράκων ἀκούσας τῆς ἐπιβοῆς, ἐξέδυ τῶν ἱματίων, καὶ διετάραξε τοὺς πλείστους. ὕστερον μέντοι ἐξεκαλύφθη πάντα, καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον,

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,
 Ὥς ῥα θανὼν ἐγένου ζωὸς ἅπασι δράκων.
Ἀλλὰ διεψεύσθης σεσοφισμένε. δὴ γὰρ ὁ μὲν θὴρ
 Ἦν δράκων, σὺ δὲ θὴρ οὐ σοφὸς ὢν ἑάλως.

ταῦτα δέ φησι καὶ Ἱππόβοτος. Ἕρμιππος δὲ, λιμοῦ κατασχόντος τὴν χώραν, φησὶν αἰτεῖν τοὺς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν. τὸν δὲ Ἡρακλείδην διαφθεῖραι χρήμασι τούς τε θεωροὺς καὶ τὴν προειρημένην, ὥστ' ἀνειπεῖν ἀπαλλαγήσεσθαι τῶν κακῶν, εἰ ζῶν μὲν Ἡρακλείδης ὁ Εὐθύφρονος χρυσῷ στεφάνῳ στεφανωθείη πρὸς αὐτῶν· ἀποθανὼν δὲ, ὡς ἥρως τιμῷτο. ἐκομίσθη ὁ δῆθεν χρησμὸς, καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐτόν. αὐτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης, ἀπόπληκτος ἐγένετο, οἵ τε θεωροὶ κατακυλισθέντες διεφθάρησαν. ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ὥραν κατιοῦσα ἐς τὸ ἄδυτον, καὶ ἐπιστᾶσα, ἑνὶ τῶν δρακόντων δηχθεῖσα, παραχρῆμα ἀπέπνευσε. καὶ τὰ μὲν περὶ τὸν θάνατον αὐτοῦ τοσαῦτα. φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν ποιεῖν, καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν. Χαμαιλέων τε τὰ παρ' ἑαυτοῦ φησὶ κλέψαντα αὐτὸν, τὰ περὶ Ἡσιόδου καὶ Ὁμήρου γράψαι. ἀλλὰ καὶ Αὐτόδωρος Ἐπικούρειος ἐπιτιμᾷ αὐτῷ, τοῖς περὶ δικαιοσύνης ἀντιλέγων. ἔτι καὶ Διονύσιος ὁ Μεταθέμενος ἢ Σπίνθαρος, (ὡς ἔνιοι) γράψας τὸν Παρθενοπαῖον, ἐπέγραψε Σοφοκλέους. ὁ δὲ, πιστεύσας, εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους. αἰσθόμενος δ' ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τοῦ δ' ἀρνουμένου καὶ ἀπιστοῦντος, ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε πάγκαλος. οὗτος δ' ἦν ἐρώμενος Διονυσίου· ὡς δ' ἔτι ἀπιστῶν ἔλεγε, κατὰ τὴν τύχην ἐνδέχεσθαι οὕτως ἔχειν, πάλιν ἀντεπέστειλεν ὁ Διονύσιος, ὅτι καὶ ταῦτα εὑρήσεις,

Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ·
Ἁλίσκεται μὲν, μετὰ χρόνον δ' ἁλίσκεται.

καὶ πρὸς τούτοις, Ἡρακλείδης γράμματα οὐκ ἐπίσταται, οὐδ' ᾐσχύνθη. γεγόνασι δ' Ἡρακλεῖδαι τέσσαρες καὶ δέκα· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, πολίτης αὐτοῦ, πυρρίχας καὶ φλυαρίας συντεταγμένος· τρίτος, Κυμαῖος, γεγραφὼς

Περσικὰ ἐν πέντε βιβλίοις· τέταρτος, Κυμαῖος, ῥήτωρ τέχνας γεγραφώς· πέμπτος, Καλλιπιανὸς ἢ Ἀλεξανδρεὺς, γεγραφὼς τὴν διαδοχὴν ἐν ἓξ βιβλίοις· καὶ Λεμβευτικὸν λόγον, ὅθεν καὶ Λέμβος ἐκαλεῖτο· ἕκτος, Ἀλεξανδρεὺς, γεγραφὼς τὰ Περσικὰ ἰδιώματα· ἕβδομος, διαλεκτικὸς Βαργυλιήτης, κατ' Ἐπικούρου γεγραφώς· ὄγδοος, ἰατρὸς τῶν ἀπὸ Ἱκεσίου· ἔννατος, ἰατρὸς Ταραντῖνος ἐμπειρικός· δέκατος, ποιητικὸς, παραινέσεις γεγραφώς· ἑνδέκατος, ἀνδριαντοποιὸς, Φωκαεύς· δωδέκατος, ἐπιγραμμάτων ποιητὴς, λιγυρός· τρεισκαιδέκατος, Μάγνης, Μιθριδατικὰ γεγραφώς· τεσσαρεσκαιδέκατος, ἀστρολογούμενα συγγεγραφώς.

# ΔΙΟΓΕ΄ΝΟΥΣ ΛΑΕΡΤΙΟΥ περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ἕκτον.

## ἈΝΤΙΣΘΕΝΗΣ.

ἈΝΤΙΣΘΕΝΗΣ Ἀντισθένους, Ἀθηναῖος. ἐλέγετο δ' οὐκ εἶναι ἰθαγενής· ὅθεν πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν, Καὶ ἡ μήτηρ τῶν θεῶν, Φρυγία ἐστίν. ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός. ὅθεν καὶ ἐν Τανάγρᾳ κατὰ τὴν μάχην εὐδοκιμήσας, ἔδωκε λέγειν Σωκράτει, ὡς οὐκ ἂν ἐκ δυοῖν Ἀθηναίοιν οὕτω γεγόνει γενναῖος. καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων, ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελέβων εὐγενεστέρους. οὗτος καὶ ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος. ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει, καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ, καὶ τοῖς προτρεπτικοῖς. φησὶ δ' Ἕρμιππος ὅτι προείλετο ἐν τῇ τῶν Ἰσθμίων πανηγύρει ψέξαι τε καὶ ἐπαινέσαι Ἀθηναίους, Θηβαίους, Λακεδαιμονίους. εἶτα μέντοι παραιτήσασθαι, ἰδόντα πλείστους ἐκ τῶν πόλεων ἀφιγμένους. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. οἰκῶν τε ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν, τοὺς τετταράκοντα σταδίους ἀνιὼν, ἤκουσε Σωκράτους· παρ' οὗ καὶ τὸ καρτε-

ικὸν λαβὼν, καὶ τὸ ἀπαθὲς ζηλώσας, κατῆρξε πρῶτος
ἰ κυνισμοῦ. καὶ ὅτι ὁ πόνος ἀγαθὸν, συνέστησε διὰ τοῦ
ιεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου· τὸν μὲν, ἀπὸ τῶν Ἑλλή-
ων· τὸν δὲ, ἀπὸ τῶν βαρβάρων ἑλκύσας. πρῶτός τε ὡρί-
ατο λόγον, εἰπὼν, Λόγος ἐστὶν ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν. ἔ-
γέ τε συνεχὲς, Μανείην μᾶλλον ἢ ἡσθείην. καὶ, Χρὴ ται-
ίταις πλησιάζειν γυναιξὶν, αἳ χάριν εἴσονται. πρὸς
τὸ Ποντικὸν μειράκιον, μέλλον φοιτᾶν αὐτῷ, καὶ πυθό-
μενον τίνων αὐτῷ δεῖ, φησὶ Βιβλιαρίου καινοῦ, καὶ γρα-
ίου καινοῦ, καὶ πινακιδίου καινοῦ· τὸν νοῦν παρεμφαί-
ιν. πρὸς δὲ τὸν ἐρόμενον ποδαπὴν γήμῃ, ἔφη, Ἂν μὲν
ιαλὴν ἕξεις, κοινήν· ἂν δὲ αἰσχρὰν, ἕξεις ποινήν. ἀκού-
ς ποτὲ ὅτι Πλάτων αὐτὸν κακῶς λέγει, Βασιλικὸν (ἔφη)
ιαλῶς ποιοῦντα, κακῶς ἀκούειν. μυούμενός ποτε τὰ
ρφικὰ, τοῦ ἱερέως εἰπόντος ὅτι οἱ ταῦτα μυούμενοι πολ-
ῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι, Τί οὖν (ἔφη) οὐκ ἀποθνή-
εις; ὀνειδιζόμενός ποτε ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων,
ὐδὲ γὰρ ἐκ δύο (ἔφη) παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι.
ωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητὰς, ἔφη, Ὅτι ἀργυ-
ᾷ αὐτοὺς ἐκβάλλω ῥάβδῳ. ἐρωτηθεὶς διὰ τί πικρῶς
ς μαθηταῖς ἐπιπλήττει, Καὶ οἱ ἰατροὶ, φησὶ, τοῖς κάμνου-
ι. ἰδών ποτε μοιχὸν φεύγοντα, Ὦ δυστυχὴς (εἶπε) πηλί-
ν κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδύνασο. κρεῖττον ἔλε-
(καθά φησιν Ἑκάτων ἐν ταῖς χρείαις) εἰς κόρακας ἢ
ς κόλακας ἐμπεσεῖν. οἱ μὲν γὰρ νεκροὺς, οἱ δὲ ζῶντας ἐσθί-
σιν. ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη,
ὐτυχοῦντα ἀποθανεῖν. γνωρίμου ποτὲ πρὸς αὐτὸν
ποδυρομένου, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκὼς, Ἔ-
ς γὰρ (ἔφη) ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χάρταις κα-
ιγράφειν. ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε
ὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι. τοὺς βου-
μένοις ἀθανάτοις εἶναι, ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως.

πότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φα
λους ἀπὸ τῶν σπουδαίων διακρίνειν. ἐπαινούμενός πο
ὑπὸ πονηρῶν ἔφη, Ἀγωνιῶ μή τι κακὸν εἴργασμαι. ὁ
μονοούντων ἀδελφῶν συμβίωσιν, παντὸς ἔφη τείχους ἰσ
ροτέραν εἶναι. τοιαῦτα ἔφη δεῖν ποιεῖσθαι ἐφόδια, ἃ καὶ
ναυαγήσαντι συγκολυμβήσει. ὀνειδιζόμενός ποτε ἐπὶ τ
πονηροῖς συγγενέσθαι, Καὶ οἱ ἰατροί, φησί, μετὰ τῶν ἀσθενού
των εἰσίν, ἀλλ' οὐ πυρέττουσιν. ἄτοπον ἔφη, τοῦ μὲν σίτου αἰ
ρας ἐκλέγειν, καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους· ἐν δὲ πολιτεί
τοὺς φθονεροὺς μὴ παραιτεῖσθαι. ἐρωτηθεὶς τί αὐτῷ περι
γέγονεν ἐκ φιλοσοφίας, ἔφη, Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖ
εἰπόντος αὐτῷ τινὸς παρὰ πότον, ᾆσον, Σύ μοι, φησίν, αὔ
λησον. Διογένει χιτῶνα αἰτοῦντι, πτύξαι προσέταξε θοἰ
μάτιον. ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, Τ
κακὰ ἀπομαθεῖν. παρεκελεύετό τε κακῶς ἀκούοντας κα
τερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο. ἔσκωπτε Πλάτω
να ὡς τετυφωμένον. πομπῆς οὖν γινομένης ἵππον θεασάμε
νος φρυακτὴν, φησὶ πρὸς τὸν Πλάτωνα, Ἐδόκεις μοι καὶ
σὺ ἵππος ἂν εἶναι λαμπρυντής. τοῦτο δὲ ἐπεὶ καὶ συνεχὲς
Πλάτων ἵππον ἐπῄνει. καί ποτ' ἐλθὼν πρὸς αὐτὸν νο
σοῦντα, καὶ θεασάμενος λεκάνην ἔνθα ὁ Πλάτων ἐμε
μέκει, Χολὴν μὲν ὁρῶ ἐνταῦθα, τῦφον δὲ οὐχ ὁρῶ. συνε
βούλευεν Ἀθηναίοις, τοὺς ὄνους ἵππους ψηφίσασθαι. ἄλο
γον δὲ ἡγουμένων, Ἀλλὰ μὴν καὶ στρατηγοί, φησί, γίνοντα
παρ' ἡμῖν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες. πρὸ
τὸν εἰπόντα, Πολλοί σε ἐπαινοῦσι. Τί γάρ, ἔφη, κακὸν πεποίηκα
στρέψαντος αὐτοῦ τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τὸ προφα
νές, Σωκράτης ἰδών, φησίν, Ὁρῶ σου διὰ τοῦ τρίβωνος τ
φιλοδοξίαν. ἐρωτηθεὶς ὑπό του, (καθά φησι Φανίας ἐ
τῷ περὶ τῶν Σωκρατικῶν) τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο
ἔφη, Εἰ τὰ κακὰ ἃ ἔχεις, ὅτι φευκτά ἐστι μάθοις παρὰ τῶν
εἰδότων. πρὸς τὸν ἐπαινοῦντα τρυφήν, Ἐχθρῶν παῖδες

η, τρυφήσειν. πρὸς τὸ διασχηματίζον αὐτὸν ὡς πλά
μειράκιον, Εἰπέ μοι, φησὶν, εἰ φωνὴν λάβοι ὁ χαλκὸς
ὶ τίνι ἂν σεμνυνθείη; τοῦ δ' εἰπόντος, Ἐπὶ κάλλει·
ὐκ αἰσχύνῃ οὖν, ἔφη, τὰ ὅμοια γεγηθὼς ἀψύχῳ; Πον-
ικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ
λοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν καὶ θύλακον
νὸν, πρὸς ἀλφιτόπωλιν ἧκε, καὶ σαξάμενος ἀπῄει. τῆς δὲ
ιτούσης τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη, δώσει ἐὰν τὸ πλοῖον
τοῦ τῶν ταρίχων ἀφίκηται. αὐτὸς καὶ Ἀνύτῳ τῆς φυ-
ῆς αἴτιος γενέσθαι δοκεῖ, καὶ Μελίτῳ τοῦ θανάτου. Ποντι
κοῖς γὰρ νεανίσκοις, κατὰ κλέος τοῦ Σωκράτους ἀφιγμένοις,
υντυχὼν, ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυτον, εἰπὼν ἐν
ἤθει, σοφώτερον εἶναι τοῦ Σωκράτους. ἐφ' ᾧ διαγανακτήσαντας
οὺς περιεστῶτας ἐκδιῶξαι αὐτόν. εἰ δέ ποτε θεάσαιτο
ύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν αὐτῆς, καὶ ἐκέ-
λευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα· ὥστε εἰ μὲν
χοι ταῦτα, ἐᾶν τρυφᾶν (ἀμύνεσθαι γὰρ τούτοις) εἰ δὲ μὴ,
περιαιρεῖν τὸν κόσμον. ἤρεσκεν αὐτῷ καὶ τάδε. διδα-
κτὴν ἀπεδείκνυε τὴν ἀρετὴν, καὶ τοὺς αὐτοὺς εὐγενεῖς
οὺς καὶ ἐναρέτους. αὐτάρκη γὰρ τὴν ἀρετὴν πρὸς εὐδαι-
μονίαν, μηδενὸς προσδεομένην, ὅτι μὴ Σωκρατικῆς
ἰσχύος. τήν τε ἀρετὴν, τῶν ἔργων εἶναι, μήτε λόγων
πλείστων δεομένην μήτε μαθημάτων. αὐτάρκη τε εἶναι
τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων. τήν τε ἀδο
ξίαν, ἀγαθὸν, καὶ ἴσον τῷ πόνῳ. καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς
κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρε-
τῆς. γαμήσειν τε τεκνοποιίας χάριν, ταῖς εὐφυεστάταις
υνιόντα γυναιξί. καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέ-
ναι τὸν σοφὸν τίνων χρὴ ἐρᾶν. ἀναγράφει δ' αὐτῷ καὶ Διο
κλῆς ταυτί. τῷ γὰρ σοφῷ ξένον οὐδὲν, οὐδ' ἄπο. ἀξιέ-
ραστος ὁ ἀγαθός. οἱ σπουδαῖοι, φίλοι. συμμάχους ποιεῖ-
σθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους. ἀναφαίρετον ὅπλον,

ἀρετή. κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους μάχεσθαι. προσέχειν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. τὸν δίκαιον περὶ πλείονος ποιεῖσθαι τοῦ συγγενοῦς. ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. τἀγαθὰ, καλά· τὰ κακὰ, αἰσχρά· τὰ πονηρὰ πάντα, νόμιζε ξενικά. τεῖχος ἀσφαλέστατον, φρόνησιν· μήτε γὰρ καταρρεῖν μήτε προδίδοσθαι. τείχη κατασκευαστέον ἐν τοῖς αὑτῶν ἀναλώτοις λογισμοῖς. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄπωθεν τῶν πυλῶν· ὅθεν τινὲς καὶ τὴν Κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο Ἁπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, (καθά φησι Διοκλῆς) καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρόν τε ἀνέλαβε καὶ πήραν. πρῶτον δὲ καὶ Νεάνθης φησὶν ἁπλῶσαι θοιμάτιον· Σωσικράτης δ' ἐν τρίτῃ διαδοχῶν, Διόδωρον τὸν Ἀσπένδιον, καὶ πώγωνα καθεῖναι, καὶ βάκτρῳ καὶ πήρᾳ χρῆσθαι. τοῦτον μόνον ἐκ πάντων Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ. καί φησι δεινόν τε εἶναι, καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. δῆλον δ' ἐκ τῶν συγγραμμάτων, κἀκ τοῦ Ξενοφῶντος συμποσίου. δοκεῖ δὲ καὶ τῆς ἀνδρωδεστάτης Στωϊκῆς κατάρξαι. ὅθεν καὶ Ἀθήναιος ὁ ἐπιγραμματοποιός φησιν οὕτω περὶ αὐτῶν,

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι,
Τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον. ἅδε γὰρ ἀνδρῶν
Μοῦνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
Ἡ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

οὗτος ἡγήσατο καὶ τῆς Διογένους ἀπαθείας, καὶ τῆς Κράτητος ἐγκρατείας, καὶ τῆς Ζήνωνος καρτερίας, αὐτὸς ὑποθέμενος τῇ πόλει τὰ θεμέλια. ὁ δὲ Ξενοφῶν ἥδιστον μὲν εἶναι περὶ τὰς ὁμιλίας φησὶν αὐτόν, ἐγκρατέστατον δὲ περὶ τἆλλα.

ονται δ' αὐτοῦ συγγράμματα, τόμοι δέκα· πρῶτος, ἐν
Περὶ λέξεως ἢ Περὶ χαρακτήρων· Αἴας, ἢ Αἴαντος
ος, Ὀδυσσεύς, ἢ Περὶ Ὀδυσσέως, Ὀρέστου ἀπολογία
ὶ τῶν δικογράφων, Ἰσογραφὴ ἢ Δεσίας ἢ Ἰσοκράτης,
ὸς τὸν Ἰσοκράτους ἀμάρτυρον. τόμος δεύτερος, ἐν ᾧ Πε-
ζώων φύσεως, Περὶ παιδοποιίας, ἢ Περὶ γάμου, ἐρωτι
· Περὶ τῶν σοφιστῶν φυσιογνωμονικός, Περὶ δικαιοσύ-
καὶ ἀνδρείας προτρεπτικός, πρῶτος, δεύτερος, τρί-
Περὶ Θεόγνιδος, δ, ε· τόμος γ, ἐν ᾧ Περὶ ἀγαθοῦ,
εὶ ἀνδρείας, Περὶ νόμου, ἢ Περὶ πολιτείας, Περὶ νόμου,
ερὶ καλοῦ καὶ δικαίου, Περὶ ἐλευθερίας καὶ δουλεί-
Περὶ πίστεως, Περὶ ἐπιτρόπου, ἢ Περὶ τοῦ πείθεσθαι,
εὶ νίκης οἰκονομικός. τόμος δ, ἐν ᾧ Κῦρος, Ἡρακλῆς
είζων, ἢ Περὶ ἰσχύος. τόμος ε, ἐν ᾧ Κῦρος ἢ Περὶ
πλείας, Ἀσπασία. τόμος ς, ἐν ᾧ Ἀλήθεια, Περὶ τοῦ
λέγεσθαι ἀντιλογικός, Σάθων περὶ τοῦ ἀντιλέγειν, α,
γ· Περὶ διαλέκτου. τόμος ζ, ἐν ᾧ Περὶ παιδείας ἢ ὀνο
χ, α, β, γ, δ, ε· Περὶ τοῦ ἀποθανεῖν, Περὶ ζωῆς καὶ
άτου, Περὶ τῶν ἐν ᾅδου, Περὶ ὀνομάτων χρήσεως, ἢ Ἐριστι
, Περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως, Περὶ δόξης καὶ
ιστήμης, α, β, γ, δ· Περὶ φύσεως, α, β· Ἐρώτημα
ὶ φύσεως, β· Δόξαι, ἢ Ἐριστικός· Περὶ τοῦ μανθάνειν
οβλήματα. τόμος η, ἐν ᾧ Περὶ μουσικῆς, Περὶ ἐξηγη-
; Περὶ Ὁμήρου, Περὶ ἀδικίας καὶ ἀσεβείας, Περὶ Κάλ-
ντος, Περὶ κατασκόπου, Περὶ ἡδονῆς. τόμος θ, ἐν ᾧ Πε
Ὀδυσσείας, Περὶ τῆς ῥάβδου· Ἀθηνᾶ, ἢ Περὶ Τηλε-
χου, Περὶ Ἑλένης καὶ Πηνελόπης, Περὶ Πρωτέως,
κλωψ ἢ Περὶ Ὀδυσσέως, Περὶ οἴνου χρήσεως, ἢ Περὶ
θης, ἢ Περὶ τοῦ Κύκλωπος· Περὶ Κίρκης, Περὶ Ἀμφια-
ου, Περὶ τοῦ Ὀδυσσέως καὶ Πηνελόπης, καὶ Περὶ τοῦ
ός. τόμος ι, ἐν ᾧ Ἡρακλῆς ἢ Μίδας, Ἡρακλῆς, ἢ Πε
ρονήσεως, ἢ ἰσχύος, Κῦρος ἢ ἐρώμενος, Κῦροι ἢ κατά-

σκοποι, Μενέξενος, ἢ Περὶ τοῦ ἄρχειν, Ἀλκιβιάδης, Ἀρ
λαος, ἢ Περὶ βασιλείας. καὶ ταῦτα μέν ἐστιν ἃ συ
γραψεν. ὁ Τίμων δὲ διὰ τὸ πλῆθος ἐπιτιμῶν αὐτῷ, παν
φυῆ φλέδονα φησὶν αὐτόν. ἐτελεύτησε δὲ ἀῤῥωστίᾳ,
καὶ Διογένης εἰσιὼν πρὸς αὐτὸν, ἔφη, Μήτι χρεία φίλ
καί ποτε πρὸς αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε. τοῦ δ' εἰπ
τος, Τίς ἂν ἀπολύσῃ με τῶν πόνων; δείξας τὸ ξιφίδιον
φη, Τοῦτο. καὶ ὅς, Τῶν πόνων, εἶπον, οὐ τοῦ ζῆν. ἐδόκει
πως μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωΐας.
ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον,

Τὸν βίον ἦσθα κύων Ἀντίσθενες, ὧδε πεφυκὼς
Ὥστε δακεῖν κραδίην ῥήμασιν οὐ στόμασιν.
Ἀλλ' ἔθανες φθισικός. τάχ' ἐρεῖ τις ἴσως, Τί δὲ τοῦτο;
Πάντως εἰς ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν.

γεγόνασι δὲ καὶ ἄλλοι Ἀντισθένεις, τρεῖς· Ἡρακλείτ
ος, εἷς ἕτερος, Ἐφέσιος, καὶ Ῥόδιός τις ἱστορικός. ἐπ
δὴ δὲ τοὺς ἀπ' Ἀριστίππου διεληλύθαμεν καὶ Φαίδων
νῦν ἑλκύσωμεν τοὺς ἀπ' Ἀντισθένους κυνικούς τε καὶ Στ
κούς. καὶ ἐχέτω ὧδε.

## ΔΙΟΓΕΝΗΣ.

Διογένης, Ἱκεσίου τραπεζίτου, Σινωπεύς. φησὶ δὲ Δ
κλῆς, δημοσίαν αὐτοῦ τὴν τράπεζαν ἔχοντος τοῦ
τρὸς, καὶ παραχαράξαντος τὸ νόμισμα, φυγεῖν. Εὐβουλ
δης δ' ἐν τῷ περὶ Διογένους, αὐτὸν Διογένη φησὶ τ
πρᾶξαι καὶ συναλᾶσθαι τῷ πατρί. οὐ μὴν ἀλλὰ καὶ
τὸς περὶ αὑτοῦ φησιν ἐν τῷ Πορδάλῳ ὡς παραχαρά
τὸ νόμισμα. ἔνιοι δ' ἐπιμελητὴν γενόμενον ἀναπεια
ναι ὑπὸ τῶν τεχνιτῶν, καὶ ἐλθόντα εἰς Δελφοὺς, ἢ εἰς
Δήλιον, ἐν τῇ πατρίδι Ἀπόλλωνος πυνθάνεσθαι εἰ τὰ
πράξει ἅπερ ἀναπείθεται. τοῦ δὲ συγχωρήσαντος, τὸ πο
κὸν νόμισμα, οὐ συνεὶς, τὸ κέρμα κιβδηλεύσας καὶ φωραθ

οἱ μέν τινες, ἐφυγαδεύθη· ὡς δέ τινες, ἑκὼν ὑπεξῆλθε, φοβηθείς. ἔνιοι δέ φασι παρὰ τοῦ πατρὸς αὐτὸν λαβόντα τὸ νόμισμα, διαφθεῖραι· καὶ τὸν μὲν, δεθέντα ἀποθανεῖν· τὸν δὲ, φυγεῖν, ἐλθεῖν τε εἰς Δελφοὺς· καὶ πυνθανόμενον οὐκ εἰ παραχαράξαι, ἀλλὰ τί ποιήσας ἐνδοξότατος ἔσται, οὕτω λαβεῖν τὸν χρησμὸν τοῦτον. γενόμενος δὲ Ἀθήνησιν Ἀντισθένει παρέβαλε. τοῦ δὲ διωθουμένου, διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προσεδρείᾳ. καί ποτε τὴν βακτηρίαν ἐπανατειναμένου, αὐτῷ τὴν κεφαλὴν ὑποσχὼν, Παῖε, εἶπεν, οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις, ἕως ἄν τι φαίνῃ λέγων. τοὐντεῦθεν διήκουσεν αὐτοῦ, καὶ ἅτε φυγὰς ὢν, ὥρμησεν ἐπὶ τὸν ἁπλῆ βίον. μῦν θεασάμενος διατρέχοντα (καθά φησι Θεόφραστος ἐν τῷ Μεγαρικῷ) καὶ μήτε κοίτην ἐπιζητοῦντα, μήτε σκότος εὐλαβούμενον, ἢ ποθοῦντά τι τῶν δοκούντων ἀπολαυστῶν, πόρον ἐξεῦρε τῆς περιστάσεως· τρίβωνα διπλώσας πρῶτος, κατά τινας, διὰ τὸ ἀνάγκην ἔχειν, καὶ ἐνεύδειν αὐτῷ. πήραν τε ἐκομίσατο, ἔνθα αὐτῷ τὰ σιτία ἦν. καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀριστῶν τε καὶ καθεύδων καὶ διαλεγόμενος, ὅτε καὶ τοὺς Ἀθηναίους ἔφασκε, (δεικνὺς τὴν τοῦ Διὸς στοὰν) καὶ πομπεῖον αὐτῷ κατεσκευακέναι ἐνδιαιτᾶσθαι. βακτηρίᾳ δὲ ἐπηρείσατο ἀσθενήσας· ἔπειτα μέντοι καὶ διαπαντὸς ἐφόρει, οὐ μὴν ἐν ἄστει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε καὶ τῇ πήρᾳ, καθά φησιν Ὀλυμπιόδωρος ὁ Ἀθηναίων προστάτης, καὶ Πολύευκτος ὁ ῥήτωρ, καὶ Λυσανίας ὁ Αἰσχρίωνος. ἐπιστείλας δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, καὶ βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰκίαν, ὡς καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς διασαφεῖ. καὶ θέρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δὲ ἀνδριάντας κεχιονισμένους περιελάμβανε, πανταχόθεν ἑαυτὸν συνασκῶν. δεινός τε ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων. καὶ τὴν μὲν Εὐκλείδου σχολὴν, ἔλεγε χολήν· τὴν δὲ Πλάτωνος

διατριβὴν, κατατριβήν. τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μωροῖς ἔλεγε. καὶ τοὺς δημαγωγοὺς, ὄχλου διακόνους. ἔλεγε δὲ καὶ ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον τῶν ζώων εἶναι τὸν ἄνθρωπον· ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τοὺς προσέχοντας τούτοις, ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου. συνεχέστερον νομίζειν ἔλεγεν, εἰς τὸν βίον παρασκευάζεσθαι δεῖν λόγον ἢ βρόχον. καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἁψάμενον, Τί (φησιν) ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις; καὶ ὅς, Ἀλλὰ νὴ τοὺς θεοὺς (φησὶ) Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην. ὁ δὲ, Τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας; Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν τοῦτο, καὶ δή ποτε ἰσχάδας ἐσθίων ἀπήντετο αὐτῷ· φησί τε, Ἔξεστί σοι μετασχεῖν· τοῦ δὲ, λαβόντος καὶ φαγόντος, ἔφη, Μετασχεῖν εἶπον, οὐ καταφαγεῖν. πατῶν αὐτοῦ ποτε στρώματα κεκληκότος φίλους παρὰ Διονυσίου, ἔφη, Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν. πρὸς ὃν ὁ Πλάτων, Ὅσον ὦ Διόγενες τοῦ τύφου διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. οἱ δὲ, φασὶ τὸν Διογένην εἰπεῖν, Πατῶ τὸν Πλάτωνος τύφον· τὸν δὲ φάναι, Ἑτέρῳ γε τύφῳ, Διόγενες. Σωτίων δ' ἐν τῷ τετάρτῳ φησὶ τοῦτο πρὸς αὐτὸν εἰπεῖν τὸν Πλάτωνα τὸν κύνα. Διογένης οἶνον ποτὲ ᾔτησεν αὐτὸν, ποτὲ δὲ καὶ ἰσχάδας· ὁ δὲ, κεράμιον ὅλον ἔπεμψεν αὐτῷ· καὶ ὅς, Σὺ (φησὶν) ἐὰν ἐρωτηθῇς δύο καὶ δύο πόσα ἐστὶν, εἴκοσι ἀποκρινῇ· οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ. ἔσκωπτε δὴ ὡς ἀπεραντολόγον. ἐρωτηθεὶς ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, Ἄνδρας μὲν (εἶπεν) οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι. σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς

προσῄ

προσήει, ἐπέβαλε τερετίζειν. ἀθροισθέντων δέ, ὠνείδισεν, ὡς ἐπὶ μὲν τοὺς φλυάρους ἀφικνουμένων σπουδαίως, ἐπὶ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως. ἔλεγέ τε περὶ μὲν τοῦ παρορύττειν καὶ λακτίζειν, ἀγωνίζεσθαι τοὺς ἀνθρώπους· περὶ δὲ καλοκαγαθίας, οὐδένα. τούς τε γραμματικοὺς ἐθαύμαζε, τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας. καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη. τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν. τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς. ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρημάτους. κινεῖ δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνεῖν. ἄγασθαι δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐσθιομένων. ἐπῄνει τοὺς μέλλοντας γαμεῖν, καὶ μὴ γαμεῖν· καὶ τοὺς μέλλοντας καταπλεῖν, καὶ μὴ καταπλεῖν· καὶ τοὺς μέλλοντας πολιτεύεσθαι καὶ μὴ πολιτεύεσθαι· καὶ τοὺς παιδοτροφεῖν, καὶ μὴ παιδοτροφεῖν· καὶ τοὺς παρασκευαζομένους συμβιοῦν τοῖς δυνάσταις, καὶ μὴ προσιόντας. ἔλεγε δὲ καὶ δεῖν τὰς χεῖρας ἐπὶ τοὺς φίλους ἐκτείνειν μὴ συγκεκαμμένοις τοῖς δακτύλοις. φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους πράσει, ὡς ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν· ἀπεκρίνατο, Ἀνδρῶν ἄρχειν. καὶ πρὸς τὸν κήρυκα, Κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι. κωλυθεὶς καθίζεσθαι, Οὐδέν, ἔφη, διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι. θαυμάζειν τε ἔφη εἰ χύτραν μὲν καὶ λοπάδα ὠνούμενοι κομποῦμεν, ἄνθρωπον δὲ μόνῃ τῇ ὄψει ἀρκεῖσθαι. ἔλεγε

τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη. καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος ἦν, πεισθῆναι ἂν αὐτῷ. Εὔβουλος δέ φησιν ἐν τῷ ἐπιγραφομένῳ Διογένους πρᾶσις, οὕτως ἄγειν τοὺς παῖδας τοῦ Ξενιάδου, μετὰ τὰ λοιπὰ μαθήματα, ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτὸς ἐρυθήματος χάριν καὶ εὐεξίας. κατεῖχον δὲ οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων, καὶ τῶν αὐτοῦ Διογένους. πᾶσάν τε ἔφοδον σύντομον, πρὸς τὸ εὐμνημόνευτον, ἐπήσκει. ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας. ἐν χρῷ κουρίας τε καὶ ἀκαλλωπίστους εἰργάζετο, καὶ ἀχίτωνας, καὶ ἀνυποδήτους, καὶ σιωπηλούς, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. ἐξῆγε δὲ αὐτοὺς καὶ ἐπὶ κυνηγέσια. οἱ δὲ, καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. ὁ δὲ αὐτός φησι παρὰ τῷ Ξενιάδῃ καὶ γηρᾶσαι αὐτὸν, καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ. ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη, Ἐπὶ πρόσωπον. τοῦ δὲ ἐρομένου Διὰ τί; Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι. τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. οἱ δὲ τοῦτο Ἀριστίππου φασί. φωνήσας ποτὲ, Ἰὼ ἄνθρωποι, συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπὼν, Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα, ὥς φησιν Ἑκάτων ἐν τῷ πρώτῳ τῶν χρειῶν. φασὶ δὲ καὶ Ἀλέξανδρον εἰπεῖν ὡς εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελήσαι ἂν Διογένης γενέσθαι. ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλοὺς, ἀλλὰ τοὺς μὴ ἔχοντας πήραν. εἰσελθὼν ποτὲ ἡμιξύρητος εἰς νέων συμπόσιον (καθά φησι

Μητροκλῆς ἐν ταῖς χρείαις) πληγὰς ἔλαβε. μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν πληξάντων, περιῄει ἐξημμένος· ὡς αὐτοὺς ὕβρει περιέθηκε καταγινωσκομένους καὶ ἐπιπληττομένους. ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν. πρὸς τὸν εἰπόντα, Πύθια νικῶ ἄνδρας, Ἐγὼ μὲν οὖν, εἶπεν, ἄνδρας, σὺ δὲ ἀνδράποδα. πρὸς τοὺς εἰπόντας Γέρων εἶ, καὶ λοιπὸν ἄνες· Τί δέ, ἔφη, εἰ δόλιχον ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι; κληθεὶς ἐπὶ δεῖπνον, οὐκ ἔφη παρέσεσθαι· μηδὲ γὰρ πρώην αὐτῷ χάριν ἐγνωκέναι. γυμνοῖς ποσὶ χιόνα ἐπάτει, καὶ τὰ ἄλλα ὅσα ἄνω προείρηται. καὶ ὠμὰ δὲ κρέα ἐπεχείρησε φαγεῖν, ἀλλ' οὐ διῴκησε. κατελάβετο ποτὲ Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα. τοῦ δὲ ὑποχωροῦντος, Τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ. ξένων δέ ποτε θεάσασθαι θελόντων Δημοσθένην, τὸν μέσον δάκτυλον ἐκτείνας, Οὗτος ὑμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων δημαγωγός. ἐκβαλόντος δὲ ἄρτον τινὸς καὶ αἰσχυνομένου ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεράμου τράχηλον δήσας, ἔσυρε διὰ τοῦ Κεραμεικοῦ. μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους. καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἐνδιδόναι, ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου. τοὺς πλείστους ἔλεγε παρὰ δάκτυλον μαίνεσθαι. ἐὰν οὖν τις τὸν μέσον προτείνας πορεύηται, δόξει μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανόν, οὐκέτι. τὰ πολλοῦ ἄξια τοῦ μηδενὸς ἔλεγε πιπράσκεσθαι, καὶ ἔμπαλιν. ἀνδριάντα γοῦν τρισχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων, δύο χαλκῶν. τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ φησίν, Ἄγε ὅπως τὸ προσταττόμενον ποιήσῃς· τοῦ δὲ εἰπόντος, Ἄνω ποταμῶν χωροῦσι παγαί· Εἰ δὲ ἰατρὸν ἐπρίω νοσῶν, οὐκ ἄν, ἔφη, αὐτῷ ἐπείθου; ἀλλ' εἶπες ἂν ὡς ἄνω ποταμῶν χωροῦσι παγαί; ἤθελέ τις παρ'

αὐτῷ φιλοσοφεῖν. ὁ δέ οἱ σαπέρδην δοὺς ἐποίησεν ἀκολουθεῖν. ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει, Τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε. Διοκλῆς δ' οὕτως ἀναγράφει. εἰπόντος τινὸς αὐτῷ, Ἐπίταττε ἡμῖν Διόγενες, ἀπαγαγὼν αὐτὸν ἡμιωβολίου τυρὸν ἐδίδου φέρειν. ἀρνησαμένου δέ, Τὴν σήν, ἔφη, καὶ ἐμὴν φιλίαν ἡμιωβολίου τυρίον διαλέλυκε. θεασάμενος ποτὲ παιδίον ταῖς χερσὶ πῖνον, ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, εἰπὼν Παιδίον με νενίκηκεν εὐτελείᾳ. ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ ἄρτῳ τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον. συνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ἐστι πάντα· φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν. θεασάμενος ποτὲ γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προσπίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, (καθά φησι Ζωΐλος ὁ Περγαῖος) προσελθὼν εἶπεν, Οὐκ εὐλαβῇ ὦ γύναι μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος, (πάντα γάρ ἐστιν αὐτοῦ πλήρη) ἀσχημονήσῃς; τῷ Ἀσκληπιῷ ἀνέθηκε πλήκτην, ὃς τοὺς ἐπὶ στόμα πίπτοντας ἐπιτρέχων συνέτριβεν. εἰώθει δὲ λέγειν τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι. εἶναι γοῦν Ἄπολις ἄοικος, πατρίδος ἐστερημένος, Πτωχός, πλανήτης: βίον ἔχων τοὐφημέραν. ἔφασκε δὲ ἀντιτιθέναι τύχῃ μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον. ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ἐπιστάς φησιν, Αἴτησόν με ὃ θέλεις· καὶ ὅς, Ἀποσκότησόν μου, φησί. μακρά τινος ἀναγινώσκοντος, καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, Θαρρεῖτε (ἔφη) ἄνδρες· γῆν ὁρῶ. πρὸς τὸν συλλογισάμενον ὅτι κέρατα ἔχει, ἁψάμενος τοῦ μετώπου, Ἐγὼ μὲν (ἔφη) οὐχ ὁρῶ. ὁμοίως καὶ πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περιεπάτει. πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, Ποσταῖος, ἔφη, πάρει ἀπὸ τοῦ οὐρανοῦ;

ὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, Μη-
δὲν εἰσίτω κακόν· Ὁ οὖν κύριος, ἔφη, τῆς οἰκίας ποῦ εἰσ-
έλθοι; τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη, ἀπὸ μὲν
τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν
ποδῶν, εἰς τὴν ὄσφρησιν. ἀξιούντων Ἀθηναίων μυη-
θῆναι αὐτὸν, καὶ λεγόντων ὡς ἐν ᾅδου προεδρίας οἱ με-
μυημένοι τυγχάνουσι, Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν καὶ
Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες
μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται. πρὸς τοὺς
ἀνελθόντας ἐπὶ τὴν τράπεζαν μῦς, Ἰδοὺ, φησὶ, καὶ Διο-
γένης παρασίτους τρέφει. Πλάτωνος εἰπόντος αὐτὸν
κύνα, Ναὶ, ἔφη, ἐγὼ γὰρ ἐπανῆλθον ἐπὶ τοὺς πεπρακότας.
ἐκ τοῦ βαλανείου ἐξιὼν, τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρω-
ποι λοῦνται, ἠρνήσατο· τῷ δὲ, εἰ πολὺς ὄχλος, ὡμολόγη-
σε. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπος ἐστὶ ζῶον δίπουν,
ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγ-
κεν εἰς τὴν σχολὴν αὐτοῦ· καί φησιν, Οὗτός ἐστιν ὁ Πλάτω-
νος ἄνθρωπος. ὅθεν τῷ ὅρῳ προσετέθη Τὸ πλατυώνυχον.
πρὸς τὸν πυθόμενον ποίᾳ ὥρᾳ δεῖ ἀριστᾶν, Εἰ μὲν πλού-
σιος, ἔφη, ὅταν θέλῃ· εἰ δὲ πένης, ὅταν ἔχῃ. ἐν Μεγάροι-
ς ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα,
τοὺς δὲ παῖδας αὐτῶν γυμνοὺς, ἔφη, Λυσιτελέστερόν ἐστι Με-
γαρέως εἶναι κριὸν ἢ υἱόν. πρὸς τὸν ἐντινάξαντα αὐτῷ δο-
κὸν, εἶτα εἰπόντα, Φύλαξαι· Πάλιν γάρ με, ἔφη, παίειν
μέλλεις; ἔλεγε τοὺς μὲν δημαγωγοὺς, ὄχλου διακόνους·
τοὺς δὲ στεφάνους, δόξης ἐξανθήματα. λύχνον μεθ' ἡμέ-
ραν ἅψας, Ἄνθρωπον, φησὶ, ζητῶ. εἱστήκει ποτὲ κατα-
κρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλά-
των ἔφη, Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι ἀπόστητε· ἐνδεικνύμε-
νος φιλοδοξίαν αὐτοῦ. ἐντείψαντός τινος αὐτῷ κόνδυλον τι-
νὸς, Ἡράκλεις, ἔφη, οἷόν με χρῆμα ἐλάνθανε, τὸ μετὰ περι-
κεφαλαίας περιπατεῖν. ἀλλὰ καὶ Μειδίου κονδυλίσαντος

αὐτὸν, καὶ εἰπόντος Τριχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ, τῇ ἑξῆς πυκτικοὺς λαβὼν ἱμάντας, καὶ καταλοήσας αὐτὸν, ἔφη, Τριχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ. Λυσίου τοῦ φαρμακοπώλου πυθομένου εἰ θεοὺς νομίζει, Πῶς δὲ, εἶπεν, οὐ νομίζω, ὅπου καί σε θεοῖς ἐχθρὸν ὑπολαμβάνω; οἱ δὲ, Θεόδωρον εἰπεῖν τοῦτο. ἰδών τινα περιρραινόμενον, ἐπεῖπεν, Ὦ κακόδαιμον, οὐκ ἐπίστασαι ὅτι ὥσπερ τῶν ἐν γραμματικῇ ἁμαρτημάτων περιρραινόμενος οὐκ ἂν ἀπαλλαγείης, οὕτως οὐδὲ τῶν ἐν τῷ βίῳ; ἐνεκάλει τοῖς ἀνθρώποις περὶ τῆς τύχης, αἰτεῖσθαι λέγων αὐτοῖς ἀγαθὰ τὰ αὐτοῖς δοκοῦντα, καὶ οὐ τὰ κατ' ἀλήθειαν. πρὸς δὲ τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν, ὡς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται· ὑπὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν. Ὀλυμπίασι τοῦ κήρυκος ἀνειπόντος, Νικᾷ Διώξιππος ἄνδρας· Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας δὲ ἐγώ. ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων. μειρακίου γοῦν τὸν πίθον αὐτοῦ συντρίψαντος, τῷ μὲν πληγὰς ἔδοσαν, ἐκείνῳ δὲ ἄλλον παρέσχον. φησὶ δὲ Διονύσιος ὁ Στωϊκὸς ὡς μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον. καὶ ἐρωτηθεὶς τίς εἴη, Κατάσκοπος ἔφη, τῆς σῆς ἀπληστίας. ὅθεν θαυμασθεὶς ἀφείθη. Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διά τινος Ἀθλία, παρὼν ἔφη, Ἀθλίας παρ' Ἀθλίου δι' Ἀθλίου πρὸς Ἄθλιον. Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτὸν, ἀποκτενεῖν, ἔφη, Οὐδὲν μέγα· καὶ γὰρ κάνθαρος καὶ φαλάγγιον τοῦτ' ἂν πράξειεν. ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἠξίου, ὡς Εἰ καὶ χωρὶς ἐμοῦ ζήσας εὐδαιμόνως ζήσοιτο. ἐβόα πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτὸν ζητούντων μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια. ὅθεν πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον, Οὔπω (εἶπε) μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ. τοῦτ

ἔσται πηρωθέντα σοι τὰς χεῖρας. θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν ταμιῶν τινὰ φιάλην ὑφῃρημένον ἄγοντας, ἔφη, Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι. θεασάμενός ποτε μειράκιον λίθους βάλλον ἐπὶ σταυρὸν, Εὖγε, εἶπε· τεύξῃ γὰρ τοῦ σκοποῦ. πρὸς τὰ περιστάντα μειράκια, καὶ εἰπόντα, Βλέπωμεν μὴ δάκῃς ἡμᾶς, Θαῤῥεῖτε, ἔφη, παιδία. κύων τευτλία οὐκ ἐσθίει. πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον, Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς σκώματα καταισχύνων. πρὸς τὸν μακαρίζοντα Καλλισθένην, καὶ λέγοντα ὡς πολυτελῶν παρὰ Ἀλεξάνδρῳ μετέχει, Κακοδαίμων μὲν οὖν ἐστιν, εἶπεν, ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δόξῃ. χρημάτων δεόμενος, ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ αἰτεῖν. ἐπ' ἀγορᾶς ποτε χειρουργῶν, Εἴθε, ἔφη καὶ τὴν κοιλίαν ἦν παρατρίψαντα μὴ πεινῆν. μειράκιον θεασάμενος μετὰ σατραπῶν ἐπὶ δεῖπνον ἀπιὸν, ἀποσπάσας ἀπήγαγε πρὸς τοὺς οἰκείους, καὶ ἐκέλευε τηρεῖν. πρὸς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι, ἔφη οὐ πρότερον λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενος δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιον φησὶν, Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον. ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τινὲς ὀστάρια ὡς κυνί· καὶ ὃς ἀπαλλαττόμενος προσεούρησεν αὐτοῖς ὡς κύων. τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας, τρισανθρώπους ἀπεκάλει, ἀντὶ τοῦ τρισαθλίους. τὸν πλούσιον ἀμαθῆ, πρόβατον εἶπε χρυσόμαλλον. θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον, Πράσιμος, Ἤιδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὸν κεκτημένον. πρὸς τὸ καταιτιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, Παῦσαι γὰρ, ἔφη, καὶ σὺ τὰ δείγματα τοῦ παχηλιῶνης περιφέρων. πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, Οἱ ἐνθάδε, ἔφη, λουόμενοι, ποῦ λούονται; παχέος κιθαρῳδοῦ πρὸς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει. ἐρωτηθεὶς δὲ διὰ τί, ἔφη, Ὅτι

τηλικοῦτος ὢν κιθαρῳδεῖ, καὶ οὐ λῃστεύει. τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο, Χαῖρε ἀλέκτωρ. τοῦ δὲ, εἰπόντος, Διὰ τί; Ὅτι (ἔφη) ᾄδων πάντας ἐγείρεις. μειρακίου διαδεικνυμένου πληρώσας τὸ προκόλπιον ἄντικρυς θέρμων ἔκαμπτε. τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορώντος, θαυμάζειν ἔφη πῶς ἐκεῖνον ἀφέντες αὐτὸν ὁρῶσι. λέγοντος δὲ αὐτῷ τινὸς ἰσχυρῶς δεισιδαίμονος, μιᾷ πληγῇ τὴν κεφαλήν σου διαρρήξω, Ἐγὼ δέ γε, εἶπε, παρὼν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω. Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, Μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν, ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς. πρός τε τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγὴν, Ἀλλὰ τούτου γε ἕνεκεν, εἶπεν, ὦ κακόδαιμον, ἐφιλοσόφησα. καὶ πάλιν, εἰπόντος τινὸς, Σινωπεῖς σου φυγὴν κατέγνωσαν, Ἐγὼ δέ γε, εἶπεν, ἐκείνων μονήν. ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα. ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη, Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται. ᾔτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, Μελετῶ, εἶπεν, ἀποτυγχάνειν. αἰτῶν τινα (καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν) ἔφη, Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενὶ, ἀπ' ἐμοῦ ἄρξαι. ἐρωτηθείς ποτε ὑπὸ τοῦ τυράννου ποῖος ἂν εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα, ἔφη, Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν. ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη, Ὡς θυλάκοις· τοὺς μὲν πλήρεις κρημνῶν, τοὺς δὲ κενοὺς ῥίπτων. νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, Ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς καλλίνικος ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακόν· ἐπέγραψε, Μετὰ τὸν πόλεμον ἡ συμμαχία. τὴν φιλαργυρίαν εἶπε μητρόπολιν

πάντων τῶν κακῶν. ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη, Εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις. τοὺς ἀγαθοὺς ἄνδρας, θεῶν εἰκόνας εἶναι. τὸν ἔρωτα, σχολαζόντων ἀσχολίαν. ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη, Γέρων ἄπορος. ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, Τῶν μὲν ἀγρίων, συκοφάντης· τῶν δὲ ἡμέρων, κόλαξ. ἰδών ποτε δύο κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη, Πότερος τούτων χείρων ἐστί; τὸν πρὸς χάριν λόγον, ἔφη μελιτίνην ἄγχονην εἶναι. τὴν γαστέρα, χάρυβδιν ἔλεγε τοῦ βίου. ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ μοιχὸς συνελήφθη, Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι. ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας. ἰδὼν γυναῖκα ἐν φορείῳ, Οὐ κατὰ τὸ θηρίον, ἔφη, ἡ γαλεάγρα. ἰδὼν δραπέτην ἐπὶ φρέατι καθήμενον, ἔφη, Μειράκιον, βλέπε μὴ ἐμπέσῃς. ἰδὼν ἱματιοκλέπτην ἐν τῷ βαλανείῳ, ἔφη, Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ἄλλο ἱμάτιον; ἰδών ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, Εἴθε γὰρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν. ἰδὼν λωποδύτην, ἔφη,

-- τίπτε σὺ ὧδε φέριστε,

Ἦ τινα συλήσων νεκύων κατατεθνηώτων;

ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη, Οὔ. τοῦ δὲ, εἰπόντος, Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη, Ὁ χρήζων τῆς οἰκίας. μειράκιον εὔμορφον ἀφυλάκτως ἰδὼν κοιμώμενον, νύξας, Ἐπέγειραι, ἔφη,

Μή τις τοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.

πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα,

Ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγοράζεις;

Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου, καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, Ἐγὼ, εἶπεν, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα δὲ καὶ κυαθότητα, οὐδαμῶς. καὶ ὅς, Κατὰ λόγον, ἔφη· οἷς μὲν γὰρ κύαθος &

τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις. ἐρωτηθεὶς ὑπό τινος, Ποῖός τις σοι, Διόγενες, δοκεῖ Σωκράτης; εἶπε, Μαινόμενος. ἐρωτηθεὶς ποίῳ καιρῷ δεῖ γαμεῖν, ἔφη, Τοὺς μὲν νέους μηδέποτε, τοὺς δὲ πρεσβυτέρους μηδὲ πώποτε. ἐρωτηθεὶς τί θέλοι κονδύλου λαβεῖν, Περικεφαλαίαν, ἔφη. μειράκιον ἰδὼν καλλωπιζόμενον, ἔφη, Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἰδών ποτε μειράκιον ἐρυθριῶν, Θάρρει, ἔφη, τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα. δυοῖν ποτε νομικοῖν ἀκούσας, τοὺς δύο κατέκρινεν εἰπὼν, τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλεκέναι. ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη, Τὸν ἀλλότριον. πρὸς τὸν εἰπόντα, Πολλοί σου καταγελῶσι, Ἀλλ᾽ ἐγὼ, ἔφη, οὐ καταγελῶμαι. πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν, Οὐ τὸ ζῆν, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν. πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, Γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται. ἀριστῶν ἐλάας, πλακοῦντος εἰσενεχθέντος, ῥίψας, φησὶν,

Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο. καὶ ἄλλοτε,
μάστιξεν δ᾽ ἐλάαν.

ἐρωτηθεὶς ποταπὸς εἴη κύων, ἔφη, Πεινῶν, Μελιταῖος· χορτασθεὶς δὲ, Μολοττικός. οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ τὴν θήραν· οὕτως οὐδὲ ἐμοὶ δύνασθε συμβιοῦν, διὰ τὸν φόβον τῶν ἀλγηδόνων. ἐρωτηθεὶς εἰ σοφοὶ πλακοῦντα ἐσθίουσι, Πάντ᾽, εἶπεν, ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι. ἐρωτηθεὶς διὰ τί προσαίταις μὲν ἐπιδιδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη, Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι ἐλπίζουσι· φιλοσοφῆσαι δὲ, οὐδέποτε. φιλάργυρον ᾔτει· τοῦ δὲ, βραδύνοντος, Ἄνθρωπε, εἶπεν, εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν. ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη, Ἦν ποτε

χρόνος ἐκεῖνος ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε. καὶ πρὸς ἄλλον ἐπὶ τοῦ αὐτοῦ ὀνειδίσαντα, Καὶ γὰρ ἐνεούρουν θᾶττον· ἀλλὰ νῦν, οὔ. εἰς Μύνδον ἐλθὼν, καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. θεασάμενός ποτε πορφυροκλέπτην πεφωραμένον, ἔφη,

Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Κρατεροῦ ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, Ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν, ἢ παρὰ Κρατερῷ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθὼν, Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός. καὶ γὰρ αὐτὸς κουφισθήσῃ, καὶ ἡμᾶς ὠφελήσεις. διαλεγομένου ποτὲ αὐτοῦ, τάριχον προτείνας περιέσπασε τοὺς ἀκροατάς. ἀγανακτοῦντος δὲ, Τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν. ὀνειδιζόμενός ποτε ὅτι ἐν ἀγορᾷ ἔφαγεν, Ἐν ἀγορᾷ γὰρ, ἔφη, καὶ ἐπείνησα. ἔνιοι δὲ τούτου φασὶν εἶναι κἀκεῖνο, ὅτι Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ, Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες. τὸν δὲ ἀποκρίνασθαι ὁμοίως ἡσυχῇ, Καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες. πρὸς τὸν εἰπόντα, Οἱ πλείους σου καταγελῶσι· Κἀκείνων τυχὸν, εἶπεν, οἱ ὄνοι. ἀλλ' οὔτ' ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτε ἐγὼ ἐκείνων. θεασάμενος μειράκιον φιλοσοφοῦν, Εὖγε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις. θαυμάζοντός τινος τὰ ἐν Σαμοθρᾴκῃ ἀναθήματα, ἔφη, Πολλῷ ἂν ἦν πλείω εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν. οἱ δὲ, τοῦτο Διαγόρου φασὶ τοῦ Μηλίου. ἀμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον, ἔφη, Χείρων ἐπανήξεις. τοῦ δὲ ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος,

Καὶ ἀπῆλθον, καὶ χείρων οὐκ ἐγλυομένην ἔφη, Χείρων μὲν οὔ, Εὐρυτίων δέ. δύσκολον ἤτει. τοῦ δ' εἰπόντος, Ἐάν με πείσῃς ἔφη, Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα σε ἂν ἀπάγξασθαι. ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον, Ποῖ καὶ πόθεν; Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν. ἐπανῄει ἀπὸ Ὀλυμπίων· πρὸς οὖν τὸν πυθόμενον εἰ ὄχλος εἴη πολύς, Πολὺς μέν, εἶπεν, ὁ ὄχλος· ὀλίγοι δ' οἱ ἄνθρωποι. τοὺς ἀσώτους εἶπε παραπλησίους εἶναι συκαῖς ἐπὶ κρημνῷ πεφυκυίαις· ὧν τοῦ καρποῦ μὲν ἄνθρωπος οὐκ ἀπογεύεται, κόρακες δὲ καὶ γῦπες ἐσθίουσι. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς, τοῦτον ἐπιγράψαι, Τῆς ἀπὸ τῶν Ἑλλήνων ἀκρασίας. Ἀλεξάνδρου ποτὲ ἐπιστάντος αὐτῷ, καὶ εἰπόντος, Ἐγώ εἰμι Ἀλέξανδρος, ὁ μέγας βασιλεύς· Κἀγώ, φησί, Διογένης ὁ κύων. ἐρωτηθεὶς τί ποιῶν, κύων καλεῖται, ἔφη, Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος, Αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο, Ἐγὼ οὖν, φησίν, αὐτὴν καθαρῶ. ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, Ἴδε, ἔφη, κριὸν ἀρειμάνιον, ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται. τὰς εὐπρεπεῖς ἑταίρας ἔλεγε θανασίμῳ μελικράτῳ παραπλησίας εἶναι. ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, Κύον. ὁ δέ, Ὑμεῖς, εἶπεν, ἐστὲ κύνες οἵ με ἀριστῶντα περιεστήκατε. δύο μαλακῶν περικρυπτομένων αὐτόν, ἔφη, Μὴ εὐλαβεῖσθε. κύων τεῦτλα οὐ τρώγει. περὶ παιδὸς πεπορνευκότος ἐρωτηθεὶς πόθεν εἴη, Τεγεάτης, ἔφη. ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη, Τί τοῦτο; ἢ ἵνα τοὺς ποτέ σε νικήσαντας νῦν καταβάλῃς; θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς. δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ἣν εἰλήφει παρὰ ἐραστοῦ, Ἡ μὲν μάχαιρα, ἔφη, καλή· ἡ δὲ

λαβὴ, αἰσχρά. ἐπαινούντων τινῶν τὸν ἐπιδόντα αὐτῷ, ἔφη, Ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη, Εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δ' ἔχρησας, χρῶμαι. ὑποβολιμαίου τινὸς εἰπόντος αὐτῷ ὅτι χρυσὸν ἔχει ἐν τῷ ἱματίῳ, Ναὶ, ἔφη, διὰ τοῦτο αὐτὸ ὑποβεβλημένος κοιμῶμαι. ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, Καὶ εἰ μηδὲν ἄλλο, τὸ γοῦν πρὸς πᾶσαν τύχην παρεσκευάσθαι. ἐρωτηθεὶς πόθεν εἴη, Κοσμοπολίτης, ἔφη. θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη, Περὶ δὲ τοῦ ποδαπὸς ἐκβῇ, οὐ θύετε; ἔρανόν ποτε αἰτούμενος, πρὸς τὸν ἐρανάρχην, ἔφη,

Τοὺς ἄλλους ἐνάριζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

τὰς ἑταίρας, ἔφη βασιλέων εἶναι βασιλίσσας. αἰτεῖν γὰρ ὅτι ἂν δόξῃ αὐταῖς. ψηφισαμένων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, Κἀμὲ, ἔφη, Σάραπιν ποιήσατε. πρὸς τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίοι, Καὶ γὰρ ὁ ἥλιος, ἔφη, εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται. ἐν ἱερῷ δειπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέντων, ἄρας αὐτοὺς ἔρριψεν, εἰπὼν εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι. πρὸς τὸν εἰπόντα, Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη, Εἰ καὶ προσποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι. πρὸς τὸν συνιστάντα τὸν παῖδα, καὶ λέγοντα ὡς εὐφυέστατος ἐστὶ, καὶ τὰ ἤθη κράτιστος, Τί οὖν, εἶπεν, ἐμοῦ χρήζει; τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δὲ, ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. εἰς θέατρον εἰσῄει ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διὰ τί, Τοῦτο, ἔφη, παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν. ἰδών ποτε νεανίσκον θηλυνόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, χείρονα τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος; ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι. ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, Οὐκ αἰσχύνῃ, ἔφη, τοὺς μὲν φθόγγους τῷ ξύλῳ προσαρμόττων, τὴν δὲ ψυχὴν

εἰς τὸν βίον μὴ ἁρμόττων; πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειος εἰμὶ πρὸς φιλοσοφίαν, Τί οὖν, ἔφη, ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι; πρὸς τὸν καταφρονοῦντα τοῦ πατρὸς, Οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τούτου δι' ὃν μέγα φρονεῖς; ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, Οὐκ αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολιβδίνην ἕλκων μάχαιραν; ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, Καὶ ἐν κουρείῳ, φησὶ, κείρομαι. ὀνειδιζόμενος ὅτι παρὰ Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη,

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκὸν, εἶτα εἰπόντα, Φύλαξαι, πλήξας αὐτὸν τῇ βακτηρίᾳ, εἶπε, Φύλαξαι. πρὸς τὸν λιπαροῦντα τῇ ἑταίρᾳ, Τί θέλεις, ἔφη, τυχεῖν, ὦ ταλαίπωρε, οὗ τὸ ἀποτυχεῖν ἄμεινόν ἐστι; πρὸς τὸν μυριζόμενον, Βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυσωδίαν σου τῷ βίῳ παράσχῃ. τοὺς μὲν οἰκέτας ἔφη δεσπόταις, τοὺς δὲ φαύλους ἐπιθυμίαις δουλεύειν. ἐρωτηθεὶς διὰ τί ἀνδράποδα ἐκλήθη, Ὅτι, φησὶ, τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ νῦν ὁ ἐξετάζων. ἄσωτον ᾔτει μνᾶν. πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν ζητεῖ, αὐτὸν δὲ μνᾶν, Ὅτι, εἶπε, παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ, θεῶν ἐν γούνασι κεῖται εἰ πάλιν λήψομαι. ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, Καὶ ἐκεῖνος, εἶπεν, αἰτεῖ ἀλλ'

Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπὼν, Ἵνα μὴ πληγῶ. τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν. ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, Πῶς, εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα; πρὸς Ἀλέξανδρον ἐπιστάντα, καὶ εἰπόντα, Οὐ φοβῇ με; Τί γὰρ, εἶπεν, εἰ ἀγαθὸν, ἢ κακόν; τοῦ δὲ εἰπόντος, Ἀγαθόν· Τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται; τὴν παιδείαν εἶπε

τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμόν, Ὅρα (φησὶ) μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἰατρεύων, τὴν κόρην φθείρῃς. εἰπόντος τινὸς ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, Καὶ τί δεῖ πράττειν, ἔφη, εἰ δεήσει τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι; ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη, Παρρησία. εἰσελθὼν εἰς διδασκάλου, καὶ μούσας μὲν ἰδὼν πολλάς, μαθητὰς δὲ ὀλίγους, Σὺν θεοῖς, ἔφη, διδάσκαλε πολλοὺς μαθητὰς ἔχεις. εἰώθει δὲ πάντα ποιεῖν ἐν τῷ μέσῳ, καὶ τὰ Δήμητρος καὶ τὰ Ἀφροδίτης. καὶ τοιούτους τινὰς ἠρώτα λόγους, Εἰ τὸ ἀριστᾶν μηδὲν εἴη ἄτοπον, οὐδ' ἐν ἀγορᾷ ἐστιν ἄτοπον. οὐκ ἔστι δὲ ἄτοπον τὸ ἀριστᾶν· οὐδ' ἐν ἀγορᾷ ἐστιν ἄτοπον. χειρουργῶν τ' ἐν τῷ μέσῳ συνεχές, Εἴθε ἦν, ἔλεγε, καὶ τὴν κοιλίαν παρατριψάμενον τοῦ λιμοῦ παύσασθαι. ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐτόν, ἃ μακρὸν ἂν εἴη καταλέγειν, πολλὰ ὄντα. διττὴν δὲ ἔλεγεν εἶναι τὴν ἄσκησιν· τὴν μὲν, ψυχικήν· τὴν δὲ, σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖς γινόμεναι φαντασίαι, εὐλυσίαν πρὸς τὰ τῆς ἀρετῆς ἔργα παρέχονται. εἶναι δὲ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας, οὐδὲν ἧττον εὐεξίας καὶ ἰσχύος ἐν τοῖς προσήκουσι γινομένης, ὡς περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. παρετίθετο δὲ τεκμήρια τοῦ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ καταγίνεσθαι. ὁρᾶν τε γὰρ ἔν τε ταῖς τέχναις ταῖς βαναύσοις καὶ ταῖς ἄλλαις οὐ τὴν τυχοῦσαν ὀξυχειρίαν τοὺς τεχνίτας ἀπὸ τῆς μελέτης πεποιημένους· τούς τε αὐλητὰς καὶ τοὺς ἀθλητάς, ὅσον ὑπερφέροισιν ἑκάτεροι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ. καὶ ὡς οὗτοι, εἰ μετήνεγκαν τὴν ἄσκησιν καὶ ἐπὶ τὴν ψυχήν, οὐκ ἂν ἀνωφελῶς καὶ ἀτελῶς ἐμόχθουν. οὐδέ γε μὴν ἔλεγε τὸ παράπαν

ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι. δέον οὖν, ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους, ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν κακοδαιμονοῦσι. καὶ γὰρ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα. καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν· οὕτως οἱ τοὐναντίον ἀσκηθέντες, ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμισμα παραχαράττων, μηδὲν οὕτω τοῖς κατὰ νόμον ὡς τοῖς κατὰ φύσιν διδούς· τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων. πάντα τῶν σοφῶν εἶναι λέγων, καὶ τοιούτους λόγους ἐρωτῶν οἵους ἄνω προειρήκαμεν· Πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν. περί τε τοῦ νόμου, ὅτι χωρὶς αὐτοῦ οὐχ οἷόν τε πολιτεύεσθαι, Οὐ γὰρ, φησὶν, ἄνευ πόλεως ὄφελός τι εἶναι ἀστείου· ἀστεῖον δὲ ἡ πόλις· νόμου δὲ ἄνευ πόλεως οὐδὲν ὄφελος· ἀστεῖον ἄρα ὁ νόμος. εὐγενείας δὲ καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, προκοσμήματα κακίας εἶναι λέγων, μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ. ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδὲν ὀνομάζων ἀλλὰ τὸν πείσαντα τῇ πεισάσῃ συνεῖναι. κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας. μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν, ἢ τῶν ζώων τινὸς γεύσασθαι. μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρείων ἐθῶν καὶ τῷ δὲ ὀρθῷ λόγῳ πάντα ἐν πᾶσι καὶ διὰ πάντων εἶναι λέγων. καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέως εἶναι, καὶ ἐν τῷ λαχάνῳ ἄρτου, καὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων καὶ ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων ὡς δῆλον ἐν τῷ Θυέστῃ ποιεῖ. εἴ γε αὐτοῦ αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου ἐκείνου γνωρίμου, ἢ Πασιφῶντος τοῦ Λουκιανοῦ, ὅν φησι Φαβωρῖνος ἐν παντοδαπῇ

ἱστορίᾳ.

πορεία, μετὰ τὴν τελευτὴν αὐτοῦ συγγράψαι. μουσικῆς τε καὶ γεωμετρικῆς καὶ ἀστρολογίας καὶ τῶν τοιούτων ἀμελεῖν, ὡς ἀχρήστων καὶ οὐκ ἀναγκαίων. εὐστοχώτατος δὲ ἐγένετο ἐν ταῖς ἀπαντήσεσι τῶν λόγων, ὡς δῆλον ἐξ ὧν προειρήκαμεν. καὶ πρᾶσιν ἤνεγκε γενναιότατα. πλέων γὰρ εἰς Αἴγιναν, καὶ πειραταῖς ἁλοὺς, ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο. καὶ τοῦ κήρυκος ἐρωτῶντος τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον Ξενιάδην, ἔφη, Τούτῳ με πώλει· οὗτος δεσπότου χρήζει. ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης· καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. ὁ δὲ οὕτως αὐτὸν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιιὼν, Ἀγαθὸς, ἔλεγε, δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. δούλου γὰρ τὸ φοβεῖσθαι· τὰ δὲ θηρία, φοβερὰ τοῖς ἀνθρώποις εἶναι. θαυμαστὴ δέ τις ἦν περὶ τὸν ἄνδρα πειθὼ, ὥστε πάνθ' ὁντινοῦν ῥᾳδίως αἱρεῖν τοῖς λόγοις. λέγεται γοῦν Ὀνησίκριτόν τινα Αἰγινήτην πέμψαι εἰς Ἀθήνας δυοῖν ὄντοιν υἱοῖν τὸν ἕτερον Ἀνδροσθένην· ὃν ἀκούσαντα τοῦ Διογένους, αὐτόθι προσμεῖναι. τὸν δ' ἐπ' αὐτὸν καὶ τὸν ἕτερον ἀποστεῖλαι τὸν πρεσβύτερον, Φιλίσκον τὸν προειρημένον. ὁμοίως δὲ καὶ τὸν Φιλίσκον κατασχεθῆναι. τὸ τρίτον αὐτὸν ἀφικόμενον, μηδὲν ἧττον συνεῖναι τοῖς παισὶ φιλοσοφοῦντα. τοιαύτη τις προσῆν ἴυγξ Διογένους τοῖς λόγοις. ἤκουσε δὲ αὐτοῦ καὶ Φωκίων ὁ ἐπίκλην χρηστὸς, καὶ Στίλπων ὁ Μεγαρικὸς, καὶ ἄλλοι πλείους ἄνδρες πολιτικοί. λέγεται δὲ πρὸς τὰ ἐννενήκοντα ἔτη βιοὺς τελευτῆσαι. περὶ δὲ τοῦ θανάτου διάφοροι λέγονται λόγοι. οἱ μὲν γὰρ βοὸς πόδα

φαγόντα ὠμὸν, χολερικῶς ληφθῆναι, καὶ ὧδε τελευτῆσαι. οἱ δὲ, τὸ πνεῦμα συγκρατήσαντα· ὧν ἐστὶ καὶ Κερκίδας ὁ Μεγαλοπολίτης, ἢ Κρὴς, λέγων ἐν τοῖς μελιάμβοις οὕτως,

Οὐ μὰν ὁ πάρος γ' ἔα Σινωπεὺς τῆνος
Ὁ βακτροφόρας, διπλοείματος, αἰθερειβόσκας,
Ἀλλ' ἀνέβα χεῖλος ποτ' ὀδόντας ἐρείσας,
Καὶ τὸ πνεῦμα συνδακών. ἦν γὰρ ἀλαθέως
Διογένης Ζανὸς γόνος, οὐράνιός τε κύων.

ἄλλοι φασὶ πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον, οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα, καὶ καταστρέψαι. οἱ μέντοι γνώριμοι αὐτοῦ, (καθά φησιν Ἀντισθένης ἐν διαδοχαῖς) εἴκαζον τὴν τοῦ πνεύματος ἐγκράτησιν. ἐτύγχανε μὲν γὰρ διάγων ἐν τῷ Κρανείῳ τῷ πρὸ τῆς Κορίνθου γυμνασίῳ. κατὰ δὲ τὸ ἔθος, ἧκον οἱ γνώριμοι· καὶ αὐτὸν καταλαμβάνουσιν ἐγκεκαλυμμένον, οὐ δὴ εἴκασαν αὐτὸν κοιμώμενον. οὐ γὰρ ἦν τις νυσταλὸς καὶ ὑπνηλός. ὅθεν ἀποπετάσαντες τὸν τρίβωνα, ἔκπνουν αὐτὸν καταλαμβάνουσι. καὶ ὑπέλαβον τοῦτο πρᾶξαι, βουλόμενον λοιπὸν ὑπεξελθεῖν τοῦ βίου. ἔνθα καὶ στάσις (ὥς φασιν) ἐγένετο τῶν γνωρίμων, τίνες αὐτὸν θάψωσιν. ἀλλὰ καὶ μέχρι χειρῶν ἦλθον. ἀφικομένων δὲ τῶν πατέρων καὶ τῶν ὑπερεχόντων, ὑπὸ τούτοις ταφῆναι τὸν ἄνδρα, παρὰ τῇ πύλῃ τῇ φερούσῃ εἰς Ἰσθμόν. ἐπέστησάν τε αὐτῷ κίονα, καὶ ἐπ' αὐτῷ λίθου Παρίου κύνα. ὕστερον δὲ καὶ οἱ πολῖται αὐτοῦ χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν, καὶ ἐπέγραψαν οὕτω,

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι
Κῦδος ὁ πᾶς αἰὼν Διόγενες καθελεῖ·
Μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
Θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάτην.

ἔστι δὲ ἡμῶν ἐν τῷ προκελευματικῷ μέτρῳ,

Διόγενες ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος
Εἰς ἄϊδος. ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

ἔνιοι δέ φασι τελευτῶντα αὐτὸν, καὶ ἐντείλασθαι ἄταφον ῥῖψαι ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι· ἢ εἴς γε βόθρον συνῶσαι, καὶ ὀλίγην κόνιν ἐπαμῆσαι. οἱ δὲ, εἰς τὸν Ἐλισσὸν ἐμβαλεῖν, ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται. Δημήτριος δ' ἐν τοῖς ὁμωνύμοις φησὶ, τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι. ἦν δὲ γέρων κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα. φέρεται δ' αὐτοῦ βιβλία τάδε· Διάλογοι Κεφαλαίων, Ἰχθύας, Κολοιός, Πάρδαλις, Δῆμος Ἀθηναίων, Πολιτεία, Τέχνη ἠθική, Περὶ πλούτου, Ἐρωτικὸς, Θεόδωρος, Ὑψίας, Ἀρίσταρχος, Περὶ θανάτου, Ἐπιστολαί. Τραγῳδίαι ἑπτὰ, Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσιππος, Οἰδίπους. Σωκράτης δ' ἐν τῷ πρώτῳ τῆς διαδοχῆς, καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τῶν βίων, οὐδὲν εἶναι Διογένους φασί. τά τε τραγῳδάρια φησὶν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Αἰγινήτου, γνωρίμου τοῦ Διογένους. Σωτίων δ' ἐν τῷ ἑβδόμῳ ταῦτα μόνα φησὶ Διογένους εἶναι· Περὶ ἀρετῆς, Περὶ ἀγαθοῦ, Ἐρωτικὸν, Πτωχὸν, Τολμαῖον, Πάρδαλιν, Κάσανδρον, Κεφαλίωνα, Φιλίσκον, Ἀρίσταρχον, Σίσυφον, Γανυμήδην, Χρείας, Ἐπιστολάς. γεγόνασι δὲ Διογένεις πέντε· πρῶτος, Ἀπολλωνιάτης, φυσικός. ἀρχὴ δ' αὐτῷ τοῦ συγγράμματος ἥδε, Λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι. δεύτερος, Σικυώνιος, ὁ γράψας τὰ περὶ Πελοπόννησον· τρίτος, αὐτὸς οὗτος· τέταρτος, Στωϊκὸς, γένος Σελευκεὺς, καλούμενος δὲ Βαβυλώνιος, διὰ τὴν γειτονίαν· πέμπτος, Ταρσεὺς, γεγραφὼς περὶ ποιητικῶν ζητημάτων, ἃ λύειν ἐπιχειρεῖ. τὸν δὴ φιλόσοφον Ἀθηνόδωρος φησὶν ἐν ὀγδόῃ περιπάτων ἀεὶ στιλπνὸν φαίνεσθαι διὰ τὸ ἀλείφεσθαι.

## ΜΟΝΙΜΟΣ.

Μόνιμος, Συρακούσιος, μαθητὴς μὲν Διογένους, οἰκέτης δέ τινος τραπεζίτου Κορινθίου, καθά φησι Σωκράτης. πρὸς τοῦτον συνεχὲς ἀφικνούμενος ὁ Ξενιάδης ὁ τὸν Διογένην ἐωνημένος, τὴν ἀρετὴν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων διηγούμενος, εἰς ἔρωτα τἀνδρὸς ἐνέβαλε τὸν Μόνιμον. αὐτίκα γὰρ ἐκεῖνος μανίαν προσποιηθείς, τό, τε κέρμα διερρίπτει καὶ πᾶν τὸ ἐπὶ τῆς τραπέζης ἀργύριον, ἕως αὐτὸν ὁ δεσπότης παρῃτήσατο. καὶ ὃς εὐθέως Διογένους ἦν. παρηκολούθησε δὲ καὶ Κράτητι τῷ κυνικῷ συχνά, καὶ τῶν ὁμοίων εἴχετο, ὅτε καὶ μᾶλλον ὁρῶν αὐτὸν ὁ δεσπότης ἐδόκει μαίνεσθαι. ἐγένετο δὲ ἀνὴρ ἐλλόγιμος, ὡς καὶ Μένανδρον αὐτοῦ τὸν κωμικὸν μεμνῆσθαι. ἔν τινι γοῦν τῶν δραμάτων ἐν τῷ Ἱπποκόμῳ εἶπεν οὕτως,

Μόνιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφὸς
Ἀδοξότερος, μικρὰν δὲ πήραν ἦν ἔχων.
Πήρας μὲν οὖν τρεῖς, ἀλλὰ καὶ εἰκόνος ῥήματι
Ἐφθέγξατ' οὐδὲν ἐμφερές, μὰ τὸν Δία,
Τῷ γνῶθι σαυτόν, οὐδὲ τοῖς βοωμένοις
Τούτοις· ὑπὲρ δὲ ταῦτα, ὁ προσαιτῶν καὶ ῥυπῶν.
Τὸ γὰρ ὑποληφθὲν τῦφον εἶναι πᾶν ἔφη.

οὗτος μὲν ἐμβριθέστατος ἐγένετο, ὥστε δόξης μὲν καταφρονεῖν, πρὸς δὲ ἀλήθειαν παρορμᾶν. γέγραφε δὲ παίγνια σπουδῇ λεληθυίᾳ μεμιγμένα, καὶ Περὶ ὁρμῶν δύο, καὶ Προτρεπτικόν.

## ΟΝΗΣΙΚΡΙΤΟΣ.

Ὀνησίκριτος. τοῦτον οἱ μὲν, Αἰγινήτην, Δημήτριος δὲ ὁ Μάγνης Ἀστυπαλέα φησί. καὶ οὗτος τῶν ἐλλογίμων Διογένους μαθητῶν. ἔοικε δέ τι ὅμοιον πεπονθέναι πρὸς

Ξενοφῶντα. ἐκεῖνος μὲν γὰρ Κύρῳ συνεστράτευσεν, οὗτος δὲ Ἀλεξάνδρῳ. κἀκεῖνος μὲν, Παιδείαν Κύρου· ὁ δὲ, Πῶς Ἀλέξανδρος ἤχθη, γέγραφε. καὶ ὁ μὲν, ἐγκώμιον Κύρου· ὁ δὲ, Ἀλεξάνδρου πεποίηκε. καὶ τῇ ἑρμηνείᾳ δὲ παραπλήσιος· πλὴν ὅτι ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει.
Γέγονε καὶ Μένανδρος Διογένους μαθητὴς ὁ ἐπικαλούμενος δρυμὸς, θαυμαστὴς Ὁμήρου· καὶ Ἡγησαῖος Σινωπεὺς, ᾧ Κλοιὸς ἐπίκλην· καὶ Φιλίσκος Αἰγινήτης, ὡς προειρήκαμεν.

## ΚΡΑΤΗΣ.

Κράτης Ἀσκώνδου, Θηβαῖος, καὶ οὗτος τῶν ἐλλογίμων τοῦ Κυνὸς μαθητῶν. Ἱππόβοτος δέ φησιν οὐ Διογένους αὐτὸν μαθητὴν γεγονέναι, ἀλλὰ Βρύσωνος τοῦ Ἀχαιοῦ. τούτου παίγνια φέρεται τάδε,

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
Καλὴ καὶ πίειρα, περίρρυπος, οὐδὲν ἔχουσα,
Εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
Οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν,
Ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους,
Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους, περὶ τούτων
Οὐχ ὅπλα κέκτηνται, περὶ κέρματος, οὐ περὶ δόξης.

ἔστι καὶ ἐφημερὶς ἡ θρυλλουμένη, οὕτως ἔχουσα· Τίθει μαγείρῳ μνᾶς δέκα, ἰατρῷ δραχμὴν, κόλακι τάλαντα δέκα, συμβούλῳ καπνὸν, πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον. ἐκαλεῖτο δὲ καὶ Θυρεπανοίκτης, διὰ τὸ εἰς πᾶσαν εἰσιέναι οἰκίαν, καὶ νουθετεῖν. ἔστιν αὐτοῦ καὶ τόδε,

Ταῦτ᾽ ἔχω ὅσσ᾽ ἔμαθον καὶ ἐφρόντισα, καὶ μετὰ Μουσῶν
Σέμν᾽ ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψε.

καὶ ὅτι ἐκ φιλοσοφίας αὐτῷ περιγένοιτο,

Θέρμων τε χοίνιξ, καὶ τὸ μηδενὸς μέλειν.

φέρεται δ' αὐτοῦ κἀκεῖνο,

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.

Ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος.

ἤκμαζε δὲ κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα. τοῦτον φησὶν Ἀντισθένης ἐν διαδοχαῖς θεασάμενον ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα, καὶ τἄλλα λυπρὸν, ἀΐξαι ἐπὶ τὴν Κυνικὴν φιλοσοφίαν. ἐξαργυρισάμενόν τε τὴν οὐσίαν, (καὶ γὰρ ἦν τῶν ἐπιφανῶν) ἀθροίσαντα πρὸς τὰ ἑκατὸν διακόσια τάλαντα, τοῖς πολίταις ἀνεῖναι ταῦτα. αὐτὸν δὲ καρτερῶς οὕτω φιλοσοφεῖν, ὡς καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι. φησὶ γοῦν,

Καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασὺ,

Ἵν' ἐγκρατὴς ᾖ, τοῦ δὲ χειμῶνος ῥάκος.

φησὶ δὲ Διοκλῆς πεῖσαι αὐτὸν Διογένη τὴν οὐσίαν μηλόβοτον ἀνεῖναι, καὶ εἴ τι ἀργύριον εἴη, εἰς θάλατταν βαλεῖν. καὶ Κράτητος μὲν (φησὶν) ὁ οἶκος ὑπὸ Ἀλεξάνδρου, Ἱππαρχίας δὲ ὑπὸ Φιλίππου. πολλάκις τε τῇ βακτηρίᾳ τῶν συγγενῶν τινας προσιόντας καὶ ἀποτρέποντας ἐδίωκε. καὶ ἦν γενναῖος. φησὶ δὲ Δημήτριος ὁ Μάγνης τραπεζίτῃ τινὶ παρακαταθέσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γένοιντο, αὐτοῖς ἀποδοῦναι· εἰ δὲ φιλόσοφοι, τῷ δήμῳ διανεῖμαι. μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας. Ἐρατοσθένης δέ φησιν, ἐξ Ἱππαρχίας, (περὶ ἧς λέξομεν) γενομένου παιδὸς αὐτῷ ὄνομα Πασικλέους, ὅτ' ἐξ ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῷ πατρῷον εἶναι τὸν γάμον. τούς τε τῶν μοιχευόντων τραγικοὺς, φυγὰς καὶ φόνους ἔχειν ἔπαθλον, τούς τε τῶν ἑταίραις προσιόντων κωμικούς. καὶ ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. τούτου γέγονε Πασικλῆς ἀδελφὸς, μαθητὴς Εὐκλείδου. χαρίεν δ'

αὐτοῦ Φαβωρῖνος ἐν δευτέρῳ τῶν Ἀπομνημονευμάτων φέρει.
φησὶ γάρ, Παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν
ἰσχίων αὐτοῦ ἥπτετο. ἀγανακτοῦντος δέ, ἔφη, Τί γὰρ οὐχὶ καὶ
ταῦτα σά ἐστι, καθάπερ καὶ τὰ γόνατα; ἔλεγέ τε ἀδύνα-
τον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ', ὥσπερ ἐν ῥοιᾷ, καὶ σα-
πρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳ-
δὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῷ μετώπῳ, ἐ-
πέγραψε, Νικόδρομος ἐποίει. τὰς πόρνας ἐπίτηδες ἐλοι-
δόρει, συγγυμνάζων ἑαυτὸν πρὸς τὰς βλασφημίας. Δημή-
τριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον,
ὠνείδισεν, εἰπών, Εἴθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον.
δῆλον οὖν ὡς ὕδωρ ἔπινεν. ὑπὸ τῶν Ἀθήνησιν ἀστυ-
νόμων ἐπιτιμηθεὶς ὅτι σινδόνα ἠμφίεστο, ἔφη, Καὶ Θεό-
φραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον. ἀπιστούντων
δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον, καὶ ἔδειξε κειρόμενον. ἐν Θή-
βαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς (οἱ δέ, ἐν Κο-
ρίνθῳ, ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τοῦ ποδός, ἐπέλε-
γεν ἀφροντιστῶν,

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

Διοκλῆς δέ φησιν ἑλκυσθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ
Ἐρετρικοῦ. ἐπειδὴ γὰρ εὐπρεπὴς ὢν καὶ ἐδόκει χρησιμεύ-
ειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἁψάμενος αὐτοῦ τῶν μη-
ρῶν ὁ Κράτης, ἔφη, Ἔνδον Ἀσκληπιάδης, ἐφ' ᾧ δυσχερά-
ναντα τὸν Μενέδημον, ἕλκειν αὐτόν· τὸν δέ, τοῦτο ἐπιλέγειν.
Ζήνων δ' αὐτὸν ὁ Κιτιεὺς ἐν ταῖς Χρείαις, καὶ κῴδιον αὐ-
τόν φησί ποτε προσράψαι τῷ τρίβωνι ἀνεπιστρεπτοῦντα.
ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρός, καὶ γυμναζόμενος ἐγελᾶτο.
εἰώθει δὲ λέγειν, ἐπαίρων τὰς χεῖρας, Θάρρει Κράτης
ὑπὲρ ὀφθαλμῶν καὶ τοῦ λοιποῦ σώματος. τούτους δ' ὄψει
τοὺς καταγελῶντας ἤδη καὶ συνεσπασμένους ὑπὸ νόσου,
καί σε μακαρίζοντας, αὑτοὺς δὲ καταμεμφομένους ἐπὶ
τῇ ἀργίᾳ. ἔλεγε δέ, μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρις

ἂν δέξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάτας. ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας, ὥσπερ τοὺς μόσχους ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις τοὺς προσήκοντας οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας. συναισθανόμενος ὅτι ἀποθνήσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων,

--στείχεις δὴ φίλε κύρτων,
Βαίνεις εἰς ἀΐδαο δόμους, κυφὸς ὥραν διὰ γῆρας.

ἦν γὰρ κυφὸς ὑπὸ χρόνου. πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη, Καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει. ἔχειν δὲ πατρίδα ἀδοξίαν καὶ πενίαν, ἀνάλωτα τῇ τύχῃ· καὶ Διογένους εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνῳ. μέμνηται αὐτοῦ καὶ Μένανδρος ἐν Διδύμοις οὕτως,

Συμπεριπατήσεις γὰρ τρίβων' ἔχουσ' ἐμοί,
Ὥσπερ Κράτητι τῷ κυνικῷ ποθ' ἡ γυνή.

καὶ θυγατέρ' ἐξέδωκε κείνοις, ὡς αὐτός ἔφη, ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας.

## ΜΗΤΡΟΚΛΗΣ.

Μαθητὴς αὐτοῦ Μητροκλῆς, ἀδελφὸς Ἱππαρχίας· ὃς πρότερον ἀκούων Θεοφράστου τοῦ περιπατητικοῦ, τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν, ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθεὶς, καὶ θέρμους ἐπίτηδες βεβρωκώς. ἔπειθε μὲν αὐτὸν καὶ διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι εἰ μὴ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο. τέλος δὲ καὶ ἀποπαρδὼν αὐτὸν ἀνέρρωσεν, ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. τοὐντεῦθεν ἤκουεν αὐτοῦ, καὶ ἐγένε-

ἀνὴρ ἱκανὸς ἐν φιλοσοφίᾳ. οὗτος τὰ ἑαυτοῦ συγγράμματα κατακαίων, (ὥς φησιν Ἑκάτων ἐν πρώτῳ χρειῶν) ἐπέλεγε,

Τάδ᾽ ἔστ᾽ ὀνείρων νερτέρων φαντάσματα.

ἢ λῆρος. οἱ δ᾽, ὅτι τὰς Θεοφράστου ἀκροάσεις καταφλέγων, ἐπέλεγε,

Ἥφαιστε πρόμολ᾽ ὧδε, Θέτις νύ τι σεῖο χατίζει.

οὗτος ἔλεγε τῶν πραγμάτων τὰ μὲν, ἀργυρίου ὠνητὰ εἶναι, ἢ οἰκίαν· τὰ δὲ, χρόνου καὶ ἐπιμελείας, ὡς παιδείαν. τὸν πλοῦτον, βλαβερὸν, εἰ μή τις ἀξίως αὐτῷ χρῷτο. τελεύτα δὴ ὑπὸ γήρως ἑαυτὸν πνίξας. μαθηταὶ δ᾽ αὐτοῦ Θεόμβροτος καὶ Κλεομένης. Θεομβρότου, Δημήτριος Ἀλεξανδρεύς· Κλεομένους, Τίμαρχος Ἀλεξανδρεὺς, καὶ Ἐχεκλῆς Ἐφέσιος. οὐ μὴν ἀλλὰ καὶ Ἐχεκλῆς Θεομβρότου διήκουσεν, οὗ Μενέδημος, περὶ οὗ λέξομεν. ἐγένετο καὶ Μένιππος Σινωπεὺς ἐν αὐτοῖς ἐπιφανής.

## ΙΠΠΑΡΧΙΑ.

Ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τοῦ Μητροκλέους, Ἱππαρχία. Μαρωνῖται δ᾽ ἦσαν ἀμφότεροι. καὶ ἤρα τοῦ Κράτητος καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων ἐπιστρεφομένη, οὐ πλούτου, οὐκ εὐγενείας, οὐ κάλλους· ἀλλὰ πάντα ἦν Κράτης αὐτῇ. καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν αὑτὴν, εἰ μὴ τούτῳ δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν γονέων αὐτῆς ἀποτρέψαι τὴν παῖδα, πάντα ἐποίει. καὶ τέλος μὴ πείθων, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἀντικρυς αὐτῆς, ἔφη, Ὁ μὲν νυμφίος, οὗτος· ἡ δὲ κτῆσις, αὕτη· πρὸς ταῦτα βουλεύου. οὐδὲ γὰρ ἔσεσθαι κοινωνὸς, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων γενηθείης. εἵλετο ἡ παῖς, καὶ ταὐτὸν ἀναλαβοῦσα σχῆμα συμπεριῄει τἀνδρὶ, καὶ ἐν τῷ φανερῷ

συνεγίνετο, καὶ ἐπὶ τὰ δεῖπνα ἀπήει. ὅτε καὶ πρὸς Λυσί-
μαχον εἰς τὸ συμπόσιον ἦλθεν· ἔνθα Θεόδωρον τὸν ἐπί-
κλην Ἄθεον ἐπήλεγξε, σόφισμα προτείνασα τοιοῦτον, ὃ
ποιῶν Θεόδωρος, οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρ-
χία ποιοῦσα τοῦτο, ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ τύ-
πτων ἑαυτὸν, οὐκ ἀδικεῖ· οὐδ' ἄρα Ἱππαρχία Θεόδωρον
τύπτουσα, ἀδικεῖ. ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν
ἀνέσυρε δ' αὐτῆς θοιμάτιον. ἀλλ' οὔτε κατεπλάγη Ἱππαρ-
χία, οὔτε διεταράχθη ὡς γυνή. ἀλλὰ καὶ εἰπόντος αὐτοῦ
αὐτῇ,

Τίς ἡ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας;

Ἐγὼ, φησὶν, εἰμὶ Θεόδωρε. ἀλλὰ μὴ κακῶς σοι δοκῶ βε-
βουλεῦσθαι περὶ αὐτῆς, εἰ τὸν χρόνον ὃν ἔμελλον ἱστοῖς
προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην; 
ταῦτα μὲν καὶ ἄλλα μυρία τῆς φιλοσόφου. φέρεται δὲ τοῦ
Κράτητος βιβλίον Ἐπιστολαὶ, ἐν αἷς ἄριστα φιλοσοφεῖ, τὴν
λέξιν ἔστιν ὅτε παραπλησίως Πλάτωνι. γέγραφε καὶ
τραγῳδίας, ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆ-
ρα. οἷόν ἐστι κἀκεῖνο,

> Οὐχ εἷς πάτρας μοι πύργος, οὐ μία στέγη.
> Πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
> Ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

ἐτελεύτησε δὲ γηραιὸς, καὶ ἐτάφη ἐν Βοιωτίᾳ.

## ΜΕΝΙΠΠΟΣ.

Μένιππος, καὶ οὗτος Κυνικὸς, τὸ ἀνέκαθεν ἦν Φοί-
νιξ, δοῦλος, ὥς φησιν Ἀχαϊκὸς ἐν ἠθικοῖς. Διο-
κλῆς δὲ, καὶ τὸν δεσπότην αὐτοῦ Ποντικὸν εἶναι, καὶ Βάτωνα
καλεῖσθαι. ἀτηρότερον δὲ αἰτῶν ὑπὸ φιλαργυρίας, ἴσχυ-
σε Θηβαῖος γενέσθαι. φέρει μὲν οὖν σπουδαῖον οὐδέν·
τὰ δὲ βιβλία αὐτοῦ πολλοῦ καταγέλωτος γέμει, καί τι ἴσον

ις Μελεάγρου τοῦ κατ' αὐτὸν γενομένου. φησὶ δ' Ἕρμιππος ἡμεροδανειστὴν αὐτὸν γεγονέναι καὶ καλεῖσθαι. καὶ ὁ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐξενεχυριάζειν· ὥστε πάμπλειστα χρήματα ἀθροίζειν. τέλος δ' ἐπιβουλευθέντα, πάντων στερηθῆναι, καὶ ὑπ' ἀθυμίας βρόχῳ τὸν βίον μεταλλάξαι. καὶ ἡμεῖς ἐπαίξαμεν εἰς αὐτόν,

Φοίνικα τὸ γένος, ἀλλὰ Κρητικὸν κύνα ἡμεροδανειστὴν,
(Τοῦτο γὰρ ἐπεκλήζετο) οἶσθα Μένιππον ἴσως, Θήβησιν
Οὗτος ὡς διωρύχθη ποτὲ, καὶ πάντ' ἀπέβαλεν·
Εἰ δ' ἐνόει φύσιν κυνὸς, αὑτὸν ἂν ἐκρέμασεν.

101 δ' τὰ βιβλία αὐτοῦ, οὐκ αὐτοῦ εἶναι, ἀλλὰ Διονυσίου καὶ Ζωπύρου τῶν Κολοφωνίων, οἳ τοῦ παίζειν ἕνεκα συγγράφοντες, ἐδίδοσαν αὐτῷ ὡς εὖ δυναμένῳ διαθέσθαι. γεγόνασι δὲ Μένιπποι ἕξ· πρῶτος, ὁ γράψας τὰ περὶ Λυδῶν, καὶ Ξάνθον ἐπιτεμόμενος· δεύτερος, αὐτὸς οὗτος· τρίτος, Στρατονικος σοφιστὴς, Κάρ τὸ ἀνέκαθεν. τέταρτος, ἀνδριαντοποιός· πέμπτος καὶ ἕκτος, ζωγράφοι· μέμνηται δ' ἀμφοτέρων Ἀπολλόδωρος. Τὰ δ' οὖν τοῦ Κυνικοῦ βιβλία ἐστὶ δεκατρία, Νεκυΐα, Διαθῆκαι, Ἐπιστολαὶ κεκομψευμέναι ἀπὸ τοῦ τῶν θεῶν προσώπου, Πρὸς τοὺς φυσικοὺς καὶ μαθηματικοὺς καὶ γραμματικοὺς, καὶ γονὰς Ἐπικούρου, καὶ τὰς θρησκευομένας ὑπ' αὐτῶν εἰκάδας, καὶ τἄλλα.

## ΜΕΝΕΔΗΜΟΣ.

Μενέδημος, Κωλώτου τοῦ Λαμψακηνοῦ μαθητής. οὗτος (καθά φησιν Ἱππόβοτος) εἰς τοσοῦτον τερατείας ἤλασεν, ὥστε ἐριννύος ἀναλαβὼν σχῆμα περιῄει, λέγων ἐπίσκοπος ἀφῖχθαι ἐξ ᾅδου τῶν ἁμαρτανομένων, ὅπως πάλιν κατιὼν ταῦτα ἀπαγγέλλοι τοῖς ἐκεῖ δαίμοσιν. ἦν δ' αὐτῷ ἡ ἐσθὴς αὕτη· χιτὼν φαιὸς

ποδήρης, περὶ αὐτῷ ζώνη φοινικῆ. πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς, ἔχων ἐνυφασμένα τὰ δώδεκα στοιχεῖα. ἐμβάται τραγικοί, πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μειλίνη.

καὶ οὗτοι μὲν οἱ βίοι τῶν κυνικῶν ἑκάστου. προσυποτάξομεν δὲ καὶ τὰ κοινῇ ἀρέσκοντα αὐτοῖς, αἵρεσιν καὶ ταύτην εἶναι ἐγκρίνοντες τὴν φιλοσοφίαν, οὐ (καθά φασι τινὲς) ἔνστασιν βίου. ἀρέσκει οὖν αὐτοῖς τὸν λογικὸν καὶ φυσικὸν τόπον περιαιρεῖν, ἐμφερῶς Ἀρίστωνι τῷ Χίῳ· μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ. καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τοῦτον φάσκων λέγειν, Δεῖ ζητεῖν

Ὅ,ττι τοι ἐν Μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα. γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης τοὺς σώφρονας γενομένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλλοτρίοις. περιαιροῦσι δὲ καὶ γεωμετρίαν, καὶ μουσικὴν, καὶ πάντα τὰ τοιαῦτα. ὁ γοῦν Διογένης πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ ὡροσκόπιον, Χρήσιμον, ἔφη, τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δείπνου. πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ μουσικὴν, ἔφη,

Γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος, οὐ ψαλμοῖσι καὶ τερετίσμασιν.

ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν, (ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ) ὁμοίως τοῖς Στωϊκοῖς· ἐπεὶ καὶ κοινωνία τις ταῖς δύο ταύταις αἱρέσεσίν ἐστιν. ὅθεν καὶ τὸν κυνισμὸν εἰρήκασι σύντομον ἐπ' ἀρετὴν ὁδόν. καὶ οὕτως ἐβίω καὶ Ζήνων ὁ Κιτιεύς. ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιοῦν, αὐτάρκεσι χρωμένοις σιτίοις, καὶ τρίβωσι μόνοις, πλούτου καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν. ἔνιοί τε γοῦν καὶ βοτάναις καὶ παντάπασιν ὕδατι χρῶνται ψυχρῷ, σκέπαις τε ταῖς τυχούσαις κα

θοις, καθάπερ Διογένης, ὃς ἔφασκε θεῶν μὲν ἴδιον εἶναι
ιδενὸς δεῖσθαι· τῶν δὲ θεοῖς ὁμοίων, τὸ ὀλίγων χρῄζειν.
έσκει δὲ αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθά
σιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ καὶ ἀναπόβλητον ὑπάρ-
χειν· ἀξιέραστόν τε τὸν σοφὸν, καὶ ἀναμάρτητον, καὶ φίλον
ὁμοίῳ, τύχῃ τε μηδὲν ἐπιτρέπειν. Τὰ δὲ μεταξὺ
ετῆς καὶ κακίας, ἀδιάφορα λέγουσιν, ὁμοίως Ἀρί-
νι τῷ Χίῳ. καὶ οὗτοι μὲν οἱ κυνικοί. μετιτέον δὲ
τὶ τοὺς Στωϊκοὺς, ὧν ἦρξε Ζήνων, μαθητὴς γενόμενος
ράτητος.

# ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ζ' τ

## ΖΗΝΩΝ.

ΖΗΝΩΝ, Μνασέου ἢ Δημέου, Κιτιεὺς, ἀπὸ Κύπρου πολίσματος Ἑλληνικοῦ, Φοίνικας ἐποίκους ἐσχηκότος. τὸν τράχηλον ἐπὶ θάτερα νενευκὼς ἦν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ περὶ βίων. καὶ Ἀπολλώνιος δέ φησιν ὁ Τύριος, ὅτι ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρως. ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα, καθά φησι Χρύσιππος ἐν πρώτῳ παροιμιῶν. παχύκνημός τε, καὶ ἀπαγής, καὶ ἀσθενής. διὸ καί φη Περσαῖος ἐν ὑπομνήμασι συμποτικοῖς τὰ πλεῖστα αὐτ δεῖπνα παραιτεῖσθαι. ἔχαιρε δὲ (φασὶ) σύκοις χλωρο καὶ ἡλιοκαΐαις. διήκουσε δὲ (καθὰ προείρηται) Κρτητος· εἶτα καὶ Στίλπωνος ἀκοῦσαι φασὶν αὐτὸν καὶ Ξενκράτους ἔτη δέκα, ὡς Τιμοκράτης ἐν τῷ Δίωνι, ἀλλὰ Πολέμωνος. Ἑκάτων δέ φησι καὶ Ἀπολλώνιος ὁ Τιριος ἐν πρώτῳ περὶ Ζήνωνος, χρηστηριαζομένου αὐτοῦ τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συχρωτίζοιτο τοῖς νεκροῖς. ὅθεν ξυνέντα, τὰ τῶν ἀρχαίων ἀνγινώσκειν. τῷ γοῦν Κράτητι παρέβαλε τοῦτον τὸν τρόπ πορφύραν ἐμπεπορευμένος ἀπὸ τῆς Φοινίκης, πρὸς τ

ειραιεῖ ἀναβάντα γνῶσιν. ἀνελθὼν δ' εἰς τὰς Ἀθήνας ἤδη
ιακοντούτης ἐκάθισε παρά τινα βιβλιοπώλην. ἀναγι-
ώσκοντος δὲ ἐκείνου τὸ δεύτερον τῶν Ξενοφῶντος Ἀπομνη-
ονευμάτων, ἡσθεὶς ἐπύθετο ποῦ διατρίβοιεν οἱ τοιοῦτοι ἄν-
ρες. εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης
ίξας αὐτὸν, φησὶ, Τούτῳ παρακολούθησον. ἐντεῦ-
ν ἤκουε τοῦ Κράτητος, ἄλλως μὲν εὔτονος πρὸς φιλοσο-
αν, αἰδήμων δ' ὡς πρὸς τὴν Κυνικὴν ἀναισχυντίαν. ὅ-
εν ὁ Κράτης, βουλόμενος αὐτοῦ καὶ τοῦτο θεραπεῦσαι, δί-
ωσι χύτραν φακῆς διὰ τοῦ Κεραμεικοῦ φέρειν. ἐπεὶ δ' εἶδεν
ὐτὸν αἰδούμενον καὶ παρακαλύπτοντα, παίσας τῇ βακτη-
ᾳ καταρρήγνυσι τὴν χύτραν. φεύγοντος δὲ αὐτοῦ, καὶ τῆς
ακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης, Τί φεύ-
ς φοινικίδιον; οὐδὲν δεινὸν πέπονθας. ἕως μὲν οὖν τινὸς
ουε τοῦ Κράτητος. ὅτε καὶ τὴν πολιτείαν αὐτοῦ γρά-
αντος, τινὲς ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς
ὐτὴν γεγραφέναι. γέγραφε δὲ πρὸς τῇ πολιτείᾳ καὶ τά-
· Περὶ τοῦ κατὰ φύσιν βίου, Περὶ ὁρμῆς ἢ Περὶ ἀνθρώ-
ου φύσεως, Περὶ παθῶν, Περὶ τοῦ καθήκοντος, Περὶ νό-
ου, Περὶ τῆς Ἑλληνικῆς παιδείας, Περὶ ὄψεως, Περὶ τοῦ
ου, Περὶ σημείων, Πυθαγορικὰ, Καθολικὰ, Περὶ λέξε-
ν, Προβλημάτων Ὁμηρικῶν πέντε, Περὶ ποιητικῆς ἀκροά-
εως. ἔστι δ' αὐτοῦ, καὶ Τεχνικαὶ λύσεις, καὶ Ἔλεγχοι δύο, Ἀπο-
νημονεύματα, Κράτητος ἠθικά. καὶ τάδε μὲν τὰ βι-
βλία. τελευταῖον δ' ἀπέστη. καὶ τῶν προειρημένων ἤκουσεν
ως ἐτῶν εἴκοσιν· ἵνα καί φασιν αὐτὸν εἰπεῖν, Νῦν εὐπλόη-
α, ὅτε νεναυάγηκα. οἱ δ' ἐπὶ τοῦ Κράτητος τοῦτ' αὐτὸν εἰ-
πεῖν. ἄλλοι δὲ, διατρίβοντα ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τὴν ναυ-
αγίαν, καὶ εἰπεῖν, Εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς
φιλοσοφίᾳ. ἔνιοι δὲ, διαθέμενον Ἀθήνησι τὰ φορτία, οὕτω
τραπῆναι πρὸς φιλοσοφίαν. ἀνακάμπτων δ' ἐν τῇ ποικίλῃ
στοᾷ τῇ καὶ Πεισιανακτείῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς

Πολυγνώτου, ποικίλῃ, διετίθετο τοὺς λόγους, βουλόμενος καὶ τὸ χωρίον ἀπερίστατον ποιῆσαι. ἐπὶ γὰρ τῶν τριάκοντα, τῶν πολιτῶν πρὸς τοὺς χιλίους τετρακοσίους ἀνῄρηντο ἐν αὐτῷ. προσῄεσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ, καὶ διὰ τοῦτο Στωικοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι, καθά φησι καὶ Ἐπίκουρος ἐν ἐπιστολαῖς. καὶ πρότερόν γε Στωϊκοὶ ἐκαλοῦντο οἱ διατρίβοντες ἐν αὐτῇ ποιηταί, καθά φησι καὶ Ἐρατοσθένης ἐν ὀγδόῃ περὶ τῆς ἀρχαίας κωμῳδίας· οἳ καὶ τὸν λόγον ἐπὶ πλεῖον ηὔξησαν. ἐτίμων δὴ οὖν Ἀθηναῖοι σφόδρα τὸν Ζήνωνα οὕτως, ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι, καὶ χρυσῷ στεφάνῳ τιμῆσαι, καὶ χαλκῇ εἰκόνι. τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγουμένους τὴν τἀνδρὸς εἰκόνα. ἀντεποιοῦντο δ' αὐτοῦ καὶ οἱ ἐν Σιδῶνι Κιτιεῖς. ἀπεδέχετο αὐτὸν καὶ Ἀντίγονος, καὶ εἴ ποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ· πολλά τε παρεκάλει ἀφικέσθαι ὡς αὐτόν. ὁ δὲ τοῦτο μὲν παρῃτήσατο, Περσαῖον δὲ ἕνα τῶν γνωρίμων ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ γένος, καὶ ἤκμαζε κατὰ τὴν τριακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος. ἡ δὲ ἐπιστολὴ Ἀντιγόνου τοῦτον εἶχε τὸν τρόπον, καθὰ καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν τοῖς περὶ Ζήνωνος φησί,

Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν.

Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τοῦ σοῦ βίου, λόγου δὲ καὶ παιδείας καθυστερεῖν, καὶ τῆς τελείας εὐδαιμονίας ἣν σὺ κέκτησαι. διόπερ ἔκρινα προσφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμέ, πεπεισμένος σε μὴ ἀντερεῖν πρὸς τὸ ἀξιούμενον. σὺ οὖν πειράθητι ἐκ παντὸς τρόπου συμμῖξαί μοι, διειληφὼς τοῦτο, διότι οὐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. ὁ γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ κατ' ἀρετήν, φανερός ἐστι καὶ τοὺς ὑποτεταγμένους

παρα-

παρασκευάζων πρὸς ἀνδρίαν. οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ τὸ πολὺ γίγνεσθαι καὶ τοὺς ὑποταγμένους.

Καὶ ὁ Ζήνων ἀντιγράφει ὧδε,

Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν.

Ἀποδέχομαί σου τὴν φιλομάθειαν, καθ' ὅσον τῆς ἀληθοῦς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ' οὐχὶ τῆς δημώδους καὶ εἰς διαστροφὴν ἠθῶν, ἀντέχῃ παιδείας, ὁ φιλοσοφίας ὀρεγόμενος. ἐκκλίνων δὲ τὴν πολυθρύλητον ἡδονήν, ἥ τινῶν θηλύνει νέων ψυχάς, φανερός ἐστιν οὐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων, ἀλλὰ καὶ προαιρέσει. φύσις δὲ εὐγενὴς μετρίαν ἄσκησιν προσλαβοῦσα, ἔτι τε τὸν ἀφθόνως διδάξοντα, ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς. ἐγὼ δὲ συνέχομαι σώματι ἀσθενεῖ διὰ γῆρας. ἐτῶν γὰρ εἰμὶ ὀγδοήκοντα) διόπερ οὐ δύναμαί σοι συμμίξαι. ἀποστέλλω δέ σοι τινὰς τῶν ἐμαυτοῦ συσχολαστῶν, οἳ τοῖς μὲν κατὰ ψυχὴν οὐκ ἀπολείπονται ἐμοῦ· τοῖς δὲ κατὰ σῶμα, προτεροῦσιν. οἷς συνὼν, οὐδενὸς καθυστερήσεις τῶν πρὸς τὴν τελείαν εὐδαιμονίαν ἡκόντων.

Ἔστειλε δὲ Περσαῖον καὶ Φιλωνίδην τὸν Θηβαῖον, ὧν ἀμφοτέρων Ἐπίκουρος μνημονεύει, ὡς συνόντων Ἀντιγόνῳ, ἐν τῇ πρὸς Ἀριστόβουλον τὸν ἀδελφὸν ἐπιστολῇ.

Ἔδοξε δέ μοι καὶ τὸ ψήφισμα τὸ περὶ αὐτοῦ τῶν Ἀθηναίων ὑπογράψαι. καὶ ἔχει ὧδε.

Ψήφισμα.

Ἐπ' Ἀρρενίδου ἄρχοντος, ἐπὶ τῆς Ἀκαμαντίδος, πέμπτης πρυτανείας, Μαιμακτηριῶνος δεκάτῃ ὑστέρᾳ, τρίτῃ καὶ εἰκοστῇ τῆς πρυτανείας, ἐκκλησία κυρία τῶν προέδρων ἐπεψήφισεν, Ἵππων, Κρατιστοτέλης, Ξυμπετέων, καὶ οἱ συμπρόεδροι, Θράσων Θράσωνος Ἀνακαιεὺς εἶπεν· ἐπειδὴ Ζήνων Μνασέου, Κιτιεὺς, ἔτη πολλὰ κατὰ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος, ἔν τε τοῖς λοιποῖς ἀνὴρ ἀ-

γαθὸς ὢν διετέλεσε, καὶ τοὺς εἰς σύστασιν αὐτῷ τῶν νέω
πορευομένους παρακαλῶν, ἐπ᾽ ἀρετὴν καὶ σωφροσύνην
παρώρμα, πρὸς τὰ βέλτιστα παράδειγμα τὸν ἴδιον βίο
ἐκθεὶς ἅπασιν, ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετ
τύχῃ τῇ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Ζήνω
να Μνασέου Κιτιέα, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κα
τὸν νόμον, ἀρετῆς ἕνεκα καὶ σωφροσύνης· οἰκοδομῆσαι δ
αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ. τῆς δὲ ποι
σεως τοῦ στεφάνου, καὶ τῆς οἰκοδομῆς τοῦ τάφου, χειροτονῆσα
τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἄνδρας ἐξ Ἀ
θηναίων. ἐγγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τοῦ
δήμου, ἐν στήλαις δύο. καὶ ἐξεῖναι αὐτῷ θεῖναι τὴν μὲν, ἐ
Ἀκαδημίᾳ· τὴν δὲ, ἐν Λυκείῳ. τὸ δὲ ἀνάλωμα τὸ εἰς τὰ
στήλας γινόμενον μερίσαι τὸν ἐπὶ τῆς διοικήσεως· ὅπως ἅ
παντες ἴδωσιν ὅτι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τοὺς ἀγαθοὺ
καὶ ζῶντας τιμᾷ καὶ τελευτήσαντας. ἐπὶ δὲ τὴν οἰκο
δομὴν κεχειροτόνηνται Θεάσων Ἀνακαιεὺς, Φιλοκλῆ
Πειραιεὺς, Φαῖδρος Ἀναφλύστιος, Μέλλων Ἀχαρνεὺς, Μ
κυθος Συμπαλληττεὺς, Δίων Παιανιεύς. καὶ τὸ ψήφισμ
μὲν ὧδε ἔχει. φησὶ δ᾽ Ἀντίγονος ὁ Καρύστιος οὐκ ἀρνεῖσ
αὐτὸν εἶναι Κιτιέα. τῶν γὰρ εἰς τὴν ἐπισκευὴν τοῦ λουτρῶ
νος συμβαλλομένων εἷς ὢν, καὶ ἀναγραφόμενος ἐν τῇ στή
Ζήνωνος τοῦ φιλοσόφου, ἠξίωσε καὶ τὸ Κιτιεὺς προστεθῆ
ναι. ποιήσας δέ ποτε κοῖλον ἐπίθημα τῇ ληκύθῳ, περι
φερε νόμισμα, λύσιν ἑτοίμην τῶν ἀναγκαίων ἵν᾽ ἔχοι Κρ
της ὁ διδάσκαλος. φασὶ δ᾽ αὐτὸν ὑπὲρ χίλια τάλαντ
ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα, καὶ ταῦτα δανείζειν να
τικῶς. ἤσθιε δὲ ἀρτίδια, καὶ μέλι, καὶ ὀλίγον εὐώδο
οἰναρίου ἔπινε. παιδαρίοις τε ἐχρῆτο σπανίως, ἅπαξ
δίς που παιδισκαρίῳ τινὶ, ἵνα μὴ δοκοίη μισογύνης εἶναι.
σύν τε Περσαίῳ τὴν αὐτὴν οἰκίαν ᾤκει. καὶ αὐτοῦ αὐλη
τρίδιον εἰσαγαγόντος πρὸς αὐτὴν, σπάσας πρὸς τὸν Πε

ῷον αὐτὸ ἀπήγαγεν. ἦν τε (φασὶν) ἀσυμπεριφορος·
ς πολλάκις Ἀντίγονον τὸν βασιλέα ἐπικωμάσαι αὐτῷ,
καὶ περὶ Ἀριστοκλέα τὸν κιθαρῳδὸν ἅμα αὐτῷ ἐλθεῖν
ἐπὶ κῶμον, εἶτα μέντοι ὑποδῦναι. ἐξέκλινε δέ φησι καὶ
πολυδημῶδες, ὡς ἐπ' ἄκρου καθίζεσθαι τοῦ βάθρου, κερ-
δαίνοντα τὸ γοῦν ἕτερον μέρος τῆς ἐνοχλήσεως. οὐ μὴν
δὲ μετὰ πλειόνων δύο ἢ τριῶν περιεπάτει. ἐνίοις δὲ καὶ
χαλκὸν εἰσέπραττε τοῖς περιϊσταμένοις τὸ διδόναι μὴ ἐνο-
χλεῖν, καθά φησι Κλεάνθης ἐν τῷ περὶ χαλκοῦ. πλειό-
νων τε περιστάντων αὐτὸν, δείξας ἐν τῇ στοᾷ κατ' ἄκρου
ξύλινον περιφερὲς τοῦ βωμοῦ, ἔφη, Τοῦτό ποτε ἐν μέσῳ
ἔκειτο· διὰ δὲ τὸ ἐμποδίζειν, ἰδίᾳ ἐτέθη. καὶ ὑμεῖς μὲν
ἐκ τοῦ μέσου βαστάσαντες αὑτοὺς, ἧττον ἡμῖν ἐνοχλήσε-
τε. Δημοχάρους δὲ τοῦ Λάχητος ἀσπαζομένου αὐ-
τὸν, καὶ φάσκοντος λέγειν καὶ γράφειν ὧν ἂν χρείαν ἔχῃ
πρὸς Ἀντίγονον, ὡς ἐκείνου πάντα παρέξοντος, ἀκούσας
οὐκέτ' αὐτῷ συνδιέτριψε. λέγεται δὲ καὶ μετὰ τὴν τελευ-
τὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπο-
λωλεκώς. ὅθεν καὶ διὰ Θράσωνος πρεσβευτοῦ παρὰ τῶν
Ἀθηνῶν ᾔτησεν αὐτῷ τὴν ἐν Κεραμεικῷ ταφήν. ἐρω-
τηθεὶς δὲ διὰ τί θαυμάζει αὐτὸν, Ὅτι, ἔφη, πολλῶν καὶ με-
γάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ, οὐδέποτε ἐχαυνώθη,
οὐδὲ ταπεινὸς ὤφθη. ἦν δὲ καὶ ζητητικὸς, καὶ περὶ
πάντων ἀκριβολογούμενος. ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς Σίλ-
λοις φησὶν οὕτω,

Καὶ Φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
Πάντων ἱμείρουσαν, ὁ δ' ἔρρει γύργαθος αὐτοῦ
Μικρὸς ἐὼν, νοῦν δ' εἶχεν ἐλάσσονα σκινδαψοῖο.

Ἐπιμελῶς δὲ καὶ πρὸς Φίλωνα τὸν διαλεκτικὸν διεκρί-
νετο, καὶ συνεσχόλαζεν αὐτῷ. ὅθεν καὶ θαυμασθῆναι
ὑπὸ Ζήνωνος τοῦ νεωτέρου, οὐχ ἧττον Διοδώρου τοῦ διδα-
σκάλου αὐτοῦ. ἦσαν δὲ περὶ αὐτὸν καὶ γυμνορρύπαροι τινὲς,

ὥς φησι καὶ ὁ Τίμων,

Ὄφρα πενεστάων σύναγεν νέφος, οἳ περὶ πάντων
Πτωχότατοί τ' ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν.

αὐτὸν δὲ στυγνόν τε εἶναι καὶ πικρὸν, καὶ τὸ πρόσωπον συνεσπασμένον. ἦν δ' εὐτελής τε σφόδρα, καὶ βαρβαρικῆς ἐχόμενος μικρολογίας, προσχήματι οἰκονομίας. εἰ δέ τινα ἐπικόπτοι, περιεσταλμένως, καὶ οὐκ ἄδην, ἀλλὰ πόρρωθεν. λέγω δὲ οἷον ἐπὶ τοῦ καλλωπιζομένου ποτὲ ἔφη. ὀχέτιον γάρ τι ὀκνηρῶς αὐτοῦ ὑπερβαίνοντος, Δικαίως, εἶπεν, ὑφορᾷ τὸν πηλόν· οὐ γὰρ ἔστιν ἐν αὐτῷ κατοπτρίσασθαι. ὡς δὲ Κυνικός τις οὐ φήσας ἔλαιον ἔχειν ἐν τῇ ληκύθῳ, προσῄτησεν αὐτὸν, οὐκ ἔφη δώσειν. ἀπελθόντα μέντοι ἐκέλευε σκέψασθαι ὁπότερος εἴη ἀναιδέστερος. ἐρωτικῶς δὲ διακείμενος Χρεμωνίδου, παρακαθιζόντων αὐτοῦ τε καὶ Κλεάνθους, ἀνέστη. θαυμάζοντος δὲ τοῦ Κλεάνθους, ἔφη, Καὶ τῶν ἰατρῶν ἀκούω τῶν ἀγαθῶν, κράτιστον εἶναι φάρμακον πρὸς τὰ φλεγμαίνοντα ἡσυχίαν. δυοῖν δ' ὑπερανακειμένοιν ἐν πότῳ, καὶ τοῦ ὑφ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδὶ, αὐτὸς ἐκεῖνον τῷ γόνατι. ἐπιστραφέντος δὲ, Τί οὖν οἴει τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ; πρὸς δὲ τὸν φιλόπαιδα, οὔτε τοὺς διδασκάλους ἔφη φρένας ἔχειν, ἀεὶ διατρίβοντας ἐν παιδαρίοις, οὔτε ἐκείνους. ἔφασκε δὲ τοὺς μὲν τῶν ἀσολοίκων λόγους, καὶ μὴ ἀπηρτισμένους, ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ· εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους, καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας. τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένοις καὶ σολοίκως, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις. Ἀρίστωνος δὲ τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως, Ἀδύνατον εἰπεῖν, εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν. ὅθεν αὐτὸν καὶ λάλον ἀπεκάλει, βραχυλόγος ὤν. πρὸς δὲ τὸν ὀψοφάγον, μηδὲ

ῖς συμβιωταῖς καταλιπόντα, παρατεθέντος ποτὲ μεγά-
ου ἰχθύος, ἄρας οἷός τ' ἦν κατεσθίειν. ἐμβλέψαντι δὲ, Τί
ν, ἔφη, τοὺς συμβιωτὰς οἴει πάσχειν καθ' ἡμέραν, εἰ σὺ μὴ
ύνασαι ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν; μειρακίου δὲ
περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά τι,
ροσήγαγε πρὸς κάτοπτρον, καὶ ἐκέλευσεν ἐμβλέψαι. ἔ-
ειτ' ἠρώτησεν εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαῦτα
ητήματα. πρὸς δὲ τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντι
θένης οὐκ ἀρέσκει, χρείαν Σοφοκλέους προσενεγκάμενος,
ρώτησεν εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ. τοῦ δ' οὐκ εἰδέ-
αι φήσαντος, Εἶτ' οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν ἦν εἰρη-
ένον ὑπ' Ἀντισθένους, τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύ-
ν· εἰ δέ τι καλὸν, οὐδ' ἐπιβαλλόμενος κατέχειν; εἰπόν-
ς δέ τινος ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσό
ων, Λέγεις, εἶπε, τἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐ-
ῶν βραχείας εἶναι, εἰ δυνατόν. λέγοντος δέ τινος αὐτῷ
ερὶ Πολέμωνος, ὡς ἄλλα προθέμενος, ἄλλα λέγει, σκυ
ρωπάσας ἔφη, Πόσου γὰρ ἠγάπα τὰ διδόμενα; δεῖν δὲ ἔ-
η τὸν διαλεγόμενον, ὥσπερ τοὺς ὑποκριτὰς, τὴν μὲν φω-
ὴ καὶ τὴν δύναμιν μεγάλην ἔχειν. τὸ μέντοι στόμα
ὴ διέλκειν· ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνα-
ε δέ. τοῖς εὖ λεγομένοις οὐκ ἔφη δεῖν καταλείπεσθαι τό-
ον, ὥσπερ τοῖς ἀγαθοῖς τεχνίταις εἰς τὸ θεάσασθαι. τοὐ-
αντίον δὲ τὸν ἀκούοντα, οὕτω πρὸς τοῖς λεγομένοις γίνεσθαι
ὥστε μὴ λαμβάνειν χρόνον εἰς τὴν ἐπισημείωσιν. νεα-
ίσκου πολλὰ λαλοῦντος ἔφη, Τὰ ὦτά σου εἰς τὴν γλῶτ-
αν συνερρύηκε. πρὸς τὸν καλὸν, εἰπόντα ὅτι οὐ δοκεῖ
ὐτῷ ἐρασθήσεσθαι ὁ σοφὸς, Οὐδὲν, ἔφη, ὑμῶν ἀθλιώτε-
ον ἔσεσθαι τῶν καλῶν. ἔλεγε δὲ καὶ τῶν φιλοσόφων τοὺς
λείστους, τὰ μὲν πολλὰ ἀσόφους εἶναι, τὰ δὲ μικρὰ καὶ τυχη-
ὰ, ἀμαθεῖς. καὶ προεφέρετο τὰ τοῦ Καφισίου. ὃς, ἐπι-
βαλλομένου τινὸς τῶν μαθητῶν μεγάλα φυσᾶν, πατάξας

εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ, τὸ εὖ κείμενον εἴη· ἀλλ᾽ ἐν τῷ εὖ, τὸ μέγα. νεανίσκου δέ τινος θρασύτερον διαλεγομένου, Οὐκ εἴποιμι, ἔφη, μειράκιον, ἃ ἐπέρχεταί μοι. Ῥοδίου δέ τινος καλοῦ καὶ πλουσίου, ἄλλως δὲ μηδὲν προσκειμένου αὐτῷ, μὴ βουλόμενος ἀνέχεσθαι, πρῶτον μὲν ἐπὶ τὰ κεκομμένα τῶν βάθρων ἐκάθιζεν αὐτόν, ἵνα μολύνῃ τὴν χλανίδα· ἔπειτα εἰς τὸν τῶν πτωχῶν τόπον, ὥστε συνανατρίβεσθαι τοῖς ῥάκεσιν αὐτῶν. καὶ τέλος ἀπῆλθεν ὁ νεανίσκος. πάντων ἔλεγεν ἀπρεπέστερον εἶναι τὸν τῦφον, καὶ μάλιστα ἐπὶ τῶν νέων. μὴ τὰς φωνὰς καὶ τὰς λέξεις ἀπομνημονεύειν, ἀλλὰ περὶ τὴν διάθεσιν τῆς χρείας τὸν νοῦν ἀσχολεῖσθαι, μὴ ὥσπερ ἕψησιν τινὰ ἢ σκευασίαν ἀναλαμβάνοντας. δεῖν τε ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι, καὶ πορείᾳ, καὶ σχήματι, καὶ περιβολῇ. συνεχές τε προεφέρετο τοὺς ἐπὶ τοῦ Καπανέως Εὐριπίδου στίχους, ὅτι

Βίος μὲν ἦν αὐτῷ, ἥκιστα δ᾽ ὄλβῳ γαῦρος ἦν,
Φρόνημα δ᾽ οὔτι μεῖζον εἶχεν ἢ πένης ἀνήρ.

ἔλεγε δὲ μηδὲν εἶναι τῆς οἰήσεως ἀλλοτριώτερον πρὸς κατάληψιν τῶν ἐπιστημῶν· μηδενός τε ἡμᾶς οὕτως εἶναι ἐνδεεῖς ὡς χρόνου. ἐρωτηθεὶς τίς ἐστι φίλος, Ἄλλος ἐγώ. δοῦλον ἐπὶ κλοπῇ (φασὶν) ἐμαστίγου· τοῦ δ᾽ εἰπόντος, Εἵμαρτό μοι κλέψαι· Καὶ δαρῆναι, ἔφη. τὸ κάλλος εἶπε τῆς φωνῆς ἄνθος εἶναι. οἱ δέ, τοῦ κάλλους τὴν φωνήν. τῶν γνωρίμου τινὸς παιδάριον μεμωλωπισμένον θεασάμενος, πρὸς αὐτόν, Ὁρῶ σου, ἔφη, τοῦ θυμοῦ τὰ ἴχνη. πρὸς τὸν κεχρισμένον τῷ μύρῳ, Τίς ἐστιν, ἔφη, ὁ γυναικὸς ὄζων; Διονυσίου δὲ τοῦ Μεταθεμένου εἰπόντος αὐτῷ, διὰ τί αὐτὸν μόνον οὐ διορθοῖ, ἔφη, Οὐ γάρ σοι πιστεύω. πρὸς τὸ φλυαροῦν μειράκιον, Διὰ τοῦτο, εἶπε, δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν. ἐν συμποσίῳ κατακείμενος σιγῇ, τὴν αἰτίαν ἠρωτήθη· ἔφη οὖν τῷ

γκαλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα ὅτι παρῆν τις σιωπᾶν ἐπιστάμενος. ἦσαν δὲ οἱ ἐρωτήσαντες παρὰ Πτολεμαίου πρέσβεις ἀφικόμενοι, καὶ βουλόμενοι μαθεῖν τί εἴποιεν περὶ αὐτοῦ πρὸς τὸν βασιλέα. ἐρωτηθεὶς πῶς ἔχει πρὸς λοιδορίαν, Καθάπερ, εἶπεν, εἰ πρεσβευτὴς ἀναπόκριτος ἀποστέλλοιτο. φησὶ δ᾽ Ἀπολλώνιος ὁ Τύριος, ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἰπεῖν, Ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν, ἕλκε τοῦτον. εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι. συνδιέτριψε δὲ καὶ Διοδώρῳ, καθά φησιν Ἱππόβοτος· παρ᾽ ᾧ καὶ τὰ διαλεκτικὰ ἐξεπόνησεν. ἤδη δὲ προκόπτων εἰσῄει καὶ πρὸς Πολέμωνα ὑπ᾽ ἀτυφίας. ὥστε φασὶν λέγειν ἐκεῖνον, Οὐ λανθάνεις, ὦ Ζήνων, ταῖς κηπαίαις παρεισρέων θύραις, καὶ τὰ δόγματα κλέπτων φοινικικῶς μεταμφιεννύς; καὶ πρὸς τὸν δείξαντα δὲ αὐτῷ διαλεκτικὸν ἐν τῷ θερίζοντι λόγῳ ἑπτὰ διαλεκτικὰς ἰδέας, πυθέσθαι πόσας εἰσπράττεται μισθοὺς· ἀκούσαντα δὲ ἑκατόν, διακοσίας αὐτῷ δοῦναι. τοσοῦτον ἤσκει φιλομάθειαν. φασὶ δὲ καὶ πρῶτον καθῆκον ὠνομακέναι, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι· τούς τε Ἡσιόδου στίχους μεταγράφειν οὕτω,

Κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται.
Ἐσθλὸς δ᾽ αὖ κἀκεῖνος ὃς αὐτὸς πάντα νοήσῃ.

κρείττονα γὰρ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον καὶ χρῆσθαι αὐτῷ, τοῦ δι᾽ αὐτοῦ τὸ πᾶν συννοήσαντος. τῷ μὲν γὰρ εἶναι μόνον τὸ συνεῖναι· τῷ δ᾽ εὖ πεισθέντι προσεῖναι καὶ τὴν πρᾶξιν. ἐρωτηθεὶς (φησὶ) διὰ τί αὐστηρὸς ὢν, ἐν τῷ πότῳ διαχεῖται, ἔφη, Καὶ οἱ θέρμοι πικροὶ ὄντες, βρεχόμενοι γλυκαίνονται. φησὶ δὲ καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ τῶν χρειῶν ἀνίεσθαι αὐτὸν ἐν ταῖς τοιαύταις κοινωνίαις. ἔλεγέ τε κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ. τὸ εὖ, γίνεσθαι μὲν παρὰ μικρόν, οὐ μὴν μικρὸν εἶναι. οἱ δὲ,

Σωκράτης. ἦν δὲ καρτερικώτατος καὶ λιτότατος, ἀπύρῳ τροφῇ χρώμενος, καὶ τρίβωνι λεπτῷ. ὥστε λέγεσθαι ἐπ' αὐτοῦ,

Τὸν δ' οὔτ' ἄρ χειμὼν κρυόεις, οὐκ ὄμβρος ἀπείρων,
Οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ νόσος αἰνή,
Οὐχ ὥς τις δήμου ἐναρίθμιος, ἀλλ' ὅγ' ἀτειρὴς
Ἀμφὶ διδασκαλίῃ τέταται νύκτας τε καὶ ἦμαρ.

οἵ γε μὴν Κωμικοὶ ἐλάνθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων. ἵνα καὶ Φιλήμων φησὶν οὕτως ἐν δράματι Φιλοσόφοις,

Εἰς ἄρτον ὄψον, ἰσχὰς, ἐπιπιεῖν ὕδωρ.
Φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ,
Πεινῆν διδάσκει, καὶ μαθητὰς λαμβάνει.

οἱ δὲ, Ποσειδίππου. ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν. ἐλέγετο γοῦν ἐπ' αὐτῷ, Τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος. ἀλλὰ καὶ Ποσείδιππος μεταφερομένοις· ὥστ' ἐν ἡμέραις δέκα εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον. τῷ γὰρ ὄντι πάντας ὑπερεβάλλετο τῷ τε εἴδει τούτῳ, καὶ τῇ σεμνότητι, καὶ δὴ νὴ Δία καὶ μακαριότητι. ὀκτὼ γὰρ πρὸς τοῖς ἐνενήκοντα βιοὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας. Περσαῖος δέ φησιν ἐν ταῖς ἠθικαῖς σχολαῖς, δύο καὶ ἑβδομήκοντα ἐτῶν τελευτῆσαι αὐτόν. ἐλθεῖν δὲ Ἀθήναζε δύο καὶ εἴκοσι ἐτῶν. ὁ δ' Ἀπολλώνιος φησὶν ἀφηγήσασθαι τῆς σχολῆς αὐτὸν ἔτη δυοῖν δέοντα ἑξήκοντα. ἐτελεύτα δὴ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε, καὶ τὸν δάκτυλον περιέρρηξε. παίσας δὲ τὴν γῆν τῇ χειρὶ, φησὶ τὸ ἐκ τῆς Νιόβης, Ἔρχομαι τί μ' αὔεις; καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν. Ἀθηναῖοι δ' ἔθαψαν αὐτὸν ἐν τῷ Κεραμεικῷ, καὶ ψηφίσμασι τοῖς προειρημένοις ἐτίμησαν, τὴν ἀρετὴν αὐτῷ προσμαρτυροῦντες. καὶ Ἀντίπατρος ὁ Σιδώνιος

ἐποίησεν οὕτως,

Τῆνος ὅδε Ζήνων Κιτίῳ φίλος, ὃς ποτ' Ὄλυμπον
Ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος,
Οὐδὲ τά γ' Ἡρακλῆος ἀέθλια· τὴν δὲ ποτ' ἄστρα
Ἀτραπὶν μούνος εὗρε σαοφροσύνας.

καὶ ἄλλο Ζηνόδοτος ὁ Στωϊκὸς, Διογένους μαθητής,

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον
Ζήνων σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ.
Ἄρσενα γὰρ λόγον εὗρες. αἰεθλήσω δὲ προνοίᾳ
Αἵρεσιν ἀτρέστου ματέρ' ἐλευθερίας.
Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; ἦν καὶ ὁ Κάδμος
Κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

καὶ κοινῇ δὲ καὶ περὶ πάντων τῶν Στωϊκῶν Ἀθήναιος ὁ ἐπιγραμματοποιὸς φησὶν οὕτως,

Ὦ Στωϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
Δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσι,
Τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
Μούνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδὺ πάθημα φίλον τέλος ἀνδράσιν ἄλλοις,
Ἡ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

εἴπομεν ὡς ἐτελεύτα ὁ Ζήνων, καὶ ἡμεῖς ἐν τῇ παμμέτρῳ τοῦτον τὸν τρόπον,

Τὸν Κιτιᾶ Ζήνωνα θανεῖν λόγος, ὡς ὑπὸ γήρως
Πολλὰ καμὼν ἐλύθη· οἱ δὲ, μένων ἄσιτος·
Οἱ δ', ὅτι προσκόψας ποτ' ἔφη, χερὶ γαῖαν ἀλοίσας,
Ἔρχομαι αὐτόματος δή· τί με, τί με καλεῖς;

ἔνιοι γὰρ καὶ τοῦτον τὸν τρόπον τελευτῆσαι φασὶν αὐτόν. καὶ περὶ μὲν τῆς τελευτῆς ταῦτα. φησὶ δὲ Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις, τὸν πατέρα αὐτοῦ Μνασέαν πολλάκις, ἅτε ἔμπορον, Ἀθήναζε παραγίνεσθαι, καὶ πολλὰ τῶν Σωκρατικῶν βιβλίων ἀποφέρειν ἔτι παιδὶ ὄντι τῷ Ζήνωνι· ὅθεν καὶ ἐν τῇ πατρίδι συγκεκροτῆσθαι. καὶ οὕτως

ἐλθόντα εἰς Ἀθήνας, Κράτητι παραβαλεῖν. δοκεῖ δὲ (φησὶ) καὶ τὸ τέλος αὐτὸς ὁρίσαι τῶν πλανωμένων περὶ τὰς ἀποφάσεις. ὤμνυε δὲ (φασὶ) καὶ κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα. ἔνιοι μέντοι (ἐξ ὧν εἰσιν οἱ περὶ Κάσσιον τὸν Σκεπτικὸν) ἐν πολλοῖς κατηγοροῦντες τοῦ Ζήνωνος, πρῶτον μὲν τὴν ἐγκύκλιον παιδείαν ἄχρηστον ἀποφαίνειν λέγοντα ἐν ἀρχῇ τῆς πολιτείας· δεύτερον, ἐχθροὺς καὶ πολεμίους καὶ δούλους καὶ ἀλλοτρίους λέγειν αὐτὸν ἀλλήλων εἶναι πάντας τοὺς σπουδαίους, καὶ γονεῖς τέκνων, καὶ ἀδελφοὺς ἀδελφῶν, οἰκείους οἰκείων. πάλιν ἐν τῇ πολιτείᾳ, παριστάντα πολίτας, καὶ φίλους, καὶ οἰκείους, καὶ ἐλευθέρους, τοὺς σπουδαίους μόνον. ὥστε τοῖς Στωϊκοῖς οἱ γονεῖς καὶ τὰ τέκνα ἐχθροί· οὐ γάρ εἰσι σοφοί. κοινάς τε τὰς γυναῖκας δογματίζειν, ὁμοίως ἐν τῇ πολιτείᾳ. καὶ κατὰ τοὺς διακοσίους, μήτε ἱερὰ, μήτε δικαστήρια, μήτε γυμνάσια ἐπὶ ταῖς πόλεσιν οἰκοδομεῖσθαι. περί τε νομίσματος οὕτως γράφειν, Νόμισμα δ᾽ οὔτ᾽ ἀλλαγῆς ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν, οὔτε ἀποδημίας ἕνεκεν. καὶ ἐσθῆτι δὲ τῇ αὐτῇ κελεύει χρῆσθαι ἄνδρας καὶ γυναῖκας, καὶ μηδὲν μόριον ἀποκεκρύφθαι. ὅτι δ᾽ αὐτοῦ ἐστιν ἡ Πολιτεία, καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας φησί. περί τε ἐρωτικῶν διήλεκται, κατὰ τὴν ἀρχὴν τῆς ἐπιγραφομένης Ἐρωτικῆς τέχνης. ἀλλὰ καὶ ἐν ταῖς διατριβαῖς τὰ παραπλήσια γράφει. τοιουτότροπα τινά ἐστι παρὰ τῷ Κασσίῳ, ἀλλὰ καὶ Ἰσιδώρῳ τῷ Περγαμηνῷ ῥήτορι· ὃς καὶ ἐκτμηθῆναί φησιν ἐκ τῶν βιβλίων τὰ κακῶς λεγόμενα παρὰ τοῖς Στωϊκοῖς ὑπ᾽ Ἀθηνοδώρου τοῦ Στωϊκοῦ, πιστευθέντος τὴν ἐν Περγάμῳ βιβλιοθήκην· εἶτα ἀντιτεθῆναι αὐτά, φωραθέντος τοῦ Ἀθηνοδώρου, καὶ κινδυνεύσαντος. καὶ τοσαῦτα μὲν περὶ τῶν ἀθετουμένων αὐτοῦ. γεγόνασι δὲ Ζήνωνες ὀκτώ· πρῶτος, ὁ Ἐλεάτης, περὶ οὗ λέξομεν· δεύτε-

ρες, αὐτὸς ἐστι· τρίτος, Ῥόδιος, τὴν ἐπιχώριον γεγραφὼς ἱστορίαν ἐνιαίαν· τέταρτος, ἱστορικὸς, τὴν Πύρρου γεγραφὼς ἱστορίαν εἰς Ἰταλίαν καὶ Σικελίαν. ἀλλὰ καὶ ἐπιτομὴν τῶν πεπραγμένων Ῥωμαίοις τε καὶ Καρχηδονίοις· πέμπτος, Χρυσίππου μαθητὴς, βιβλία μὲν ὀλίγα γεγραφὼς, μαθητὰς δὲ πλείστους καταλελοιπώς· ἕκτος, ἰατρὸς Ἡροφίλειος, νοῆσαι μὲν ἱκανὸς, γράψαι δὲ ἄτονος. ἕβδομος, γραμματικὸς, οὗ πρὸς τοῖς ἄλλοις καὶ ἐπιγράμματα φέρεται. ὄγδοος, Σιδώνιος τὸ γένος, φιλόσοφος Ἐπικούρειος, καὶ νοῆσαι καὶ ἑρμηνεῦσαι σαφής. μαθηταὶ δὲ Ζήνωνος, πολλοὶ μὲν, ἔνδοξοι δὲ, Περσαῖος Δημητρίου Κιτιεὺς, ὃν οἱ μὲν, γνώριμον αὐτοῦ· οἱ δὲ, οἰκέτην ἕνα τῶν εἰς βιβλιογραφίαν πεμπομένων αὐτῷ παρὰ Ἀντιγόνου, οὗ καὶ τροφεὺς ἦν τοῦ παιδὸς Ἀλκυονέως. διάπειραν δή ποτε βουληθεὶς λαβεῖν αὐτοῦ ὁ Ἀντίγονος, ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελθῆναι ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα. καὶ σκυθρωπάσαντος, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον; βιβλία δὲ αὐτοῦ φέρεται τάδε· Περὶ βασιλείας, Πολιτεία Λακωνικὴ, Περὶ γάμου, Περὶ ἀσεβείας, Θυέστης, Περὶ ἐρώτων, Προτρεπτικοί, Διατριβῶν, Χρειῶν, δ΄· Ἀπομνημονεύματα, Πρὸς τοὺς Πλάτωνος νόμους, ζ΄· Ἀρίστων, Μιλτιάδης Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος· Ἥριλλος Καρχηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών· Διονύσιος ὁ μεταθέμενος εἰς τὴν ἡδονήν. διὰ γὰρ σφοδρὰν ὀφθαλμίαν ὤκνησεν ἔτι λέγειν τὸν πόνον ἀδιάφορον. ἐστὶ δ᾽ Ἡρακλεώτης. Σφαῖρος Βοσπορειανὸς, Κλεάνθης Φανίου Ἄσιος, ὁ διαδεξάμενος τὴν σχολὴν, ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. διήκουσε δ᾽ ὁ Σφαῖρος καὶ Κλεάνθους μετὰ τὴν Ζήνωνος τελευτήν. καὶ λέξομεν περὶ αὐτοῦ ἐν τῷ περὶ Κλεάνθους· ἦσαν δὲ Ζήνωνος μαθηταὶ καὶ οἵδε, (καθά φησιν Ἱππόβοτος) Ἀθηνόδωρος Σολεὺς, Φιλωνίδης

Θηβαῖος, Κάλιππος Κορίνθιος, Ποσειδώνιος Ἀλεξανδρεύς, Ζήνων Σιδώνιος. κοινῇ δὲ περὶ πάντων τῶν Στωϊκῶν δογμάτων ἔδοξέ μοι ἐν τῷ Ζήνωνος εἰπεῖν βίῳ, διὰ τὸ τοῦτον κτίστην γενέσθαι τῆς αἱρέσεως. ἔστι μὲν οὖν αὐτοῦ καὶ τὰ προγεγραμμένα βιβλία πολλά, ἐν οἷς ἐλάλησεν ὡς οὐδεὶς τῶν Στωϊκῶν. τὰ δὲ δόγματα κοινῶς ἐστι τάδε. λελέχθω δ' ἐπὶ κεφαλαίων, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖν εἰώθαμεν. τριμερῆ φασὶν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον· εἶναι γὰρ αὐτοῦ τὸ μέν τι, φυσικόν· τὸ δέ, ἠθικόν· τὸ δέ, λογικόν. οὕτω δὲ πρῶτος διεῖλε Ζήνων ὁ Κιτιεὺς ἐν τῷ Περὶ λόγου, καὶ Χρύσιππος ἐν τῷ α Περὶ λόγου, καὶ ἐν τῇ α τῶν φυσικῶν, καὶ Ἀπολλόδωρος ὁ Ἔφιλλος ἐν τῷ πρώτῳ τῶν εἰς τὰ δόγματα εἰσαγωγῶν, καὶ Εὔδρομος ἐν τῇ ἠθικῇ στοιχειώσει, καὶ Διογένης ὁ Βαβυλώνιος, καὶ Ποσειδώνιος. ταῦτα δὲ τὰ μέρη ὁ μὲν Ἀπολλόδωρος τόπους καλεῖ· ὁ δὲ Χρύσιππος καὶ Εὔδρομος, εἴδη· ἄλλοι, γένη. εἰκάζουσι δὲ ζώῳ τὴν φιλοσοφίαν, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογικὸν προσομοιοῦντες· τοῖς δὲ σαρκώδεσι, τὸ ἠθικόν· τῇ δὲ ψυχῇ, τὸ φυσικόν. ἢ πάλιν ὠῷ· τὰ μὲν γὰρ ἐκτὸς, εἶναι τὸ λογικόν. τὰ δὲ μετὰ ταῦτα, τὸ ἠθικόν· τὰ δ' ἐσωτάτω, τὸ φυσικόν. ἢ ἀγρῷ παμφόρῳ· τὸν μὲν περιβεβλημένον φραγμόν, τὸ λογικόν· τὸν δὲ καρπόν, τὸ ἠθικόν· τὴν δὲ γῆν, ἢ τὰ δένδρα, τὸ φυσικόν. ἢ πόλει καλῶς τετειχισμένῃ, καὶ κατὰ λόγον διοικουμένῃ. καὶ οὐθὲν μέρος τοῦ ἑτέρου προκεκρίσθαι, (καθά τινες αὐτῶν φασὶν) ἀλλὰ μεμίχθαι αὐτά. καὶ τὴν παράδοσιν μικτὴν ἐποίουν. ἄλλοι δὲ πρῶτον μὲν τὸ λογικὸν τάττουσι· δεύτερον δέ, τὸ φυσικόν· καὶ τρίτον, τὸ ἠθικόν· ὧν ἐστι Ζήνων ἐν τῷ Περὶ λόγου, καὶ Χρύσιππος, καὶ Ἀρχέδημος, καὶ Εὔδημος. ὁ γὰρ Πτολεμαεὺς Διογένης ἀπὸ τῶν ἠθικῶν ἄρχεται· ὁ δ' Ἀπολλόδωρος, δεύτερα τὰ ἠθικά· Παναίτιος δὲ καὶ Ποσειδώνιος, ἀπὸ τῶν φυσικῶν ἄρχονται, καθά φησι Φανίας ὁ Ποσειδωνίου γνώριμος, ἐν τῷ πρώτῳ τῶν Ποσει-

δωνείων σχολῶν. ὁ δὲ Κλεάνθης ἓξ μέρη φησί, διαλεκτικόν, ῥητορικόν, ἠθικόν, πολιτικόν, φυσικόν, θεολογικόν. ἄλλοι δὲ οὐ τοῦ λόγου ταῦτα μέρη φασίν, ἀλλ' αὐτῆς τῆς φιλοσοφίας· ὡς Ζήνων ὁ Ταρσεύς. τὸ δὲ λογικὸν μέρος φασὶν ἔνιοι εἰς δύο διαιρεῖσθαι ἐπιστήμας, εἰς ῥητορικὴν, καὶ εἰς διαλεκτικήν. τινὲς δὲ καὶ εἰς τὸ ὁρικὸν, τὸ περὶ κανόνων καὶ κριτηρίων. ἔνιοι δὲ τὸ ὁρικὸν περιαιροῦσι. τὸ μὲν οὖν περὶ κανόνων καὶ κριτηρίων παραλαμβάνουσι πρὸς τὸ τὴν ἀλήθειαν εὑρεῖν· (ἐν αὐτῷ γὰρ τὰς τῶν φαντασιῶν διαφορὰς ἀπευθύνουσι) καὶ τὸ ὁρικὸν δὲ ὁμοίως πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. διὰ γὰρ τῶν ἐννοιῶν τὰ πράγματα λαμβάνεται. τήν τε ῥητορικὴν ἐπιστήμην οὖσαν, τοῦ εὖ λέγειν περὶ τὸν ἐν διεξόδῳ λόγον, καὶ τὴν διαλεκτικὴν τοῦ ὀρθῶς διαλέγεσθαι περὶ τῶν ἐν ἐρωτήσει καὶ ἀποκρίσει λόγων. ὅθεν καὶ οὕτω αὐτὴν ὁρίζονται, ἐπιστήμην ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων. καὶ τὴν μὲν ῥητορικὴν αὐτὴν εἶναι λέγουσι τριμερῆ· τὸ μὲν γὰρ αὐτῆς, εἶναι συμβουλευτικόν· τὸ δὲ, δικανικόν· τὸ δὲ, ἐγκωμιαστικόν. εἶναι δ' αὐτῆς τὴν διαίρεσιν, εἴς τε τὴν εὕρεσιν, καὶ εἰς τὴν φράσιν, καὶ εἰς τὴν τάξιν, καὶ εἰς τὴν ὑπόκρισιν. τὸν δὲ ῥητορικὸν λόγον, εἴς τε τὸ προοίμιον, καὶ εἰς τὴν διήγησιν, καὶ τὰ πρὸς τοὺς ἀντιδίκους, καὶ τὸν ἐπίλογον. τὴν διαλεκτικὴν διαιρεῖσθαι εἴς τε τὸν περὶ τῶν σημαινομένων καὶ τῆς φωνῆς τόπον· καὶ τοῦ μὲν τῶν σημαινομένων, εἴς τε τὸν περὶ τῶν φαντασιῶν τύπον, καὶ τῶν ἐκ τούτων ὑφισταμένων λεκτῶν ἀξιωμάτων καὶ αὐτοτελῶν, καὶ κατηγορημάτων, καὶ τῶν ὁμοίων ὀρθῶν καὶ ὑπτίων, καὶ γενῶν καὶ εἰδῶν· ὁμοίως δὲ καὶ λόγων καὶ τρόπων καὶ συλλογισμῶν, καὶ τῶν παρὰ τὴν φωνὴν καὶ τὰ πράγματα σοφισμάτων· ὧν εἶναι ψευδομένους λόγους καὶ ἀληθεύοντας καὶ ἀποφάσκοντας, σωρείτας τε καὶ τοὺς ὁμοίους τούτοις, ἐλλιπεῖς καὶ ἀπόρους, καὶ περαίνοντας, καὶ ἐγκεκαλυμμένους, κερατίδας τε καὶ οὔτιδας, καὶ

θεείζονται. εἶναι δὲ τῆς διαλεκτικῆς ἴδιον τόπον καὶ τὸν προειρημένον περὶ αὐτῆς τῆς φωνῆς, ἐν ᾧ δείκνυται ἡ ἐγγράμματος φωνή, καὶ τίνα τὰ τοῦ λόγου μέρη· καὶ περὶ σολοικισμοῦ, καὶ βαρβαρισμοῦ, καὶ ποιημάτων, καὶ ἀμφιβολιῶν, καὶ περὶ ἐμμελοῦς φωνῆς, καὶ περὶ μουσικῆς, καὶ περὶ ὅρων (κατά τινας) καὶ διαιρέσεων καὶ λέξεων. διχρηστοτάτην δέ φασιν εἶναι τὴν περὶ τῶν συλλογισμῶν θεωρίαν· τὸ γὰρ ἀποδεικτικὸν ἐμφαίνειν, ὅπερ συμβάλλεσθαι πολὺ πρὸς διόρθωσιν τῶν δογμάτων, καὶ τάξιν καὶ μνήμην τὸ ἐπιστατικὸν κατάλημμα ἐμφαίνειν. εἶναι δὲ τὸν λόγον αὐτὸν συστημάτων καὶ ἐπιφορᾶς· τὸν δὲ συλλογισμόν, λόγον συλλογιστικὸν ἐκ τούτων· τὴν δὲ ἀπόδειξιν, λόγον, διὰ τῶν μᾶλλον καταλαμβανομένων, τὸ ἧττον καταλαμβανόμενον περὶ πάντων. τὴν δὲ φαντασίαν, εἶναι τύπωσιν ἐν ψυχῇ, τοῦ ὀνόματος οἰκείως μετενηνεγμένου ἀπὸ τῶν τύπων ἐν τῷ κηρῷ ὑπὸ τοῦ δακτυλίου γινομένων. τῆς δὲ φαντασίας, τὴν μέν, καταληπτικήν· τὴν δέ, ἀκατάληπτον. καταληπτικὴν μέν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασί, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην· ἀκατάληπτον δέ· τὴν μὴ ἀπὸ ὑπάρχοντος· ἢ ἀπὸ ὑπάρχοντος μέν, μὴ κατ' αὐτὸ δὲ τὸ ὑπάρχον, τὴν μήτραν, ἢ μηδὲ ἔκτυπον. αὐτὴν δὲ τὴν διαλεκτικήν, ἀναγκαίαν εἶναι καὶ ἀρετὴν ἐν εἴδει περιέχουσαν ἀρετάς· τήν τε ἀπροπτωσίαν, ἐπιστήμην τοῦ πότε δεῖ συγκατατίθεσθαι, καὶ μή· τὴν δὲ ἀνεικαιότητα, ἰσχυρὸν λόγον πρὸς τὸ εἰκός, ὥστε μὴ ἐνδιδόναι αὐτῷ· τὴν δὲ ἀνελεγξίαν, ἰσχὺν ἐν λόγῳ, ὥστε μὴ ἀπάγεσθαι ὑπ' αὐτοῦ εἰς τὸ ἀντικείμενον· τὴν δὲ ἀματαιότητα, ἕξιν ἀναφέρουσαν τὰς φαντασίας ἐπὶ τὸν ὀρθὸν λόγον. αὐτήν τε τὴν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ, ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει ἀμετάπτωτον ὑπ

έρου. οὐκ ἄνευ δὲ τῆς διαλεκτικῆς θεωρίας τὸν σοφὸν ἄ-
τωτον ἔσεσθαι ἐν λόγῳ· τό, τε γὰρ ἀληθὲς καὶ τὸ ψεῦδος
αγινώσκεσθαι ὑπ' αὐτῆς, καὶ τὸ πιθανόν τό, τε ἀμφι-
όλως λεγόμενον διευκρινεῖσθαι. χωρίς τε αὐτῆς, οὐκ εἶναι
δῷ ἐρωτᾶν καὶ ἀποκρίνασθαι. διατείνειν δὲ τὴν ἐν ταῖς
ποφάσεσι προπέτειαν καὶ ἐπὶ τὰ γινόμενα, ὥστε εἰς ἀ-
οσμίαν καὶ εἰκαιότητα τρέπεσθαι τοὺς ἀγυμνάστους ἔχον-
ας τὰς φαντασίας. οὐκ ἄλλως τε ὀξὺν, καὶ ἀγχίνουν, καὶ τὸ
λον δεινὸν ἐν λόγοις φανήσεσθαι τὸν σοφόν· τοῦ γὰρ αὐτοῦ εἶναι
θῶς διαλέγεσθαι καὶ διαλογίζεσθαι, καὶ τοῦ αὐτοῦ πρὸς
τὰ προκείμενα διαλεχθῆναι, καὶ πρὸς τὸ ἐρωτώμε-
ν ἀποκρίνασθαι, ἅπερ ἐμπείρου διαλεκτικῆς ἀνδρὸς εἶναι
ν οὖν τοῖς λογικοῖς. ταῦτά τε αὐτοῖς δοκεῖν κεφαλαιωδῶς,
αὶ, ἵνα καὶ κατὰ μέρος εἴπωμεν καὶ τάδε ἅπερ αὐτῶν
ς τὴν εἰσαγωγικὴν τείνει τέχνην, καὶ αὐτὰ ἐπὶ λέξε-
ς τίθησι Διοκλῆς ὁ Μάγνης ἐν τῇ ἐπιδρομῇ τῶν φιλο-
φων λέγων οὕτως, Ἀρέσκει τοῖς Στωϊκοῖς τὸν περὶ φαν
σίας καὶ αἰσθήσεως προτάττειν λόγον, καθότι τὸ κριτή-
ιον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, κατὰ
νος φαντασία ἐστί· καὶ καθότι ὁ περὶ συγκαταθέσεως
αὶ ὁ περὶ καταλήψεως καὶ νοήσεως λόγος προάγων
ῶν ἄλλων, οὐκ ἄνευ φαντασίας συνίσταται. προηγεῖ-
αι γὰρ ἡ φαντασία, εἶθ' ἡ διάνοια, ἐκλαλητικὴ ὑπ-
άρχουσα, ὃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λό-
γῳ. διαφέρει δὲ φαντασία καὶ φάντασμα. φάντα-
μα μὲν γάρ ἐστι δόκησις διανοίας οἵα γίνεται κατὰ τοὺς
πνους· φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλ-
λοίωσις, ὡς ὁ Χρύσιππος ἐν τῇ δυωδεκάτῃ Περὶ ψυ-
χῆς ὑφίσταται. οὐδὲ γὰρ δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον
σφραγιστῆρος· ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ
αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι. νοεῖται δὲ ἡ φαντασία ἡ
ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη,

καὶ ἐναποτετυπωμένη, καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. τῶν δὲ φαντασιῶν, (κατ' αὐτοὺς) αἱ μέν εἰσιν αἰσθητικαί· αἱ δ', οὔ. αἰσθητικαὶ μέν, αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι· οὐκ αἰσθητικαὶ δέ, αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων καὶ τῶν ἄλλων τῷ λόγῳ λαμβανομένων. τῶν δὲ αἰσθητικῶν ἀπὸ ὑπαρχόντων μετὰ εἴξεως καὶ συγκαταθέσεως γίνονται. εἰσὶ δὲ τῶν φαντασιῶν καὶ ἐμφάσεις ἕως ἂν ἀπὸ ὑπαρχόντων γινόμεναι. ἔτι τῶν φαντασιῶν αἱ μέν, εἰσὶ λογικαί· αἱ δέ, ἄλογοι. λογικαὶ μέν, αἱ τῶν λογικῶν ζώων· ἄλογοι δέ, αἱ τῶν ἀλόγων. αἱ μὲν οὖν λογικαί, νοήσεις εἰσίν· αἱ δ' ἄλογοι, οὐ τετυχήκασιν ὀνόματος. καὶ αἱ μέν εἰσι τεχνικαί· αἱ δέ, ἄτεχνοι. ἄλλως γοῦν θεωρεῖται ὑπὸ τεχνίτου εἰκών, καὶ ἄλλως ὑπὸ ἀτέχνου. αἴσθησις δὲ λέγεται κατὰ τοὺς Στωϊκούς, τό, τε ἀφ' ἡγεμονικοῦ πνεῦμα, καὶ ἐπὶ τὰς αἰσθήσεις διῆκον, καὶ ἡ δι' αὐτῶν κατάληψις, καὶ ἡ περὶ τὰ αἰσθητήρια κατασκευή, καθ' ἣν τινὲς πονηροὶ γίνονται. καὶ ἡ ἐνέργεια δὲ αἴσθησις καλεῖται. ἡ δὲ κατάληψις γίνεται κατ' αὐτοὺς αἰσθήσει μὲν λευκῶν καὶ μελάνων, καὶ τραχέων καὶ λείων· λόγῳ δὲ τῶν δι' ἀποδείξεως συναγομένων, ὥσπερ τὸ θεοὺς εἶναι καὶ προνοεῖν τούτους. τῶν γὰρ νοουμένων, τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη· τὰ δέ, καθ' ὁμοιότητα· τὰ δέ, κατ' ἀναλογίαν· τὰ δέ, κατὰ μετάθεσιν· τὰ δέ, κατὰ σύνθεσιν· τὰ δέ, κατ' ἐναντίωσιν. κατὰ περίπτωσιν μὲν οὖν ἐνοήθη τὰ αἰσθητά· καθ' ὁμοιότητα δέ, τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατ' ἀναλογίαν δέ, αὐξητικῶς μὲν ὁ Τιτυὸς καὶ Κύκλωψ, μειωτικῶς δέ, ὡς ὁ Πυγμαῖος. καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν. κατὰ μετάθεσιν δέ, οἷον ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους. κατὰ σύνθεσιν δὲ ἐνοήθη Ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν, θάνατος. νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ τόπος. φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν· καὶ κατὰ

στέρησιν

ρησιν, οἷον ἄχρι. τινὰ δέ τινα καὶ περὶ φαντασίας καὶ αἰσθήσεως καὶ νοήσεως δογματίζουσι. κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν καταληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπάρχοντος, καθά φησι Χρύσιππος ἐν τῇ δωδεκάτῃ τῶν φυσικῶν, καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. ὁ μὲν γὰρ Βοηθὸς κριτήρια πλείονα ἀπολείπει, νοῦν καὶ αἴσθησιν, καὶ ὄρεξιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ Περὶ λόγου, κριτήρια φησὶν εἶναι αἴσθησιν καὶ πρόληψιν. ἔστι δ' ἡ πρόληψις, ἔννοια φυσικὴ τῶν καθόλου. ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ περὶ κριτηρίου φησί. τῆς δὲ διαλεκτικῆς θεωρίας συμφώνως δοκεῖ τοῖς πλείστοις ἀπὸ τοῦ περὶ φωνῆς ἐνάρχεσθαι τόπου. ἔστι δὲ φωνὴ, ἀὴρ πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς, ὥς φησι Διογένης ὁ Βαβυλώνιος ἐν τῇ Περὶ φωνῆς τέχνῃ. ζώου μὲν ἐστι φωνὴ, ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος· ἀνθρώπου δὲ, ἔστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν· ἥ τις ἀπὸ δεκατεσσάρων ἐτῶν τελειοῦται. καὶ σῶμα δ' ἐστὶν ἡ φωνὴ, κατὰ τοὺς Στωϊκοὺς, ὥς φησιν Ἀρχέδημός τε ἐν τῇ Περὶ φωνῆς, καὶ Διογένης καὶ Ἀντίπατρος καὶ Χρύσιππος ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν. πᾶν γὰρ τὸ ποιοῦν, σῶμά ἐστι· ποιεῖ δὲ ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων. λέξις δέ ἐστι κατὰ τοὺς Στωϊκοὺς, (ὥς φησιν ὁ Διογένης) φωνὴ ἐγγράμματος. οἷον, Ἡμέρα ἐστί. λόγος δέ ἐστι φωνὴ σημαντικὴ, ἀπὸ διανοίας ἐκπεμπομένη. διάλεκτος δὲ, ἔστι λέξις κεχαραγμένη ἐθνικῶς τε καὶ Ἑλληνικῶς· ἢ λέξις ποταπὴ, τουτέστι ποιὰ κατὰ διάλεκτον. οἷον, κατὰ μὲν τὴν Ἀτθίδα, θάλαττα· κατὰ δὲ τὴν Ἰάδα, ἡμέρη. τῆς δὲ λέξεως στοιχεῖά ἐστι τὰ εἰκοσιτέσσαρα γράμματα. τριχῶς δὲ λέγεται τὸ γράμμα· ὅ, τε χαρακτὴρ τοῦ στοιχείου, καὶ τὸ ὄνομα, οἷον ἄλφα· φωνήεντα δέ ἐστι τῶν στοι-

χείων ἑπτὰ, α, ε, η, ι, ο, υ, ω· ἄφωνα δὲ, ἓξ, β, γ, δ, κ, π, τ. διαφέρει δὲ φωνὴ καὶ λέξις, ὅτι φωνὴ μὲν καὶ ὁ ἦχός ἐστι, λέξις δὲ, τὸ ἔναρθρον μόνον. λέξις δὲ λόγου διαφέρει, ὅτι λόγος ἀεὶ σημαντικός ἐστι, λέξις δὲ, καὶ ἀσήμαντος, ὡς ἡ Βλίτει· λόγος δὲ, οὐδαμῶς. διαφέρει δὲ κ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναὶ, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει. τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε, ὥς φησι Διογένης τε ἐν τῷ Περὶ φωνῆς καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον (ὁ δὲ Ἀντίπατρος καὶ τὴν μεσότητα τίθησιν ἐν τοῖς Περὶ λέξεων καὶ τῶν λεγομένων) ἔστι δὲ προσηγορία μὲν κατὰ τὸν Διογένην, μέρος λόγου σημαῖνον κοινὴν ποιότητα, οἷον Ἄνθρωπος, ἵππος· ὄνομα δέ ἐστι μέρος λόγου δηλοῦν ἰδίαν ποιότητα, οἷον Διογένης, Σωκράτης· ῥῆμα δέ ἐστι μέρος λόγου σημαῖνον ἀσύνθετον κατηγόρημα, ὡς ὁ Διογένης, ἢ (ὥς τινες) στοιχεῖον λόγου ἄπτωτον, σημαῖνόν τι συντακτὸν περί τινος ἢ τινῶν, οἷον Γράφω, Λέγω. σύνδεσμος δέ ἐστι μέρος λόγου ἄπτωτον, συνδοῦν τὰ μέρη τοῦ λόγου. ἄρθρον δέ ἐστι στοιχεῖον λόγου πτωτικὸν, διορίζον τὰ γένη ὀνομάτων, καὶ τοὺς ἀριθμοὺς, οἷον, ὁ, ἡ, τὸ, οἱ, αἱ, τά. ἀρεταὶ δὲ λόγου εἰσὶ πέντε, Ἑλληνισμὸς, σαφήνεια, συντομία, πρέπον, κατασκευή. Ἑλληνισμὸς μὲν οὖν ἐστι φράσις ἀδιάπτωτος ἐν τῇ τεχνικῇ καὶ μὴ εἰκαίᾳ συνηθείᾳ. σαφήνεια δέ ἐστι λέξις γνωρίμως παριστῶσα τὸ νοούμενον. συντομία δέ ἐστι λέξις αὐτὰ τὰ ἀναγκαῖα περιέχουσα πρὸς δήλωσιν τοῦ πράγματος. πρέπον δέ ἐστι λέξις οἰκεία τῷ πράγματι. κατασκευὴ δέ ἐστι λέξις ἐκπεφευγυῖα τὸν ἰδιωτισμόν. ὁ δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις ἐστὶ παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων. σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος. ποίημα δέ ἐστιν (ὡς ὁ Ποσειδώνιος φησὶν ἐν τῇ Περὶ λέξεως εἰσαγωγῇ) λέξις ἔμμετρος ἢ ἔνρυθμος μετὰ σκευῆς τὸ λογοειδὲς ἐκβεβηκυῖα.

τὸ εὔριθμον δ' εἶναι· Γαῖα μεγίστη, καὶ Διὸς αἰθήρ. ποίησις δέ ἐστι σημαντικὸν ποίημα, μίμησιν περιέχον θείων καὶ ἀνθρωπείων. ὅρος δέ ἐστιν (ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ περὶ ὅρων) λόγος κατ' ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος· ἢ (ὡς ὁ Χρύσιππος ἐν τῷ Περὶ ὅρων) ἡ ἀπόδοσις. ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούστερον τὴν τοῦ ὅρου δύναμιν προσενηνεγμένος. γένος δέ ἐστι πλειόνων καὶ ἀναφαιρέτων ἐννοημάτων σύλληψις, οἷον Ζῶον· τοῦτο γὰρ περιείληφε τὰ κατὰ μέρος ζῶα. ἐννόημα δέ ἐστι φάντασμα διανοίας, οὔτε τι ὂν, οὔτε ποιὸν, ὡσανεὶ δέ τι ὂν, καὶ ὡσανεὶ ποιόν, οἷον γίνεται ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος. εἶδος δέ ἐστι τὸ ὑπὸ γένους περιεχόμενον, ὡς ὑπὸ τοῦ ζώου ὁ ἄνθρωπος περιέχεται. γενικώτατον δέ ἐστιν, ὃ, γένος ὂν, γένος οὐκ ἔχει. εἰδικώτατον δέ ἐστιν, ὃ, εἶδος ὂν, εἶδος οὐκ ἔχει, ὥσπερ ὁ Σωκράτης. διαίρεσις δέ ἐστι γένους ἡ εἰς τὰ προσεχῆ εἴδη τομή· οἷον, τῶν ζώων τὰ μὲν, ἐστὶ λογικὰ τὰ δὲ, ἄλογα. ἀντιδιαίρεσις δέ ἐστι γένους εἰς εἶδος τομὴ κατὰ τοὐναντίον, ὡς ἂν κατ' ἀπόφασιν. οἷον, τῶν ὄντων τὰ μὲν, ἐστὶν ἀγαθὰ, τὰ δ' οὐκ ἀγαθά. ὑποδιαίρεσις δέ ἐστι διαίρεσις ἐπὶ διαιρέσει· οἷον, τῶν ὄντων, τὰ μὲν ἐστιν ἀγαθὰ· τὰ δ' οὐκ ἀγαθά. καὶ τῶν οὐκ ἀγαθῶν, τὰ μὲν ἐστι κακὰ τὰ δὲ, ἀδιάφορα. μερισμὸς δέ ἐστι, γένους εἰς τόπους κατάταξις, (ὡς ὁ Κρῖνις) οἷον, τῶν ἀγαθῶν τὰ μὲν ἐστι περὶ ψυχὴν τὰ δὲ, περὶ σῶμα. ἀμφιβολία δέ ἐστι λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, καὶ κατὰ τὸ αὐτὸ ἔθος. ὥσθ' ἅμα τὰ πλείονα ἐκδέξασθαι κατὰ ταύτην τὴν λέξιν· οἷον, Αὐλητρὶς πέπτωκε. δηλοῦνται γὰρ δι' αὐτῆς, τὸ μὲν, τοιοῦτον, Οἰκία τρὶς πέπτωκε· τὸ δὲ, τοιοῦτον, Αὐλήτρια πέπτωκε. διαλεκτικὴ δέ ἐστιν (ὥς φησι Ποσειδώνιος) ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων. τυγχάνει δ' αὕτη (ὡς ὁ Χρύσιππος φησὶ) περὶ σημαίνοντα καὶ σημαι-

νοούμενα. ἐν μὲν οὖν τῇ περὶ φωνῆς θεωρίᾳ τοιαῦτα λέγεται τοῖς Στωϊκοῖς. ἐν δὲ τῷ περὶ τῶν πραγμάτων καὶ τῶν σημαινομένων τόπῳ τέτακται ὁ περὶ λεκτῶν καὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν τε καὶ κατηγορημάτων καὶ ὀρθῶν καὶ ὑπτίων. φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, τὰ δ' ἐλλιπῆ. ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει. ἐπιζητοῦμεν γάρ, Τίς; αὐτοτελῆ δ' ἐστὶ, τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν· οἷον, Γράφει Σωκράτης. ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι, τὰ ἀξιώματα καὶ οἱ συλλογισμοί, καὶ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα. ἔστι δὲ τὸ κατηγόρημα, τὸ κατά τινος ἀγορευόμενον, ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ τινῶν (ὡς οἱ περὶ Ἀπολλόδωρον φασὶν) ἢ λεκτὸν ἐλλιπὲς συντακτὸν ὀρθῇ πτώσει πρὸς ἀξιώματος γένεσιν. τῶν δὲ κατηγορημάτων τὰ μέν ἐστι συμβάματα, οἷον τὸ διὰ πέτρας πλεῖν· καὶ τὰ μέν ἐστι τῶν κατηγορημάτων ὀρθά, ἃ δ' ὕπτια, ἃ δ' οὐδέτερα. ὀρθὰ μὲν οὖν ἐστι τὰ συντασσόμενα μιᾷ τῶν πλαγίων πτώσεων, πρὸς κατηγορήματος γένεσιν, οἷον Ἀκούει, Ὁρᾷ, Διαλέγεται. ὕπτια δέ ἐστι τὰ συντασσόμενα τῷ παθητικῷ μορίῳ. οἷον, Ἀκούομαι, Ὁρῶμαι. οὐδέτερα δ' ἐστὶ, τὰ μηδ' ἑτέρως ἔχοντα· οἷον, Φρονεῖν, περιπατεῖν. ἀντιπεπονθότα δέ ἐστιν ἐν τοῖς ὑπτίοις, αἱ ὕπτια ὄντα. ἐνεργήματα δέ ἐστιν, οἷον Κείρεται· ἐμπεριέχει γὰρ αὑτὸν ὁ κειρόμενος. πλάγιαι δὲ πτώσεις εἰσί, γενική, καὶ δοτική, καὶ αἰτιατική. ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος, ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ· ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς διαλεκτικοῖς ὅροις. ἀξίωμά ἐστι τὸ ἀποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ· οἷον, Ἡμέρα ἐστὶ, Δίων περιπατεῖ. ὠνόμασται δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι· ὁ γὰρ λέγων Ἡμέρα

ἐστὶν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δὲ, ψεῦδος. διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα, καὶ πύσμα, προστακτικὸν, καὶ ὁρκικὸν, καὶ ἀρατικὸν, καὶ ὑποθετικὸν, καὶ προσαγορευτικὸν, καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. ἀξίωμα μὲν γάρ ἐστιν, ὃ λέγοντες, ἀποφαινόμεθα ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. ἐρώτημα πρᾶγμα αὐτοτελὲς μὲν, ὡς καὶ τὸ ἀξίωμα· αἰτητικὸν δὲ ἀποκρίσεως· οἷον, Ἆρά γε ἡμέρα ἐστί; τοῦτο δὲ οὔτε ἀληθές ἐστιν οὔτε ψεῦδος· ὥστε τὸ μὲν, Ἡμέρα ἐστὶν, ἀξίωμά ἐστι· τὸ δὲ, Ἆρά γε ἡμέρα ἐστίν; ἐρώτημα. πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, ναί· ἀλλὰ εἰπεῖν, Οἰκεῖ ἐν τῷδε τόπῳ. προστακτικὸν δέ ἐστι πρᾶγμα ὃ λέγοντες προστάσσομεν· οἷον,

Σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς.

προσαγορευτικὸν δέ ἐστι πρᾶγμα, ὃ εἰ λέγοι τις, προσαγορεύοι ἄν, οἷον,

Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγάμεμνον.

ὅμοιον δέ ἐστιν ἀξιώματι, ὃ τὴν ἐκφορὰν ἔχον ἀξιωματικὴν παρά τινος μορίου πλεονασμὸν ἢ πάθος, ἔξω πίπτει τοῦ γένους τῶν ἀξιωμάτων. οἷον,

Καλός γ' ὁ παρθενών.

Ὡς Πριαμίδῃσιν ἐμφερὴς ὁ βουκόλος.

ἔστι δὲ καὶ ἐπαπορητικόν τι πρᾶγμα, διενηνοχὸς ἀξιώματος, ὃ εἰ λέγοι τις ἀποροίη ἄν. Ἆρ' ἔστι συγγενές τι λύπη καὶ βίος; οὔτε δὲ ἀληθῆ ἐστιν οὔτε ψευδῆ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα, καὶ τὰ τούτοις παραπλήσια, τῶν ἀξιωμάτων ἢ ἀληθινῶν ἢ ψευδῶν ὄντων. τῶν ἀξιωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ, ὡς φασιν οἱ περὶ Χρύσιππον, καὶ Ἀρχέδημον, καὶ Ἀθηνόδωρον, καὶ Ἀντίπατρον, καὶ Κρῖνιν. ἁπλᾶ μὲν οὖν ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος μὴ διαφορουμένου, ἢ ἐξ ἀξιωμάτων· οἷον τὸ Ἡμέρα ἐστίν. οὐχ

ἁπλᾶ δέ ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος διαφορουμένου ἢ ἐξ ἀξιωμάτων. ἐξ ἀξιώματος μὲν διαφορουμένου, οἷον, Εἰ ἡμέρα ἐστίν· ἐξ ἀξιωμάτων δέ, οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν. ἐν δὲ τοῖς ἁπλοῖς ἀξιώμασιν ἐστὶ τὸ ἀποφατικόν, καὶ τὸ ἀρνητικόν, καὶ τὸ στερητικόν, καὶ τὸ κατηγορικὸν καὶ τὸ καταγορευτικόν, καὶ τὸ ἀόριστον· ἐν δὲ τοῖς οὐχ ἁπλοῖς τὸ συνημμένον, καὶ τὸ παρασυνημμένον, καὶ τὸ συμπεπλεγμένον, καὶ τὸ διεζευγμένον, καὶ τὸ αἰτιῶδες, καὶ τὸ διασαφοῦν τὸ μᾶλλον, καὶ τὸ διασαφοῦν τὸ ἧττον. καὶ ἀξιώματος ἀποφατικὸν μέν, οἷον Οὐχὶ ἡμέρα ἐστίν. εἶδος δὲ τούτου τὸ ὑπεραποφατικόν. ὑπεραποφατικὸν δέ ἐστιν ἀποφατικὸν ἀποφατικοῦ, οἷον, Οὐχὶ ἡμέρα ἐστί. τίθησι δὲ τὸ Ἡμέρα ἐστίν. ἀρνητικὸν δέ ἐστι τὸ συνεστὸς ἐξ ἀρνητικοῦ μορίου καὶ κατηγορήματος· οἷον, Οὐδεὶς περιπατεῖ. στερητικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ στερητικοῦ μορίου καὶ ἀξιώματος κατὰ δύναμιν· οἷον, Ἀφιλάνθρωπός ἐστιν οὗτος. κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος· οἷον Δίων περιπατεῖ. καταγορευτικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος· οἷον, Οὗτος περιπατεῖ. ἀόριστον δέ ἐστι τὸ συνεστὸς ἐξ ἀορίστου μορίου, ἢ ἀορίστων μορίων· οἷον, Τὶς περιπατεῖ, Ἐκεῖνος κινεῖται. τῶν δὲ οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστι, (ὡς ὁ Χρύσιππος ἐν ταῖς διαλεκτικαῖς φησί, καὶ Διογένης ἐν τῇ διαλεκτικῇ τέχνῃ) τὸ συνεστὸς διὰ τοῦ εἰ συναπτικοῦ συνδέσμου. ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ· οἷον, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. παρασυνημμένον δέ ἐστιν (ὡς ὁ Κρῖνίς φησιν ἐν τῇ διαλεκτικῇ τέχνῃ) ἀξίωμα ὃ ὑπὸ τοῦ Ἐπεὶ συνδέσμου παρασυνῆπται, ἀρχόμενον ἀπ' ἀξιώματος καὶ λῆγον εἰς ἀξίωμα· οἷον, Ἐπεὶ ἡμέρα ἐστί, φῶς ἐστιν. ἐπαγγέλλεται δὲ ὁ σύνδεσμος ἀκολουθεῖν τε τὸ δεύτερον τῷ πρώτῳ, καὶ τὸ πρῶτον ὑφεστάναι. συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα

ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκται· οἷον, Καὶ ἡμέρα ἐστὶ, καὶ φῶς ἐστι. διεζευγμένον δέ ἐστιν ὃ ὑπὸ τοῦ Ἤτοι διαζευκτικοῦ συνδέσμου διέζευκται· οἷον, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν. ἐπαγγέλλεται δ' ὁ σύνδεσμος οὗτος τὸ ἕτερον τῶν ἀξιωμάτων ψεῦδος εἶναι. αἰτιῶδες δέ ἐστιν ἀξίωμα τὸ συντασσόμενον διὰ τοῦ Διότι· οἷον, Διότι ἡμέρα ἐστὶ, φῶς ἐστιν. οἱονεὶ γὰρ αἴτιόν ἐστι τὸ πρῶτον τοῦ δευτέρου. διασαφοῦν δὲ τὸ μᾶλλον ἀξίωμά ἐστι, τὸ συνταττόμενον ὑπὸ τοῦ διασαφοῦντος τὸ μᾶλλον συνδέσμου, καὶ τοῦ μέσου τῶν ἀξιωμάτων τασσομένου· οἷον, Μᾶλλον ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν. διασαφοῦν δ' τὸ ἧττον ἀξίωμα ἐστὶ, τὸ ἐναντίον τῷ προκειμένῳ· οἷον, Ἧττον νύξ ἐστιν ἢ ἡμέρα ἐστίν. ἔτι τῶν ἀξιωμάτων κατά τε ἀλήθειαν καὶ ψεῦδος ἀντικείμενα ἀλλήλοις ἐστὶν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν ἀποφατικόν· οἷον, τὸ Ἡμέρα ἐστὶ, καὶ τὸ Οὐχ ἡμέρα ἐστί. συνημμένον οὖν ἀληθές ἐστιν, οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος μάχεται τῷ ἡγουμένῳ· οἷον, Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι, τοῦτο ἀληθές. τὸ γὰρ Οὐχὶ φῶς, ἀντικείμενον τῷ λήγοντι, μάχεται τῷ Ἡμέρα ἐστί. συνημμένον δὲ ψεῦδος ἐστὶν, οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος οὐ μάχεται τῷ ἡγουμένῳ· οἷον, Εἰ ἡμέρα ἐστὶ, Δίων περιπατεῖ. τὸ γὰρ οὐχὶ Δίων περιπατεῖ, οὐ μάχεται τῷ Ἡμέρα ἐστί. παρασυνημμένον δὲ ἀληθὲς μέν ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει· οἷον, Ἐπεὶ ἡμέρα ἐστὶν, ἥλιος ἐστὶν ὑπὲρ γῆς. ψεῦδος δὲ ἢ ἀπὸ ψεύδους ἄρχεται, ἢ μὴ εἰς ἀκόλουθον λήγει· οἷον, Ἐπεὶ νύξ ἐστι, Δίων περιπατεῖ, ἂν ἡμέρας οὔσης λέγηται. αἰτιῶδες δὲ ἀληθὲς μέν ἐστιν, ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, οὐ μὴν ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον· οἷον Διότι ἡμέρα ἐστὶ, φῶς ἐστι. τῷ μὲν γὰρ Ἡμέρα ἐστὶν, ἀκολουθεῖ τὸ Φῶς ἐστι· τῷ δ' Φῶς ἐστιν, οὐχ ἕπεται τὸ Ἡμέρα ἐστίν. αἰτιῶδες δ' ψεῦδος ἐστὶν, ὃ ἤτοι ἀπὸ ψεύδους ἄρχεται,

ἢ εἰς μὴ ἀκόλουθον λήγει· ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενο ἀνακόλουθον· οἷον, Διότι νύξ ἐστι, Δίων περιπατεῖ. πιθανὸν δέ ἐστιν ἀξίωμα, τὸ ἄγον εἰς συγκατάθεσιν· οἷον, εἴ τίς τι ἔτεκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί. ψεῦδος δὲ τοῦτο· οὐ γὰρ ὄρνις ᾠοῦ ἐστι μήτηρ. ἔτι τε τὰ μέν, ἐστὶ δυνατά· τὰ δέ, ἀδύνατα· καὶ τὰ μέν, ἀναγκαῖα· τὰ δ', οὐκ ἀναγκαῖα. δυνατὸν μέν, τὸ ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, τῶν ἐκτὸς μὴ ἐναντιουμένων εἰς τὸ ἀληθὲς εἶναι· οἷον, Ζῇ Διοκλῆς· ἀδύνατον δὲ ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι· οἷον, Ἡ γῆ ἵπταται. ἀναγκαῖον δέ ἐστιν, ὅπερ ἀληθὲς ὄν, οὐκ ἔστιν ἐπιδεκτικὸ τοῦ ψεῦδος εἶναι. ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δ' ἐκτὸς αὐτοῦ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι· οἷον, Ἡ ἀρετὴ ὠφελεῖ. οὐκ ἀναγκαῖον δέ ἐστιν, ὃ καὶ ἀληθές ἐστιν, καὶ ψεῦδος οἷόν τε εἶναι τῶν ἐκτὸς μηδὲν ἐναντιουμένων, οἷον τὸ Περιπατεῖ Δίων. εὔλογον δέ ἐστιν ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι· οἷον, Βιώσομαι αὔριον. καὶ ἄλλαι δέ εἰσι διαφοραὶ ἀξιωμάτων, καὶ μεταπτώσεις αὐτῶν ἐξ ἀλλήλων εἰς ψεύδη καὶ ἀντίστροφα, περὶ ὧν ἐν τῷ πλάτει λέγομεν.
λόγος δέ ἐστιν (ὥς οἱ περὶ τὸν Κρίνιν φασὶ) τὸ συνεστηκὸς ἐκ λήμματος ἢ λημμάτων, καὶ προσλήψεως, καὶ ἐπιφορᾶς. οἷον ὁ τοιοῦτος, Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. ἡμέρα δέ ἐστι. φῶς ἄρα ἐστί. λῆμμα μὲν γάρ ἐστι, τὸ Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι· πρόσληψις τὸ, Ἡμέρα δέ ἐστιν· ἐπιφορὰ δὲ τὸ, Φῶς ἄρα ἐστί. τρόπος δέ ἐστιν, οἱονεὶ σχῆμα λόγου· οἷον ὁ τοιοῦτος, Εἰ τὸ α, τὸ β· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. λογότροπος δέ ἐστι, τὸ ἐξ ἀμφοτέρων σύνθετον, οἷον, Εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, τὸ δὲ α, τὸ ἄρα β. τῶν δὲ λόγων οἱ μέν εἰσιν ἀπέραντοι, οἱ δὲ περαντικοί. ἀπέραντοι μέν, ὧν τὸ ἀν-

ἀντικείμενον τῆς ἐπιφορᾶς μάχεται τῇ διὰ τῶν λημμάτων συμπλοκῇ· οἷον οἱ τοιοῦτοι, Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· περιπατεῖ ἄρα Δίων. τῶν δὲ περαντικῶν λόγων οἱ μὲν ὁμωνύμως τῷ γένει λέγονται περαντικοὶ, οἱ δὲ συλλογιστικοί. συλλογιστικοὶ μὲν οὖν εἰσιν οἱ ἤτοι ἀναπόδεικτοι ὄντες, ἢ ἀναγόμενοι ἐπὶ τοὺς ἀναποδείκτους, κατά τι τῶν θεμάτων, ἤ τινα· οἷον οἱ τοιοῦτοι, Εἰ περιπατεῖ Δίων, κινεῖται ἄρα Δίων. περαντικοὶ δέ εἰσιν εἰδικῶς, οἱ συνάγοντες μὴ συλλογιστικῶς· οἷον οἱ τοιοῦτοι, Ψεῦδός ἐστι τὸ, ἡμέρα ἐστὶ, καὶ νύξ ἐστιν· ἡμέρα δέ ἐστιν· οὐκ ἄρα νύξ ἐστιν. ἀσυλλόγιστοι δ᾽ εἰσὶν, οἱ παρακείμενοι μὲν πιθανῶς τοῖς συλλογιστικοῖς, οὐ συνάγοντες δέ· οἷον Εἰ ἵππος ἐστὶ Δίων, ζῷόν ἐστι Δίων· ἀλλὰ μὴν ἵππος οὐκ ἔστι Δίων· οὐκ ἄρα ζῷόν ἐστι Δίων. ἔτι τῶν λόγων οἱ μὲν ἀληθεῖς εἰσιν, οἱ δὲ ψευδεῖς. ἀληθεῖς μὲν οὖν εἰσι λόγοι, οἱ δι᾽ ἀληθῶν συνάγοντες· οἷον, Εἰ ἡ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει. ψευδεῖς δέ εἰσιν οἱ τῶν λημμάτων ἔχοντές τι ψεῦδος, ἢ ἀπέραντοι ὄντες. οἷον, Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· ζῇ ἄρα Δίων. καὶ δυνατοὶ δ᾽ εἰσὶ λόγοι καὶ ἀδύνατοι, καὶ ἀναγκαῖοι καὶ οὐκ ἀναγκαῖοι. εἰσὶ δὲ καὶ ἀναπόδεικτοί τινες, τῷ μὴ χρήζειν ἀποδείξεως· ἄλλοι μὲν παρ᾽ ἄλλοις, παρὰ δὲ τῷ Χρυσίππῳ πέντε, δι᾽ ὧν πᾶς λόγος πλέκεται· οἵτινες, λαμβάνονται ἐπὶ τῶν περαντικῶν καὶ ἐπὶ τῶν συλλογισμῶν, καὶ ἐπὶ τῶν τροπικῶν. πρῶτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου, ἀφ᾽ οὗ ἄρχεταί τι συνημμένον, καὶ τὸ λῆγον ἐπιφέρει· οἷον, Εἰ τὸ ᾱ, τὸ β̄· ἀλλὰ μὴν τὸ ᾱ· τὸ ἄρα β̄. δεύτερος δ᾽ ἐστὶν ἀναπόδεικτος, ὁ διὰ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τοῦ ἡγουμένου ἔχων συμπέρασμα· οἷον, Εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν· ἀλλὰ μὴν νύξ ἐστιν· οὐκ ἄρα ἡμέρα ἐστίν. ἡ γὰρ πρόσληψις γίνεται ἐκ τοῦ ἀντικειμένου τῷ λήγοντι, καὶ ἡ ἐπιφορὰ ἐκ τοῦ ἀντικειμένου τῷ ἡγουμένῳ.

τρίτος δ' ἐστὶν ἀναπόδεικτος, ὁ δι' ἀποφατικῆς συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ ἐπιφέρων τὸ ἀντικείμενον τοῦ λοιποῦ· οἷον, Οὐχὶ τέθνηκε Πλάτων, καὶ ζῇ Πλάτων· ἀλλὰ μὴν τέθνηκε Πλάτων· οὐκ ἄρα ζῇ Πλάτων. τέταρτος δέ ἐστιν ἀναπόδεικτος, ὁ διὰ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἔχων συμπέρασμα. οἷον, Ἤτοι τὸ πρῶτον, ἢ τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον, οὐκ ἄρα τὸ δεύτερον. πέμπτος δέ ἐστιν ἀναπόδεικτος, ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ ἀντικειμένου, καὶ ἐπιφέρει τὸ λοιπόν. οἷον, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν· οὐχὶ δὲ νύξ ἐστιν· ἡμέρα ἄρα ἐστίν. ἐπ' ἀληθεῖ δὲ ἀληθὲς ἕπεται κατὰ τοὺς Στωϊκοὺς, ὡς τῷ Ἡμέρα ἐστὶ, τὸ Φῶς ἐστι· καὶ ψεύδει ψεῦδος, ὡς τῷ Νύξ ἐστι ψεύδει, τὸ σκότος ἐστί· καὶ ψεύδει ἀληθὲς, ὡς τῷ Ἵπτασθαι τὴν γῆν, τὸ Εἶναι τὴν γῆν. ἀληθεῖ μέντοι ψεῦδος οὐκ ἀκολουθεῖ· τῷ γὰρ Εἶναι τὴν γῆν τὸ Πέτεσθαι τὴν γῆν οὐκ ἀκολουθεῖ. καὶ ἄποροι δέ τινες εἰσὶ λόγοι ἐγκεκαλυμμένοι καὶ διαλεληθότες, καὶ σωρεῖται, καὶ κερατίδες, καὶ οὔτιδες. ἔστι δὲ ἐγκεκαλυμμένος, οἷον ὁ τοιοῦτος, Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστὶν, οὐχὶ δὲ καὶ τὰ τρία· οὐχὶ δὲ καὶ ταῦτα μὲν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα, καὶ οὕτω μέχρι τῶν δέκα· τὰ δὲ δύο ὀλίγα ἐστὶ, καὶ τὰ δέκα ἄρα. οὔτις δέ ἐστι λόγος συνακτικὸς καὶ ἐξ ἀορίστου καὶ ὡρισμένου συνεστὼς, πρόσληψιν δὲ καὶ ἐπιφορὰν ἔχων. οἷον, Εἴ τις ἐστὶν ἐνταῦθα, οὐκ ἔστιν ἐκεῖνος ἐν Ῥόδῳ. καὶ τοιοῦτοι μὲν ἐν τοῖς λογικοῖς οἱ Στωϊκοὶ ἵνα μάλιστα κρατύνωσι διαλεκτικὸν ἀεὶ εἶναι τὸν σοφόν. πάντα γὰρ τὰ πράγματα διὰ τῆς ἐν λόγοις θεωρίας ὁρᾶσθαι, ὅσα τε τοῦ φυσικοῦ τόπου τυγχάνει, καὶ αὖ πάλιν ὅσα τοῦ ἠθικοῦ. εἰς μὲν γὰρ τὸ λογικὸν τί δεῖ λέγειν περί τε ὀνομάτων ὀρθότητος, ὅπως διέταξαν οἱ νόμοι ἐπὶ τοῖς ἔργοις, οὐκ ἂν ἔχειν εἰπεῖν. δυοῖν δὲ οὔσαιν συνηθείαιν ταῖν ὑποπιπτούσαιν τῇ

ἀρετή, ἡ μὲν, τί ἕκαστόν ἐστι τῶν ὄντων σκοπεῖ· ἡ δὲ, τί καλεῖται. καὶ ὧδε καὶ αὐτοῖς ἔχει τὸ λογικόν. τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν εἴς τε τὸν περὶ ὁρμῆς καὶ εἰς τὸν περὶ ἀγαθῶν καὶ κακῶν τόπον, καὶ εἰς τὸν περὶ παθῶν καὶ περὶ ἀρετῆς καὶ περὶ τέλους, περί τε τῆς πρώτης ἀξίας καὶ τῶν πράξεων, καὶ περὶ τῶν καθηκόντων, προτροπῶν τε καὶ ἀποτροπῶν. καὶ οὕτω δ' ὑποδιαιροῦσιν οἱ περὶ Χρύσιππον καὶ Ἀρχέδημον, καὶ Ζήνωνα τὸν Ταρσέα, καὶ Ἀπολλόδωρον, καὶ Διογένην, καὶ Ἀντίπατρον, καὶ Ποσειδώνιον. ὁ μὲν γὰρ Κιτιεὺς Ζήνων, καὶ ὁ Κλεάνθης, ὡς ἂν ἀρχαιότεροι, ἀφελέστερον περὶ τῶν πραγμάτων διέλαβον. οὗτοι δὲ διεῖλον καὶ τὸν λογικὸν καὶ τὸν φυσικόν. τὴν δὲ πρώτην ὁρμήν φασι τὸ ζῷον ἴσχειν ἐπὶ τὸ τηρεῖν ἑαυτὸ, οἰκειούσης αὐτῷ τῆς φύσεως ἀπ' ἀρχῆς· καθά φησιν ὁ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν, πρῶτον οἰκεῖον λέγων εἶναι παντὶ ζῴῳ τὴν αὑτοῦ σύστασιν καὶ τὴν ταύτης συνείδησιν. οὔτε γὰρ ἀλλοτριῶσαι εἰκὸς ἦν αὐτὸ τὸ ζῷον, οὔτε ποιῆσαι αὖ αὐτὸ, μήτε ἀλλοτριῶσαι μήτε οὐκ οἰκειῶσαι. ἀπολείπεται τοίνυν λέγειν, συστησαμένην αὐτὸ οἰκείως πρὸς ἑαυτό. οὕτω γὰρ τά τε βλάπτοντα διωθεῖται, καὶ τὰ οἰκεῖα προσίεται. ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίγνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις, ψεῦδος ἀποφαίνουσιν. ἐπιγέννημα γὰρ φασὶν, εἰ ἄρα ἐστὶν ἡδονὴν εἶναι, ὅταν αὐτὴ καθ' αὑτὴν ἡ φύσις ἐπιζητήσασα, τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀφιλαρύνεται τὰ ζῷα, καὶ θάλλει τὰ φυτά. οὐδέν τε (φασὶ) διήλλαξεν ἡ φύσις ἐπὶ τῶν φυτῶν καὶ ἐπὶ τῶν ζῴων, ὅτι χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ, καὶ ἐφ' ἡμῶν τινα φυτοειδῶς γίνεται. ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται πρὸς τὰ οἰκεῖα, τούτοις μὲν τὸ κατὰ φύσιν τὸ κατὰ τὴν ὁρμὴν διοικεῖσθαι. τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου, τὸ κατὰ λόγον ζῆν

ὀρθῶς γίνεσθαι τοῖς κατὰ φύσιν. τεχνίτης γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς. διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ Περὶ ἀνθρώπου φύσεως, τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν, ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν. ἄγει γὰρ πρὸς ταύτην ἡμᾶς ἡ φύσις. ὁμοίως δὲ καὶ Κλεάνθης ἐν τῷ Περὶ ἡδονῆς, καὶ Ποσειδώνιος καὶ Ἑκάτων ἐν τοῖς Περὶ τελῶν. πάλιν δ' ἴσον ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν τῷ κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων ζῆν· ὥς φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν· μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις τῆς τοῦ ὅλου. διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν· ὅπερ ἐστὶ κατ' ἀρετὴν αὑτοῦ καὶ κατὰ τὴν τῶν ὅλων, οὐδὲν ἐνεργοῦντας ὧν ἀπαγορεύειν εἴωθεν ὁ νόμος ὁ κοινός, ὅσπερ ἐστὶν ὁ ὀρθὸς λόγος διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διΐ καθηγεμόνι τούτῳ τῆς τῶν ὄντων διοικήσεως ὄντι. εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν, καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ὅλου διοικητοῦ βούλησιν. ὁ μὲν οὖν Διογένης τέλος φησὶ ῥητῶς, τὸ εὐλογιστεῖν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ. Ἀρχέδημος δὲ, τὸ πάντα τὰ καθήκοντα ἐπιτελοῦντα ζῆν. φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, ᾗ ἀκολούθως δεῖ ζῆν, τήν τε κοινὴν, καὶ ἰδίως τὴν ἀνθρωπίνην. ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ᾗ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους. τήν τε ἀρετὴν, διάθεσιν εἶναι ὁμολογουμένην· καὶ αὐτὴν, δι' αὑτὴν εἶναι αἱρετὴν οὐ διά τινα φόβον ἢ ἐλπίδα, ἤ τι τῶν ἔξωθεν. ἐν αὐτῇ τ' εἶναι τὴν εὐδαιμονίαν, ἅτε οὔσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου. διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον ποτὲ μὲν, διὰ τὰς τῶν ἔξωθεν πραγματειῶν πιθανότητας, ποτὲ δὲ, διὰ τὴν κατήχησιν τῶν συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους. ἀρετὴ δὲ ἡ μέν τις κοινῶς παντὶ τελείωσις, ὥσπερ ἀνδριάντος· καὶ ἡ ἀθεώρητος, ὥσπερ ὑγίεια· καὶ ἡ θεωρηματικὴ, ὡς φρόνησις. φησὶ γὰρ ὁ Ἑκάτων

ν τῷ πρώτῳ Περὶ ἀρετῶν, ἐπιστημονικὰς μὲν εἶναι καὶ θεω-
ηματικάς, τὰς ἐχούσας τὴν σύστασιν ἐκ θεωρημάτων, ὡς
ρόνησιν καὶ δικαιοσύνην· ἀθεωρήτους δέ, τὰς κατὰ παρέκ-
ασιν θεωρουμένας ταῖς ἐκ τῶν θεωρημάτων συνεστηκυίαις,
αθάπερ ὑγίειαν καὶ ἰσχύν. τῇ ἀφροσύνῃ τεθεωρημένῃ ὑπα-
ρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ παρεκτείνεσθαι τὴν ὑγί-
ιαν, καθάπερ τῇ ψαλίδος οἰκονομίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι.
αλοῦνται δ' ἀθεώρητοι ὅτι μὴ ἔχουσι συγκαταθέσεις,
λλ' ἐπιγίνονται, καὶ περὶ φαύλους γίγνονται, ὡς ὑγίεια,
νδρεία. τεκμήριον δὲ τὸ ὑπαρκτὴν εἶναι τὴν ἀρετήν
ησιν ὁ Ποσειδώνιος ἐν τῷ πρώτῳ τοῦ ἠθικοῦ λόγου, τὸ γε-
έσθαι ἐν προκοπῇ τοὺς περὶ Σωκράτην, Διογένην, καὶ Ἀν-
ισθένην. εἶναι δὲ καὶ τὴν κακίαν ὑπαρκτὴν διὰ τὸ ἀντι-
ιεῖσθαι τῇ ἀρετῇ. διδακτήν τε εἶναι αὐτήν, (λέγω δὲ τὴν
ρετὴν) καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τέλους φησί,
αὶ Κλεάνθης καὶ Ποσειδώνιος ἐν τοῖς προτρεπτικοῖς, καὶ
κάτων. ὅτι δὲ διδακτή ἐστι, δῆλον ἐκ τοῦ γίνεσθαι ἀγαθοὺς
ἐ φαύλων. Παναίτιος μὲν οὖν δύο φησὶν ἀρετάς, θεωρητι-
ὴν καὶ πρακτικήν· ἄλλοι δὲ λογικήν, καὶ φυσικήν, καὶ ἠθι-
ήν· τέτταρας δέ, οἱ περὶ Ποσειδώνιον· καὶ πλείονας, οἱ περὶ
Κλεάνθην, καὶ Χρύσιππον, καὶ Ἀντίπατρον. ὁ μὲν γὰρ Ἀ-
πολλοφάνης μίαν λέγει, τὴν φρόνησιν. τῶν δ' ἀρετῶν, τὰς
μέν, πρώτας, τὰς δέ, ταύταις ὑποτεταγμένας. πρώτας
μὲν τάσδε, φρόνησιν, ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην·
ἐν εἴδει δὲ τούτων, μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν,
ἀγχίνοιαν, εὐβουλίαν. καὶ τὴν μὲν φρόνησιν, εἶναι ἐπιστή-
μην κακῶν καὶ ἀγαθῶν, καὶ οὐδετέρων· τὴν δὲ δικαιοσύ-
νην, ἐπιστήμην ὧν αἱρετέον καὶ εὐλαβητέον, καὶ οὐδετέ-
ρων· τὴν δὲ μεγαλοψυχίαν, ἐπιστήμην ἕξιν ὑπεράνω ποιοῦ-
σαν τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων·
τὴν δὲ ἐγκράτειαν, διάθεσιν ἀνυπέρβατον τῶν κατ' ὀρθὸν
λόγον, ἢ ἕξιν ἀήττητον ἡδονῶν· τὴν δὲ καρτερίαν, ἐπιστήμην

ἢ ἕξιν ὧν ἐμμενετέον καὶ μή, καὶ οὐδετέρων· τὴν δὲ ἀγχίνοιαν, ἕξιν εὑρετικὴν τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα· τὴν δὲ εὐβουλίαν, ἐπιστήμην τοῦ σκοπεῖσθαι ποῖα καὶ πῶς πράττοντες, πράξομεν συμφερόντως. ἀνάλογον δὲ καὶ τῶν κακιῶν, τὰς μὲν, εἶναι πρώτας· τὰς δὲ, ὑπὸ ταύτας. οἷον ἀφροσύνην μὲν, καὶ δειλίαν, καὶ ἀδικίαν, καὶ ἀκολασίαν ἐν ταῖς πρώταις· ἀκρασίαν δὲ, καὶ βραδύνοιαν, καὶ κακοβουλίαν, ἐν ταῖς ὑπὸ ταύτας. εἶναι δὲ ἀγνοίας τὰς κακίας ὧν αἱ ἀρεταὶ ἐπιστῆμαι. ἀγαθὸν δὲ κοινῶς μὲν, τὸ τι ὄφελος· ἰδίως δὲ, ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας. ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς οὕτω λέγεσθαι. οἷον, τὸ ἀγαθὸν ἀφ' οὗ συμβαίνει, ὡς τὴν πρᾶξιν τὴν κατ' ἀρετήν. ὑφ' οὗ δὲ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς. ἄλλως δὲ οὕτως ἰδίως ὁρίζονται ἀγαθὸν, τὸ τέλειον κατὰ φύσιν λογικοῦ. τοιοῦτον δ' εἶναι τὴν ἀρετήν, ὡς μετέχοντα, τάς τε πράξεις τὰς κατ' ἀρετὴν καὶ τοὺς σπουδαίους εἶναι. ἐπιγεννήματα δὲ, τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραπλήσια. ὡσαύτως δὲ καὶ τῶν κακιῶν τὸ μὲν εἶναι ἀφροσύνην, δειλίαν, ἀδικίαν, καὶ τὰ παραπλήσια· μετέχοντα δὲ κακιῶν, τάς τε πράξεις τὰς κατὰ κακίαν καὶ τοὺς φαύλους. ἐπιγεννήματα δὲ, τὴν δυσθυμίαν καὶ τὴν δυσφροσύνην, καὶ τὰ ὅμοια. ἔτι τῶν ἀγαθῶν, τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ ἐκτός· τὰ δ' οὔτε περὶ ψυχήν, οὔτε ἐκτός. τὰ μὲν περὶ ψυχήν, ἀρετὰς, καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δ' ἐκτὸς, τό, τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον, καὶ τὴν τούτων εὐδαιμονίαν. τὰ δὲ οὔτε ἐκτὸς, οὔτε περὶ ψυχήν, τὸ αὐτὸν ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. ἀνάπαλιν δὲ, καὶ τῶν κακιῶν, τὰ μὲν περὶ ψυχὴν εἶναι τὰς κακίας, καὶ τὰς κατ' αὐτὰς πράξεις· τὰ δὲ ἐκτὸς, τὸ ἄφρονα πατρίδα ἔχειν, καὶ ἄφρονα φίλον, καὶ τὴν τούτων κακοδαιμονίαν· τὰ δὲ οὔτε ἐκτὸς, οὔτε περὶ ψυχήν, τὸ αὐτὸν ἑαυτῷ εἶναι φαῦλον καὶ κα-

εὐδαίμονα. ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά· τὰ δὲ, τελικὰ καὶ ποιητικά. τὸν μὲν οὖν φίλον, καὶ τὰς ἀπ' αὐτοῦ γινομένας ὠφελείας, ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ, καὶ φρόνημα, καὶ ἐλευθερίαν, καὶ τέρψιν καὶ εὐφροσύνην, καὶ ἀλυπίαν πᾶσαν καὶ τὴν κατ' ἀρετὴν πρᾶξιν, τελικά. ποιητικὰ δὲ καὶ τελικὰ εἶναι ἀγαθά· καθὸ μὲν γὰρ ἀποτελοῦσι τὴν εὐδαιμονίαν, ποιητικά ἐστιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτὴν, ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά. ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ ἀμφοτέρως ἔχοντα. τὸν μὲν ἐχθρὸν καὶ τὰς ἀπ' αὐτοῦ γινομένας βλάβας, ποιητικὰ εἶναι· κατάπληξιν δὲ εἶναι καὶ ταπεινότητα, καὶ δουλείαν, καὶ ἀτερπίαν, καὶ δυσθυμίαν, καὶ περιλυπίαν, καὶ πᾶσαν τὴν κατὰ κακίαν πρᾶξιν, τελικά· ἀμφοτέρως δὲ ἔχοντα. ἐπεὶ καθὸ μὲν ἀποτελοῦσι τὴν κακοδαιμονίαν, ποιητικά ἐστι· καθὸ δὲ συμπληροῦσιν αὐτὴν, ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά. ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις· τὰ δ' οὔτε ἕξεις, οὔτε διαθέσεις. διαθέσεις μὲν, αἱ ἀρεταί· ἕξεις δὲ τὰ ἐπιτηδεύματα· οὔτε δὲ ἕξεις, οὔτε διαθέσεις, αἱ ἐνέργειαι. κοινῶς δὲ τῶν ἀγαθῶν μικτὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία· ἁπλοῦν δ' ἐστὶν ἀγαθὸν, ἐπιστήμη. καὶ ἀεὶ μὲν παρόντα, αἱ ἀρεταί· οὐκ ἀεὶ δὲ, οἷον χαρά, περιπάτησις. πᾶν δὲ ἀγαθὸν συμφέρον εἶναι, καὶ δέον, καὶ λυσιτελὲς, καὶ χρήσιμον, καὶ εὔχρηστον, καὶ καλὸν, καὶ ὠφέλιμον, καὶ αἱρετὸν, καὶ δίκαιον. συμφέρον μὲν, ὅτι φέρει τοιαῦτα, ὧν συμβαινόντων ὠφελούμεθα· δέον δὲ, ὅτι συνέχει ἐν οἷς χρή· λυσιτελὲς δὲ, ὅτι λύει τὰ τελούμενα εἰς αὐτὸ, ὥστε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ· χρήσιμον δὲ, ὅτι χρείαν ὠφελείας παρέχεται· εὔχρηστον δὲ, ὅτι τὴν χρείαν ἐπαινετὴν ἀπεργάζεται· καλὸν δὲ, ὅτι συμμέτρως ἔχει πρὸς τὴν ἑαυτοῦ χρείαν· ὠφέλιμον δὲ, ὅ-

τι τοιοῦτόν ἐστιν ὥστε ὠφελεῖν. αἱρετὸν δέ, ὅτι τοιοῦτόν ἐστιν ὥστε εὐλόγως αὐτὸ αἱρεῖσθαι· δίκαιον δὲ, ὅτι νόμῳ ἐστὶ σύμφωνον, καὶ κοινωνίας ποιητικόν. καλὸν δὲ λέγουσι τὸ τέλειον ἀγαθὸν, παρὰ τὸ πάντας ἀπέχειν τοὺς ἐπιζητουμένους ἀριθμοὺς ὑπὸ τῆς φύσεως, ἢ τὸ τελείως σύμμετρον. εἴδη δὲ εἶναι τοῦ καλοῦ τέτταρα, δίκαιον, ἀνδρεῖον, κόσμιον, ἐπιστημονικόν· ἐν γὰρ τοῖσδε τὰς καλὰς πράξεις συντελεῖσθαι. ἀνάλογον δὲ καὶ τοῦ αἰσχροῦ εἶναι εἴδη τέτταρα, τό, τε ἄδικον, καὶ τὸ δειλὸν, καὶ ἄκοσμον, καὶ ἄφρον. λέγεσθαι δὲ τὸ καλὸν μοναχῶς μὲν, τὸ ἐπαινετοὺς παρεχόμενον τοὺς ἔχοντας ἀγαθὸν ἐπαίνου ἄξιον· ἑτέρως δὲ, τὸ εὖ πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον· ἄλλως δὲ, τὸ ἐπικοσμοῦν. ὅταν λέγωμεν μόνον τὸν σοφὸν, ἀγαθὸν καλὸν εἶναι. λέγουσι δὲ μόνον τὸ καλὸν, ἀγαθὸν εἶναι, καθά φησιν Ἑκάτων ἐν τῷ τρίτῳ Περὶ ἀγαθῶν, καὶ Χρύσιππος ἐν τοῖς Περὶ τοῦ καλοῦ. εἶναι δὲ τοῦτο ἀρετὴν, καὶ τὸ μετέχον ἀρετῆς· ᾧ ἐστιν ἴσον, τὸ πᾶν ἀγαθὸν, καλὸν εἶναι· καὶ τὸ ἰσοδυναμεῖν τῷ καλῷ τὸ ἀγαθόν· ὅπερ ἴσον ἐστὶ τούτῳ. ἐπεὶ γάρ ἐστιν ἀγαθὸν, καλόν ἐστιν· ἔστι δὲ καλόν· ἀγαθὸν ἄρα ἐστί. δοκεῖ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι, καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον εἶναι αἱρετὸν, καὶ μήτε ἄνεσιν μήτε ἐπίτασιν δέχεσθαι. τῶν δὲ ὄντων φασὶ τὰ μὲν, ἀγαθὰ εἶναι· τὰ δὲ, κακά· τὰ δὲ οὐδέτερα. ἀγαθὰ μὲν οὖν τάς τε ἀρετὰς, φρόνησιν, δικαιοσύνην, ἀνδρείαν, σωφροσύνην, καὶ τὰ λοιπά· κακὰ δὲ, τὰ ἐναντία, ἀφροσύνην, ἀδικίαν, καὶ τὰ λοιπά· οὐδέτερα δὲ, ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει· οἷον ζωὴ, ὑγεία, ἡδονὴ, κάλλος, ἰσχὺς, πλοῦτος, δόξα, εὐγένεια· καὶ τὰ τούτοις ἐναντία, θάνατος, νόσος, πόνος, αἶσχος, ἀσθένεια, πενία, ἀδοξία, δυσγένεια, καὶ τὰ τούτοις παραπλήσια· καθά φησιν Ἑκάτων ἐν ἑβδόμῳ Περὶ τέλους, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ, καὶ Χρύσιππος. μὴ γὰρ εἶναι ταῦτα ἀγαθὰ, ἀλλ' ἀδιάφορα κατ' εἶδος προηγμένα· ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερ-

μαίνειν

μαίνειν, οὐ τὸ ψύχειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν, οὐ τὸ
βλάπτειν. οὐ μᾶλλον δὲ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος, καὶ
ἡ ὑγεία· οὐκ ἄρα ἀγαθὸν οὔτε πλοῦτος οὔτε ὑγίεια. ἔτι τέ
φασιν, ᾧ ἐστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτο οὐκ ἔστιν ἀγαθόν·
πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι· οὐκ ἄρα
ἀγαθὸν πλοῦτος καὶ ὑγεία. Ποσειδώνιος μέντοι καὶ ταῦτα
φησὶ τῶν ἀγαθῶν εἶναι. ἀλλ' οὐδὲ τὴν ἡδονὴν ἀγαθόν φα-
σιν, Ἑκάτων τε ἐν τῷ ἐννεακαιδεκάτῳ Περὶ ἀγαθῶν, καὶ
Χρύσιππος ἐν τοῖς Περὶ ἡδονῆς. εἶναι γὰρ καὶ αἰσχρὰς ἡδο-
νάς· μηδὲν δὲ αἰσχρὸν, εἶναι ἀγαθόν. ὠφελεῖν δέ ἐστι κινεῖν ἢ ἴ-
σχειν, κατ' ἀρετήν· βλάπτειν δὲ, κινεῖν ἢ ἴσχειν, κατὰ κακίαν.
Διχῶς δὲ λέγεσθαι ἀδιάφορα· ἅπαξ μὲν, τὰ μήτε πρὸς
εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦντα, ὡς
ἔχει πλοῦτος, δόξα, ὑγίεια, ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται γὰρ καὶ
χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρήσεως εὐδαιμο-
νικῆς οὔσης ἢ κακοδαιμονικῆς. ἄλλως δὲ λέγεται ἀδιάφορα,
τὰ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικά· ὡς ἔχει τὸ ἀρτίας
ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττὰς, ἢ ἐκτεῖναι τὸν δά-
κτυλον ἢ συστεῖλαι· τῶν προτέρων ἀδιαφόρων οὐκέθ' οὕτω
λεγομένων. ὁρμῆς γάρ ἐστιν ἐκεῖνα καὶ ἀφορμῆς κινητικά.
διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, τῶν οὐδετέρων ἐπίσης ἐχόντων
πρὸς αἵρεσιν καὶ φυγήν. τῶν ἀδιαφόρων τὰ μὲν λέγου-
σι προηγμένα, τὰ δὲ, ἀποπροηγμένα. προηγμένα μὲν, τὰ
ἔχοντα ἀξίαν· ἀποπροηγμένα δὲ, τὰ ἀναξίαν ἔχοντα. ἀξί-
αν δὲ, τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὴν ὁμολογού-
μενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ, εἶναι μέσην τι-
νὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν
βίον, ὅμοιον εἰπεῖν ἥν τινα προσφέρεται πρὸς τὸν κατὰ φύ-
σιν βίον, πλοῦτος ἢ ὑγίεια· τὴν δ' εἶναι ἀξίαν ἀμοιβὴν δο-
κιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ· ὅμοιον
εἰπεῖν ἀμείβεσθαι πυροὺς πρὸς τὰς σὺν ἡμιόνῳ κριθάς.
προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχει. οἷον, ἐπὶ μὲν τῶν

ψυχικῶν, εὐφυΐαν, τέχνην, προκοπὴν, καὶ τὰ ὅμοια· ἐπὶ τῶν σωματικῶν, ζωὴν, ὑγίειαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος· ἐπὶ δὲ τῶν ἐκτὸς, πλοῦτον, δόξαν, εὐγένειαν, καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν, θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πήρωσιν, αἶσχος, καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν ἐκτὸς, πενίαν, ἀδοξίαν, δυσγένειαν, καὶ τὰ παραπλήσια. οὔτε δὲ προήχθη, οὔτε ἀποπροήχθη, τὰ οὐδετέρως ἔχοντα. ἔτι, τῶν προηγμένων, τὰ μὲν, δι' αὑτὰ προῆκται, τὰ δὲ, δι' ἕτερα· τὰ δὲ, καὶ δι' αὑτὰ καὶ δι' ἕτερα. δι' αὑτὰ μὲν, εὐφυΐα, προκοπὴ, καὶ τὰ ὅμοια· δι' ἕτερα δὲ, πλοῦτος, εὐγένεια, καὶ τὰ ὅμοια· δι' αὑτὰ δὲ καὶ δι' ἕτερα, ἰσχὺς, εὐαισθησία, ἀρτιότης. δι' αὑτὰ μὲν, ὅτι κατὰ φύσιν ἐστί· δι' ἕτερα δὲ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. ὁμοίως δὲ ἔχει καὶ τὸ ἀποπροηγμένον, κατὰ τὸν ἐναντίον λόγον. ἔτι δὲ καθῆκόν φασιν εἶναι, ὃ πραχθὲν, εὔλογόν τε ἴσχει ἀπολογισμὸν, οἷον τὸ ἀκόλουθον ἐν τῇ ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει. ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. κατωνομάσθαι δὲ οὕτως ὑπὸ πρώτου Ζήνωνος τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινας ἥκειν, προσονομασίας εἰλημμένης. ἐνέργημα δὲ, αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν, καθήκοντα εἶναι· τὰ δὲ, παρὰ καθῆκον. καθήκοντα μὲν οὖν εἶναι, ὅσα λόγος αἱρεῖ ποιεῖν, ὡς ἔχει, γονεῖς τιμᾶν, ἀδελφοὺς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δὲ, ὅσα μὴ αἱρεῖ λόγος, οἷον ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, συγγενῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδος ὑπερορᾶν, καὶ τὰ παραπλήσια· οὔτε δὲ καθήκοντα, οὔτε παρὰ καθῆκον, ὅσα οὔτε αἱρεῖ λόγος πράττειν, οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν, στλεγγίδα, καὶ τὰ ὅμοια τούτοις. καὶ τὰ μὲν εἶναι καθήκοντα, ἄνευ περιστάσεως· τὰ δὲ, περιστατικά. καὶ ἄνευ μὲν περιστάσεως, τάδε, ὑγιείας ἐπιμελεῖσθαι, καὶ αἰσθητηρίων

ὴ τὰ ὅμοια· κατὰ περίστασιν δὲ, τὸ πηροῦν ἑαυτὸν, καὶ
ὴν κτῆσιν διαῤῥιπτεῖν· ἀνάλογον δὲ καὶ τῶν παρὰ τὸ
καθῆκον. ἔτι, τῶν καθηκόντων, τὰ μὲν ἀεὶ καθήκει,
ὰ δὲ οὐκ ἀεί. καὶ ἀεὶ μὲν καθήκει τὸ κατ᾽ ἀρετὴν ζῆν·
οὐκ ἀεὶ δὲ, τὸ ἐρωτᾷν, τὸ ἀποκρίνεσθαι, καὶ περιπατεῖν, καὶ
ὰ ὅμοια. ὁ δ᾽ αὐτὸς λόγος καὶ ἐπὶ τῶν παρὰ τὸ καθῆ-
κον. ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθε-
σθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς. φασὶ δὲ τὴν ψυ-
χὴν εἶναι ὀκταμερῆ· μέρη γὰρ αὐτῆς, τά τε πέντε αἰσθητή-
ρια, καὶ τὸ φωνητικὸν ὄργανον, καὶ τὸ διανοητικὸν, ὅπερ
ἐστὶν αὐτὴ ἡ διάνοια· καὶ τὸ γεννητικόν. ἐκ δὲ τῶν ψευδῶν
ἐπιγίγνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ᾽ ἧς
πολλὰ πάθη βλαστάνειν, καὶ ἀκαταστασίας αἴτια. ἔστι δὲ
αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα, ἡ ἄλογος καὶ παρὰ φύσιν
ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. τῶν δὲ παθῶν τὰ
ἀνωτάτω (καθά φησιν Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ πα-
θῶν, καὶ Ζήνων ἐν τῷ Περὶ παθῶν) εἶναι γένη τέτταρα, λύ-
πην, φόβον, ἐπιθυμίαν, ἡδονήν. δοκεῖ δὲ αὐτοῖς τὰ πάθη
κρίσεις εἶναι, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ παθῶν. ἥ τε
γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι,
καὶ ἡ μέθη δὲ, καὶ ἡ ἀκολασία ὁμοίως, καὶ τὰ ἄλλα.
καὶ τὴν μὲν λύπην, εἶναι συστολὴν ἄλογον. εἴδη δὲ αὐτῆς, ἔ-
λεον, φθόνον, ζῆλον, ζηλοτυπίαν, ἄχθος, ἐνόχλησιν, ἀνίαν,
ὀδύνην, σύγχυσιν. ἔλεον μὲν οὖν εἶναι λύπην, ὡς ἐπὶ ἀναξί-
ως κακοπαθοῦντι· φθόνον δὲ, λύπην ἐπ᾽ ἀλλοτρίοις ἀγα-
θοῖς· ζῆλον δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ὧν αὐτὸς ἐπι-
θυμεῖ· ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι ἃ
καὶ αὐτὸς ἔχει· ἄχθος δὲ, λύπην βαρύνουσαν· ἐνό-
χλησιν, λύπην στενοχωροῦσαν, καὶ δυσχωρίαν παρα-
σκευάζουσαν· ἀνίαν, λύπην ἐκ διαλογισμῶν μένουσαν
ἢ ἐπιτεινομένην· ὀδύνην, λύπην ἐπίπονον· σύγχυ-
σιν, λύπην ἄλογον, ἀποκναίουσαν καὶ κωλύουσαν τὰ πα-

ρόντα συνορᾶν. ὁ δὲ φόβος, ἐστὶ προσδοκία κακοῦ. ε
δὲ τὸν φόβον ἀνάγεται καὶ ταῦτα, δεῖμα, ὄκνος, αἰσχύν
ἔκπληξις, θόρυβος, ἀγωνία. δεῖμα μὲν οὖν ἐστι φόβος δ
ος ἐμποιῶν· αἰσχύνη δὲ, φόβος ἀδοξίας· ὄκνος δὲ, φόβος με
λούσης ἐνεργείας· ἔκπληξις δὲ, φόβος ἐκ φαντασίας ἀσυ
θους πράγματος· θόρυβος δὲ, μετὰ κατεπείξεως φωνῆ
ἀγωνία δὲ, φόβος ἀδήλου πράγματος. ἐπιθυμία δέ ἐσ
ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται καὶ ταῦτα, σπάνις, μῖσο
φιλονεικία, ὀργὴ, ἔρως, μῆνις, θυμός. ἔστι δὲ ἡ μὲν σπάν
ἐπιθυμία τις ἐν ἀποτεύξει, καὶ οἷον κεχωρισμένη ἐκ τ
πράγματος, τεταμένη δὲ διακενῆς ἐπ' αὐτὸ καὶ σπωμέν
μῖσος δέ ἐστι ἐπιθυμία τις τοῦ κακῶς εἶναι τινὶ, μετὰ προκ
πῆς τινος καὶ παρεκτάσεως· φιλονεικία δὲ, ἐπιθυμία τις περὶ
αἱρέσεως· ὀργὴ δὲ, ἐπιθυμία τιμωρίας, τοῦ δοκοῦντος ἠδικη
κέναι οὐ προσηκόντως· ἔρως δέ ἐστιν ἐπιθυμία τις, οὐχὶ περὶ
σπουδαίους (ἔστι γὰρ ἐπιβολὴ φιλοποιΐας διὰ κάλλος ἐμφαι
νόμενον) μῆνις δέ ἐστιν ὀργὴ πεπαλαιωμένη καὶ ἐπίκοτο
ἐπιτηρητικὴ δέ. ὅπερ ἐμφαίνεται διὰ τῶνδε,

Εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
Ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ.

ὁ δὲ θυμός ἐστιν ὀργὴ ἀρχομένη. ἡδονὴ δέ ἐστιν ἄλογ
ἔπαρσις, ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν. ὑφ' ἣν τάττετ
κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. κήλησις μ
οὖν ἐστιν ἡδονὴ δι' ὤτων κατακηλοῦσα· ἐπιχαιρεκακία δ
ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· τέρψις δὲ, οἷον τρέψις, προ
τροπὴ τῆς ψυχῆς ἐπὶ τὸ ἀνειμένον· διάχυσις δὲ, ἀνάλυσ
ἀρετῆς. ὡς δὲ λέγεται τινὰ ἐπὶ τοῦ σώματος ἀρρωστήμ
τα, οἷον, ποδάγραι, καὶ ἀρθρίτιδες, οὕτω κἀπὶ τῆς ψυχῆ
φιλοδοξία, καὶ φιληδονία, καὶ τὰ παραπλήσια. τὸ γὰρ ἀ
ρώστημα, ἐστὶ νόσημα μετὰ ἀσθενείας· τὸ δὲ νόσημα, οἴησ
σφόδρα δοκοῦντος αἱρετοῦ. καὶ ὡς ἐπὶ τοῦ σώματος ἐ
εμπτωσίαι τινὲς λέγονται, οἷον κατάῤῥοις καὶ διάῤῥοιο
οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν εὐκαταφορίαι, οἷον φθονερία

ἐλεημοσύνη, ἔξεις, καὶ τὰ παραπλήσια. εἶναι δὲ καὶ
παθείας φασὶ τρεῖς, χαρὰν, εὐλάβειαν, βούλησιν. καὶ
ὑμὲν χαρὰν ἐναντίαν φασὶν εἶναι τῇ ἡδονῇ, οὖσαν εὔλογον
αρσιν· τὴν δ' εὐλάβειαν, τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλι-
·(φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθή-
σθαι δ') τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλη-
, οὖσαν εὔλογον ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ πρῶτα
ἤθη πίπτει τινὰ, τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τὰς πρώτας
παθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν, εὔνοιαν, εὐμέ-
ειαν, ἀσπασμὸν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβει-
, αἰδῶ, ἁγνείαν· ὑπὸ δὲ τὴν χαρὰν, τέρψιν, εὐφρο-
ύνην, εὐθυμίαν. φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφὸν,
τὸ ἀνέμπτωτον εἶναι. εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ τὸν φαῦλον,
ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτρέπτῳ. ἄτυφόν τε εἶναι
σοφόν· ἴσως γὰρ ἔχειν πρός τε τὸ ἔνδοξον καὶ τὸ ἄδοξον.
δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὅς ἐστι
ῦλος. καὶ αὐστηρούς δέ φασιν εἶναι πάντας τοὺς σπουδαί
τῷ μήτε αὐτοὺς πρὸς ἡδονὴν ὁμιλεῖν, μήτε παρ' ἄλ-
ν τὰ πρὸς ἡδονὴν προσδέχεσθαι. καὶ ἄλλον δ' εἶναι αὐστη
, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ πρὸς μὲν
ρμακοποιΐαν χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ. ἀκι-
ήλους τοὺς σπουδαίους, φυλακτικούς τε εἶναι τοῦ ἐπὶ τὸ βέλ
ν αὐτῶν παριστάνειν, διὰ παρασκευῆς τῆς τὰ φαῦλα
ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι
ιύσης ἀπλάστως. περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα
καὶ τῷ εἴδει. ἀπραγμονάς τε εἶναι· ἐκκλίνειν γὰρ τὸ
θῆκον. καὶ οἰνωθήσεσθαι μὲν, οὐ μεθυσθήσεσθαι δέ.
δὲ οὐδὲ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι ποτὲ αὐτῷ
ντασίας ἀλλοκότους, διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ
τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. οὐδὲ μὴν λυ
θήσεσθαι τὸν σοφὸν, διὰ τὸ τὴν λύπην, ἄλογον εἶναι συστο-
ὶ ψυχῆς, ὡς Ἀπολλόδωρος φησὶν ἐν τῇ ἠθικῇ. θείους

τε εἶναι· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν. τὸν δὲ φαῦλον, ἄθεον. διττὸν δ' εἶναι τὸν ἄθεον, τόν τε ἐναντίως τῷ θείῳ λεγόμενον, τὸν ἐξουθενητικὸν τοῦ θείου· ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον. θεοσεβεῖς τε τοὺς σπουδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεῶν νομίμων· εἶναί τε τὴν εὐσέβειαν ἐπιστήμην θεῶν θεραπείας. ἀλλὰ μὴν καὶ θύειν αὐτοὺς θεοῖς, ἁγνούς τε ὑπάρχειν. ἐκκλίνειν γὰρ τὰ περὶ τοὺς θεοὺς ἁμαρτήματα. καὶ τοὺς θεοὺς ἄγασθαι αὐτούς· ὁσίους τε γὰρ εἶναι καὶ δικαίους πρὸς τὸ θεῖον. μόνους τε ἱερέας τοὺς σοφούς· ἐπεσκέφθαι γὰρ περὶ θυσιῶν, ἱδρύσεων, καθαρμῶν, τῶν ἄλλων τῶν πρὸς θεοὺς οἰκείων. δοκεῖ δὲ αὐτοῖς καὶ γονέας σεβήσεσθαι καὶ ἀδελφοὺς καὶ ἀδελφὰς ἐν δευτέρᾳ μοίρᾳ μετὰ θεούς. φασὶ δὲ καὶ τὴν πρὸς τὰ τέκνα φιλοστοργίαν, φυσικὴν εἶναι αὐτοῖς καὶ ἐν φαύλοις μὴ εἶναι. ἀρέσκει τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθά φησι Χρύσιππος ἐν τῷ τετάρτῳ τῶν ἠθικῶν ζητημάτων, καὶ Περσαῖος, καὶ Ζήνων. εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους· οὕτως οὐδ' ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου, καὶ ὁ ἕνα, ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ. οὕτω καὶ ὁ πλεῖον καὶ ὁ ἔλαττον ἁμαρτάνων, ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. Ἡρακλείδης μέντοι ὁ Ταρσεὺς Ἀντιπάτρου τοῦ Ταρσέως γνώριμος, καὶ Ἀθηνόδωρος, ἄνισα φασὶ τὰ ἁμαρτήματα. πολιτεύεσθαί φασι τὸν σοφὸν ἂν μή τι κωλύῃ, ὥς φησι Χρύσιππος ἐν τῷ Περὶ βίων. καὶ γὰρ κακίαν ἐφέξειν, καὶ ἐπ' ἀρετὴν παρορμήσειν, καὶ γαμήσειν (ὡς ὁ Ζήνων φησὶν ἐν πολιτείᾳ) παιδοποιήσεσθαι. ἔτι τε μὴ δοξάσειν τὸν σοφόν, τουτέστι ψεύδει μὴ συγκαταθήσεσθαι μηδενί. κυνιεῖν τε αὐτόν· εἶναι γὰρ τὸν κυνισμὸν σύντομον ἐπ' ἀρετὴν ὁδόν, ὡς Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. γεύσεσθαί τε καὶ ἀνθρωπίνων σαρκῶν, κατὰ περίστασιν. μόνον τε ἐλεύθερον· τοὺς δὲ φαύλους δούλους. εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας

ὼ δὲ δουλείαν, στέρησιν αὐτοπραγίας. εἶναι δὲ καὶ ἄλλην
δουλείαν τὴν ἐν ὑποτάξει, καὶ τρίτην τὴν ἐν κτήσει τε καὶ
ὑποτάξει, ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ
ὕτη. οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σοφοὺς, ἀλλὰ καὶ βα
λέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις περ
ὶ μόνοις ἂν τοῖς σοφοῖς σταίη, καθά φησι Χρύσιππος ἐν τῷ
Περὶ τοῦ κυρίως κεχρῆσθαι Ζήνωνα τοῖς ὀνόμασιν. ἐγνω-
έναι γάρ φησι δεῖν τὸν ἄρχοντα περὶ ἀγαθῶν καὶ κακῶν
ηδένα δὲ τῶν φαύλων ἐπίστασθαι ταῦτα. ὁμοίως δὲ καὶ
ρχικοὺς, δικαστικούς τε καὶ ῥητορικοὺς μόνους εἶναι· τῶν δὲ φαύ
ων οὐδένα. ἔτι καὶ ἀναμαρτήτους, τῷ ἀπεριπτώτους εἶναι
μαρτήματι. ἀβλαβεῖς τε εἶναι· οὐ γὰρ ἄλλους βλάπτειν,
ὕτε αὐτούς. ἐλεήμονάς τε μὴ εἶναι, συγγνώμην τε ἔχειν
ηδενί· μὴ γὰρ παριέναι τὰς ἐκ τοῦ νόμου ἐπιβαλλούσας κο
άσεις· ἐπεὶ τό γε εἴκειν, καὶ ὁ ἔλεος, αὐτή τε ἡ ἐπιεί-
κια, οὐδενία ἐστι ψυχῆ πρὸς κολάσεις προσποιουμένη
χρηστότητα, μηδὲ οἴεσθαι σκληροτέρας αὐτὰς εἶναι. ἔτι
ε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων παραδό-
ων, οἷον χαρώνεια, καὶ ἀμπώτιδας, καὶ πηγὰς θερμῶν
δάτων, καὶ πυρὸς ἀναφυσήματα. ἀλλὰ μὴν οὐδὲ
ν ἐρημίᾳ (φασὶ) βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ
ύσει καὶ πρακτικός. τὴν μέντοι ἄσκησιν ἀποδέξε-
ται ὑπὲρ τῆς τοῦ σώματος ὑπομονῆς. εὔξεταί τε (φα-
ὶν) ὁ σοφὸς, αἰτούμενος τὰ ἀγαθὰ παρὰ τῶν θεῶν, κα-
θά φησι Ποσειδώνιος ἐν τῷ πρώτῳ Περὶ καθηκόντων,
καὶ Ἑκάτων ἐν τρισκαιδεκάτῳ Περὶ παραδόξων.
λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι,
ιὰ τὴν ὁμοιότητα. φασὶ δὲ αὐτὴν κοινωνίαν τινὰ εἶναι τῶν
ατὰ τὸν βίον, χρωμένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. δι' αὐ-
όν τε αἱρετὸν τὸν φίλον ἀποφαίνονται, καὶ τὴν πολυφιλί-
ν ἀγαθόν. ἔν τε τοῖς φαύλοις μὴ εἶναι φιλίαν. μηδενὶ
ὲ τῶν φαύλων φιλονεικεῖν. πάντας τε τοὺς ἄφρονας

μαίνεσθαι. οὐ γὰρ φρόνιμος εἶναι, ἀλλὰ κατὰ τὴν ἴσην τῇ ἀφροσύνῃ μανίαν πάντα πράττειν. πάντας τε εὖ ποιεῖν τὸν σοφόν, ὡς καὶ πάντα φαμὲν τὰ αὐλήματα εὖ αὐλεῖν τὸν Ἰσμηνίαν. καὶ τῶν σοφῶν δὲ πάντα εἶναι· δεδωκέναι γὰρ αὐτοῖς παντελῆ ἐξουσίαν τὸν νόμον. τῶν δὲ φαύλων εἶναί τινα λέγεται, ὃν τρόπον καὶ τῶν ἀδίκων, ἄλλως μὲν τῆς πόλεως, ἄλλως δὲ τῶν χρωμένων φαμέν. τὰς δὲ ἀρετὰς λέγουσιν ἀντακολουθεῖν ἀλλήλαις, καὶ τὸν μίαν ἔχοντα, πάσας ἔχειν· εἶναι γὰρ αὐτῶν τὰ θεωρήματα κοινά, καθάπερ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν φησίν, Ἀπολλόδωρος δὲ ἐν τῇ φυσικῇ κατὰ τὴν ἀρχαίαν, Ἑκάτων δὲ ἐν τῷ τρίτῳ Περὶ ἀρετῶν. τὸν γὰρ ἐνάρετον, θεωρητικόν τε εἶναι, καὶ πρακτικὸν τῶν πρακτέων· τὰ δὲ πρακτέα καὶ αἱρετέα ἐστί, καὶ ὑπομονητέα καὶ ἀπονεμητέα καὶ ἐμμενητέα. ὥστε εἰ τὰ μὲν αἱρετικῶς ποιεῖ, τὰ δὲ ὑπομονητικῶς, τὰ δὲ ἀπονεμητικῶς, τὰ δὲ ἐμμενητικῶς, φρόνιμός τε ἐστὶ καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. κεφαλαιοῦσθαί τε ἑκάστην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον· οἷον τὴν ἀνδρείαν περὶ τὰ ὑπομονητέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα, καὶ μή, καὶ οὐδέτερα· ὁμοίως τε καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι. ἕπονται δὲ τῇ μὲν φρονήσει εὐβουλία καὶ σύνεσις· τῇ δὲ σωφροσύνῃ, εὐταξία, καὶ κοσμιότης· τῇ δὲ δικαιοσύνῃ, ἰσότης, καὶ εὐγνωμοσύνη· τῇ δὲ ἀνδρείᾳ, ἀπαραλλαξία, καὶ εὐτονία. ἀρέσκει δὲ αὐτοῖς μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κακίας· τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ κακίας εἶναι λεγόντων τὴν προκοπήν. ὡς γὰρ δεῖν φασὶν ἢ ὀρθὸν εἶναι ξύλον ἢ στρεβλόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον· οὔτε δὲ δικαιότερον, οὔτε ἀδικώτερον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. καὶ μὴν τὴν ἀρετὴν Χρύσιππος μὲν, ἀποβλητήν· Κλεάνθης δέ, ἀναπόβλητον. ὁ μέν, ἀποβλητὴν, διὰ μέθην καὶ μελαγχολίαν· ὁ δέ, ἀναπόβλητον, διὰ βεβαίους καταλήψεις. καὶ αὐτὴν δὲ αἱρετὴν εἶναι.

αἰσχυνόμεθα γοῦν ἐφ' οἷς κακῶς πράττομεν, ὡς ἂν μόνον τὸ καλὸν εἰδότες ἀγαθόν. αὐτάρκη τε εἶναι αὐτὴν πρὸς εὐδαιμονίαν, καθά φησι Ζήνων καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν, καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ ἀγαθῶν. Εἰ γὰρ (φησὶν) αὐτάρκης ἐστὶν ἡ μεγαλοψυχία πρὸς τὸ πάντων ὑπεράνω ποιεῖν, ἔστι δὲ μέρος ἀρετῆς, αὐτάρκης ἐστὶ καὶ ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν, καταφρονοῦσα καὶ τῶν δοκούντων ὀχληρῶν. ὁ μέντοι Παναίτιος καὶ Ποσειδώνιος οὐκ αὐτάρκη λέγουσι τὴν ἀρετήν, ἀλλὰ χρείαν εἶναι φασὶ καὶ ὑγιείας καὶ χορηγίας καὶ ἰσχύος. ἀρέσκει δὲ αὐτοῖς καὶ διαπαντὸς χρῆσθαι τῇ ἀρετῇ, ὡς οἱ περὶ Κλεάνθην φασίν. ἀναπόβλητος γάρ ἐστι, καὶ πάντοτε τῇ ψυχῇ χρῆται οὔσῃ τελείᾳ ὁ σπουδαῖος. φύσει τε τὸ δίκαιον εἶναι, καὶ μὴ θέσει, ὡς καὶ τὸν νόμον καὶ τὸν ὀρθὸν λόγον, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ καλοῦ. δοκεῖ δὲ αὐτοῖς μήτε τὴν διαφωνίαν ἀφίστασθαι φιλοσοφίας· ἐπεὶ τῷ λόγῳ τούτῳ προλείψειν ὅλον τὸν βίον, ὡς καὶ Ποσειδώνιος φησὶν ἐν τοῖς προτρεπτικοῖς. εὐχρηστεῖν δὲ καὶ τὰ ἐγκύκλια μαθήματα φησὶν ὁ Χρύσιππος. ἔτι ἀρέσκει αὐτοῖς μηδὲν εἶναι ἡμῖν δίκαιον πρὸς τὰ ἄλλα ζῶα, διὰ τὴν ἀνομοιότητα, καθά φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ δικαιοσύνης, καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ καθήκοντος.

καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ βίων, καὶ Ἀπολλόδωρος ἐν τῇ ἠθικῇ. εἶναι δὲ τὸν ἔρωτα, ἐπιβολὴν φιλοποιΐας, διὰ κάλλος ἐμφαινόμενον· καὶ μὴ εἶναι συνουσίας, ἀλλὰ φιλίας. τὸν γοῦν Θρασωνίδην, καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμένην, διὰ τὸ μισεῖσθαι, ἀπέχεσθαι αὐτῆς. εἶναι οὖν τὸν ἔρωτα φιλίας, ὡς καὶ Χρύσιππος ἐν τῷ Περὶ ἔρωτος φησί· καὶ μὴ εἶναι ἐπίμεμπτον αὐτόν. εἶναι δὲ καὶ τὴν ὥραν ἄνθος ἀρετῆς. Βίων δὲ, τριῶν ὄντων, θεω-

ῥητορικοῦ καὶ πρακτικοῦ καὶ λογικοῦ, τὸν τρίτον φασὶν αἱρετέον· γεγονέναι γὰρ ὑπὸ τῆς φύσεως ἐπιτηδὲς τὸ λογικὸν ζῷον πρὸς θεωρίαν καὶ πρᾶξιν. εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφόν, καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων· κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι, ἢ πηρώσεσιν, ἢ νόσοις ἀνιάτοις. ἀρέσκει δ᾽ αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας δεῖν παρὰ τοῖς σοφοῖς· ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ πολιτείᾳ, καὶ Χρύσιππος ἐν τῷ περὶ πολιτείας, ἀλλά τε Διογένης ὁ κυνικὸς, καὶ Πλάτων. πάντας τε παῖδας ἐπίσης στέρξομεν πατέρων τρόπον, καὶ ἡ ἐπὶ μοιχείᾳ ζηλοτυπία περιαιρεθήσεται. πολιτείαν δὲ ἀρίστην, τὴν μικτὴν ἔκ τε δημοκρατίας καὶ βασιλείας καὶ ἀριστοκρατίας. καὶ ἐν μὲν τοῖς ἠθικοῖς δόγμασι τοιαῦτα λέγουσι, καὶ τούτων πλείονα μετὰ τῶν ἀποδείξεων τῶν οἰκείων. ταῦτα δ᾽ ὡς ἐν κεφαλαίοις ἡμῖν διειλέχθω, καὶ στοιχειωδῶς. τὸν δὲ φυσικὸν λόγον διαιροῦσιν εἴς τε τὸν περὶ σωμάτων τόπον, καὶ περὶ ἀρχῶν, καὶ στοιχείων, καὶ θεῶν, καὶ περάτων, καὶ τόπου, καὶ κενοῦ. καὶ οὕτω μὲν εἰδικῶς. γενικῶς δ᾽ εἰς τρεῖς τόπους, τόν τε περὶ κόσμου, καὶ τὸν περὶ τῶν στοιχείων, καὶ τρίτον τὸν αἰτιολογικόν. τὸν δὲ περὶ τοῦ κόσμου διαιρεῖσθαί φασιν εἰς δύο μέρη. μιᾷ γὰρ σκέψει ἐπικοινωνεῖν αὐτοῦ καὶ τοὺς ἀπὸ τῶν μαθηματικῶν, καθ᾽ ἣν ζητοῦσι περί τε τῶν ἀπλανῶν καὶ τῶν πλανωμένων· οἷον, εἰ ὁ ἥλιος ἐστὶ τηλικοῦτος ἡλίκος φαίνεται, καὶ ὁμοίως εἰ ἡ σελήνη· καὶ περὶ δινήσεων, καὶ τῶν ὁμοίων τούτοις ζητημάτων. ἑτέραν δ᾽ αὐτοῦ σκέψιν εἶναι ἥτις μόνοις τοῖς φυσικοῖς ἐπιβάλλει, καθ᾽ ἣν ζητεῖται ἥ τε οὐσία αὐτοῦ, καὶ εἰ ὁ ἥλιος καὶ οἱ ἀστέρες ἐξ ὕλης καὶ εἴδους, καὶ εἰ γεννητὸς ἢ ἀγέννητος, καὶ εἰ ἔμψυχος ἢ ἄψυχος, καὶ εἰ φθαρτὸς ἢ ἄφθαρτος, καὶ εἰ προνοίᾳ διοικεῖται, καὶ περὶ τῶν λοιπῶν. τόν τε αἰτιολογικὸν εἶναι καὶ αὐτὸν διμερῆ· μιᾷ δ᾽ αὐτοῦ ἐπισκέψει ἐπικοινωνεῖν τὴν τῶν ἰατρῶν ζήτησιν, καθ᾽ ἣν ζητοῦσι περί τε

τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς καὶ τῶν ἐν ψυχῇ γινομένων, καὶ περὶ σπερμάτων καὶ τῶν τούτοις ὁμοίων. τοῦ δ' ἑτέρου καὶ τοὺς ἀπὸ τῶν μαθημάτων αἰτιοποιεῖσθαι· οἷον, πῶς ὁρῶμεν· τίς ἡ αἰτία τῆς κατοπτρικῆς φαντασίας, ὅπως νέφη συνίστανται, βρονταί, καὶ ἴριδες, καὶ ἅλως, καὶ κομῆται, καὶ τὰ παραπλήσια. δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον, εἶναι τὴν ἄποιον οὐσίαν τὴν ὕλην· τὸ δὲ ποιοῦν, τὸν ἐν αὐτῇ λόγον τὸν θεόν. τοῦτον γὰρ ὄντα ἀΐδιον διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων μὲν ὁ Κιτιεὺς ἐν τῷ Περὶ οὐσίας, Κλεάνθης δὲ ἐν τῷ Περὶ τῶν ἀτόμων, Χρύσιππος δὲ ἐν τῇ πρώτῃ τῶν φυσικῶν πρὸς τῷ τέλει, Ἀρχέδημος δ' ἐν τῷ Περὶ στοιχείων, καὶ Ποσειδώνιος ἐν τῷ β' τοῦ φυσικοῦ λόγου. διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ, εἶναι ἀγενήτους καὶ ἀφθάρτους· τὰ δὲ στοιχεῖα, κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ σώματα εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ, μεμορφῶσθαι. σῶμα δ' ἐστὶ (φησὶν Ἀπολλόδωρος ἐν τῇ φυσικῇ) τὸ τριχῇ διαστατόν, εἰς μῆκος, εἰς πλάτος, εἰς βάθος. τοῦτο δὲ καὶ στερεὸν σῶμα καλεῖται. ἐπιφάνεια δ' ἐστὶ σώματος πέρας, ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. ταύτην δὲ Ποσειδώνιος ἐν γ' Περὶ μετεώρων καὶ κατ' ἐπίνοιαν καὶ καθ' ὑπόστασιν ἀπολείπει. γραμμὴ δ' ἐστὶν ἐπιφανείας πέρας, ἢ μῆκος ἀπλατές, ἢ τὸ μῆκος μόνον ἔχον. στιγμὴ δ' ἐστὶ γραμμῆς πέρας, ἥτις ἐστὶ σημεῖον ἐλάχιστον. ἕν τε εἶναι θεὸν καὶ νοῦν, καὶ εἱμαρμένην καὶ Δία, πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα, τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιόνδε ὑπολιπέσθαι ἐν τῷ ὑγρῷ, ἐνεργὸν αὐτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτα ἀπογεννᾶν πρῶτον τὰ τέσσαρα

στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν. λέγει δὲ περὶ αὐτῶν Ζήνων τε ἐν τῷ Περὶ τοῦ ὅλου, καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν φυσικῶν, καὶ Ἀρχέδημος ἔν τινι Περὶ στοιχείων. ἔστι δὲ στοιχεῖον, ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὴ τέτταρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν τὴν ὕλην. εἶναι δὲ τὸ μὲν πῦρ, τὸ θερμόν· τὸ δὲ ὕδωρ, τὸ ὑγρόν· τόν τε ἀέρα, τὸ ψυχρόν· καὶ τὴν γῆν, τὸ ξηρόν· οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃν δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα· εἶτα ὕδωρ· ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν. λέγουσι δὲ κόσμον τριχῶς· αὐτόν τε τὸν θεὸν, τὸν ἐκ τῆς ἁπάσης οὐσίας ποιὸν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγέννητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους, ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν, καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀστέρων, κόσμον εἶναι λέγουσι· καὶ τρίτον, τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. καὶ ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τῶν ὅλων οὐσίας, ἢ (ὥς φησι Ποσειδώνιος ἐν τῇ μετεωρολογικῇ στοιχειώσει) σύστημα ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν τούτοις φύσεων· ἢ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων, καὶ τῶν ἕνεκα τούτων γεγονότων. οὐρανὸς δέ ἐστιν ἡ ἐσχάτη περιφέρεια, ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον. τὸν δὴ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν, καθά φησι Χρύσιππος ἐν τοῖς Περὶ προνοίας, καὶ Ποσειδώνιος ἐν τρισκαιδεκάτῳ Περὶ θεῶν, εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς. ἀλλ' ἤδη δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον. δι' ὧν μὲν γὰρ ὡς ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. οὕτω δὴ καὶ τὸν ὅλον κόσμον ζῶον ὄντα καὶ ἔμψυχον καὶ λογικὸν, ἔχειν ἡγεμονικὸν μὲν τὸν αἰθέρα, καθά φησιν Ἀντίπατρος ὁ Τύριος ἐν τῷ ὀγδόῳ

Περὶ κόσμου. Χρύσιππος δὲ ἐν τῷ πρώτῳ Περὶ προνοίας, καὶ Ποσειδώνιος ἐν τῷ Περὶ θεῶν, τὸν οὐρανόν φασι τὸ ἡγεμονικὸν τοῦ κόσμου· Κλεάνθης δὲ, τὸν ἥλιον. ὁ μέντοι Χρύσιππος διαφορώτερον πάλιν, τὸ καθαρώτερον τοῦ αἰθέρος ἐν ἑαυτῷ· ὃ καὶ πρῶτον θεὸν λέγουσιν αἰσθητικῶς ὥσπερ κεχωρηκέναι διὰ τῶν ἐν ἀέρι, καὶ διὰ τῶν ζώων ἁπάντων καὶ φυτῶν· διὰ δὲ τῆς γῆς αὐτῆς, καθ' ἕξιν ἕνα τὸν κόσμον εἶναι, καὶ τοῦτον πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές. πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ τοιοῦτον· καθά φησι Ποσειδώνιος ἐν ιε τοῦ φυσικοῦ λόγου, καὶ οἱ περὶ Ἀντίπατρον ἐν τοῖς Περὶ κόσμου. ἔξωθεν δὲ αὐτοῦ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον· ὅπερ ἀσώματον εἶναι. ἀσώματον δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχομένου. ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ' ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζειν τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια σύμπνοιαν καὶ συντονίαν· (φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ Περὶ κενοῦ, καὶ ἐν τῷ πρώτῳ τῶν φυσικῶν τεχνῶν, καὶ Ἀπολλοφάνης ἐν τῇ φυσικῇ, καὶ Ἀπολλόδωρος, καὶ Ποσειδώνιος ἐν δευτέρῳ τοῦ φυσικοῦ λόγου) εἶναι δὲ καὶ ταῦτα ἀσώματα, ὅμοια. ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα, ἀπείρους· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. ἀρέσκει δὲ αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γεννητὸν τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων, οὗ τε τὰ μέρη φθαρτά ἐστι καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά. (εἰς ἄλληλα γὰρ μεταβάλλει) φθαρτὸς ἄρα ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι. καὶ ὁ κόσμος δέ· ἐξαυχμοῦται γὰρ καὶ ἐξυδατοῦται. γίνεσθαι δὲ τὸν κόσμον, ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρόν, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαερωθῇ, καὶ τοῦτ' ἐπιπλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα κατὰ μίξιν ἐκ

τούτων, φυτά τε, καὶ ζῶα, καὶ τὰ ἄλλα γένη. περὶ δὴ οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ Περὶ ὅλου, Χρύσιππος δὲ ἐν τῷ α΄ τῶν φυσικῶν, καὶ Ποσειδώνιος ἐν α΄ Περὶ κόσμου, καὶ Κλεάνθης, καὶ Ἀντίπατρος ἐν τῷ ι΄ Περὶ κόσμου. Παναίτιος δὲ ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον. ὅτι δὲ καὶ ζῶον ὁ κόσμος, καὶ λογικὸν, καὶ ἔμψυχον, καὶ νοερὸν, καὶ Χρύσιππος ἐν α΄ φησὶ Περὶ προνοίας, καὶ Ἀπολλόδωρός φησιν ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος, ζῶον μὲν οὕτως ὄντα, οὐσίαν ἔμψυχον αἰσθητικήν. τὸ γὰρ ζῶον τοῦ μὴ ζώου κρεῖττον· οὐδὲν δὲ τοῦ κόσμου κρεῖττον· ζῶον ἄρα ὁ κόσμος. ἔμψυχον δὲ, ὡς δῆλον ἐκ τῆς ἡμετέρας ψυχῆς, ἐκεῖθεν οὔσης ἀποσπάσματος. Βοηθὸς δέ φησιν οὐκ εἶναι ζῶον τὸν κόσμον. ὅτι τε εἷς ἐστι, Ζήνων φησὶν ἐν τῷ Περὶ τοῦ ὅλου, καὶ Χρύσιππος, καὶ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ, καὶ Ποσειδώνιος ἐν α΄ τοῦ φυσικοῦ λόγου. τὸ δὲ πᾶν λέγεται (ὥς φησιν Ἀπολλόδωρος) ὅ, τε κόσμος, καὶ καθ᾽ ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου, καὶ τοῦ ἔξωθεν κενοῦ, σύστημα. ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστὶ· τὸ δὲ κενὸν, ἄπειρον. τῶν δὲ ἄστρων, τὰ μὲν ἀπλανῆ συμπεριφέρεσθαι τῷ ὅλῳ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ᾽ ἰδίας κινεῖσθαι κινήσεις. τὸν δὲ ἥλιον λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, ὁμοίως καὶ τὴν σελήνην, ἑλικοειδῆ. εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθά φησι Ποσειδώνιος ἐν τῷ ιζ΄ Περὶ μετεώρων· καὶ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ις΄ τοῦ φυσικοῦ λόγου· ἀλλὰ καὶ σφαιροειδῆ, (ὡς οἱ περὶ αὐτὸν τοῦτον φασὶν) ἀναλόγως τῷ κόσμῳ. πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ᾽ αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν. καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει. πάντοθεν δὲ βλέπεσθαι, διὰ τὸ μέγεθος. γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα καὶ τὰ ἄλλα ἄστρα· τὸν μὲν ἥλιον, ἐκ

τῆς μεγάλης θαλάττης νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν, καὶ πρόσγειον οὖσαν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ ἕκτῳ τοῦ φυσικοῦ λόγου· τὰ δ' ἄλλα, ἀπὸ τῆς γῆς. δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα, καὶ τὴν γῆν ἀκίνητον οὖσαν. τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς, ἀλλὰ παρ' ἡλίου λαμβάνειν ἐπιλαμπομένην. ἐκλείπειν δὲ τὸν μὲν ἥλιον, ἐπιπροσθούσης αὐτῷ σελήνης, κατὰ τὸ πρὸς ἡμᾶς μέρος, ὡς Ζήνων ἀναγράφει ἐν τῷ Περὶ ὅλου. φαίνεται γὰρ ὑπερχομένη ταῖς συνόδοις, καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα. γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης ὕδωρ ἐχούσης. τὴν δὲ σελήνην, ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς σκίασμα· ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν μόναις, καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ ἡλίῳ· ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη, παραλλάττει τῷ πλάτει, ἢ βορειοτέρα, ἢ νοτιωτέρα γινομένη. ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τὸν ἡλιακὸν καὶ τὸν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει. κινεῖται δὲ τὸ πλάτος αὐτῆς κατὰ τὸν διὰ μέσων ἐν χηλαῖς καὶ σκορπίῳ, καὶ κριῷ, καὶ ταύρῳ, ὡς οἱ περὶ τὸν Ποσειδώνιον. θεὸν δὲ, εἶναι ζῶον ἀθάνατον, λογικὸν, τέλειον, ἢ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. εἶναι δὲ τὸν μὲν, δημιουργὸν τῶν ὅλων, καὶ ὥσπερ πατέρα πάντων· κοινῶς τε, καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ φασι, δι' ὃν τὰ πάντα· καὶ Ζῆνα καλοῦσι, παρ' ὅσον τοῦ ζῆν αἴτιός ἐστιν, ἢ διὰ τοῦ ζῆν κεχώρηκεν· Ἀθηνᾶν δὲ, κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ· Ἥραν δὲ, κατὰ τὴν εἰς ἀέρα· καὶ Ἥφαιστον, κατὰ τὴν εἰς τὸ τεχνικὸν πῦρ· καὶ Ποσειδῶνα, κατὰ τὴν εἰς τὸ ὑγρόν· καὶ Δήμητραν, κατὰ τὴν εἰς γῆν· ὁμοίως δὲ καὶ τὰς ἄλλας

προσηγορίας ἐχόμενοι τινὸς οἰκειότητος ἀπέδοσαν. οὐσίαν δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον, καὶ τὸν οὐρανὸν, ὁμοίως δὲ καὶ Χρύσιππος ἐν τῷ ια΄ Περὶ θεῶν, καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ θεῶν· καὶ Ἀντίπατρος ἐν ζ΄ Περὶ κόσμου, ἀεροειδῆ φησὶν αὐτοῦ τὴν οὐσίαν. Βόηθος δὲ ἐν τῇ Περὶ φύσεως, οὐσίαν θεοῦ τὴν τῶν ἀπλανῶν σφαῖραν. φύσιν δὲ, ποτὲ μὲν ἀποφαίνονται τὴν συνέχουσαν τὸν κόσμον, ποτὲ δὲ τὴν φύουσαν τὰ ἐπὶ γῆς. ἔστι δὲ φύσις, ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς ἐν ὡρισμένοις χρόνοις, καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη. ταύτην δὲ καὶ τοῦ συμφέροντος στοχάζεσθαι ἡδονῆς, ὡς δῆλοι ἐκ τῆς τοῦ ἀνθρώπου δημιουργίας. καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι Χρύσιππος ἐν τοῖς Περὶ εἱμαρμένης, καὶ Ποσειδώνιος ἐν β΄ Περὶ εἱμαρμένης, καὶ Ζήνων· Βοηθὸς δὲ ἐν ια΄ Περὶ εἱμαρμένης. ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὄντων εἰρομένη, ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται. καὶ μὴν καὶ μαντικὴν ὑφεστάναι πᾶσάν φασιν, ἢ καὶ πρόνοιαν εἶναι· καὶ αὐτὴν, τέχνην ἀποφαίνουσι διά τινας ἐκβάσεις, ὥς φησι Ζήνων τε καὶ Χρύσιππος ἐν τῷ β΄ Περὶ μαντικῆς, καὶ Ἀθηνόδωρος καὶ Ποσειδώνιος ἐν τῷ ιβ΄ τοῦ φυσικοῦ λόγου, καὶ ἐν τῷ ε΄ Περὶ μαντικῆς. ὁ μὲν γὰρ Παναίτιος ἀνυπόστατον αὐτήν φησιν. οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην, ὡς καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν φυσικῶν, καὶ Ζήνων. ὕλη δέ ἐστιν ἐξ ἧς ὁτιδηποτοῦν γίνεται. καλεῖται δὲ διχῶς, οὐσία τε καὶ ὕλη, ἥ τε τῶν πάντων καὶ ἡ τῶν ἐπὶ μέρους. ἡ μὲν οὖν τῶν ὅλων, οὔτε πλείω οὔτε ἐλάττων γίνεται· ἡ δὲ τῶν ἐπὶ μέρους, καὶ πλείων καὶ ἐλάττων. σῶμα δέ ἐστι κατ' αὐτοὺς, ἡ οὐσία καὶ πεπερασμένη, καθά φησιν Ἀντίπατρος ἐν δευτέρῳ Περὶ οὐσίας, καὶ Ἀπολλόδωρος ἐν τῇ φυσικῇ. καὶ παθητὴ δέ ἐστιν, ὡς αὐτός φησιν· εἰ γὰρ ἦν ἄτρεπτος, οὐκ ἂν τὰ γινόμενα ἐξ αὐτῆς

ίνετο· ἔνθεν κἀκεῖνο ὅτι τομὴ εἰς ἄπειρόν ἐστιν. οὐκ ἄπει-
ν δέ φησιν αὐτὴν ὁ Χρύσιππος· οὐ γάρ ἐστί τι ἄπει-
ν, εἰς ὃ γίνεται ἡ τομή. ἀλλὰ ἀκατάληκτός ἐστι.
αὶ τὰς κράσεις δὲ διόλου γίνεσθαι (καθά φησιν ὁ
ρύσιππος ἐν τῇ τρίτῃ τῶν φυσικῶν) καὶ μὴ κατὰ περιγρα-
ὴν καὶ παράθεσιν· καὶ γὰρ εἰς πέλαγος ὀλίγος οἶνος βλη-
εὶς, ἐπὶ ποσὸν ἀντιπαρεκταθήσεται, εἶτα συμφθαρήσεται.
ασὶ δὲ εἶναι καί τινας δαίμονας, ἀνθρώπων συμπάθειαν ἔ-
οντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων· καὶ ἥρωας,
ὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς. τῶν δὲ ἐν
έρι γινομένων, χειμῶνα μὲν εἶναι φασὶ τὸν ὑπὲρ γῆς ἀέρα
ατεψυγμένον, διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον· ἔαρ δὲ, τὴν
κρασίαν τοῦ ἀέρος, κατὰ τὴν πρὸς ἡμᾶς πορείαν· θέρος
ὲ, τὸν ὑπὲρ γῆς ἀέρα, καταθαλπόμενον τῇ τοῦ ἡλίου πρὸς
ρκτον πορείᾳ· μετόπωρον δὲ, τῇ παλινδρομίᾳ τοῦ ἡλίου
φ' ἡμῶν γίνεσθαι.* παρὰ τοὺς τόπους ἀφ' ὧν ῥέουσι. τῆς δὲ
νέσεως αὐτῶν αἴτιον γίνεσθαι τὸν ἥλιον, ἐξατμίζοντα τὰ
έφη. ἶριν δὲ εἶναι αὐγὰς ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμέ-
ας, ἢ (ὡς Ποσειδώνιος φησὶν ἐν τῇ μετεωρολογικῇ) ἔμφα-
ς ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει δεδροσισμένῳ
ίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φαν-
ζομένη κατὰ κύκλου περιφέρειαν. κομήτας τε καὶ πω-
νίας καὶ λαμπαδίας, πυρὰ εἶναι ὑφεστῶτα, πάχους ἀέρος
ς τὸν αἰθερώδη τόπον ἀνενεχθέντος. σέλας δὲ, πυρὸς ἀθρό
ἔξαψιν ἐν ἀέρι φερομένου ταχέως, καὶ φαντασίαν μή-
υς ἐμφαίνοντος. ὑετὸν δὲ, ἐκ νέφους μεταβολὴν εἰς ὕ-
ωρ, ἐπειδὰν ἢ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρα-
α ἀφ' ἡλίου μὴ τυγχάνῃ κατεργασίας· καταψυχθὲν δὲ
ὸ πάχνην καλεῖσθαι. χάλαζαν δὲ, νέφος πεπηγὸς,
ὸ πνεύματος διαθρυφθέν. χιόνα δὲ, ὑγρὸν ἐκ νέφους
επηγότος, ὡς Ποσειδώνιος ἐν τῷ ὀγδόῳ τοῦ φυσικοῦ λόγου.
στραπὴν δὲ, ἔξαψιν νεφῶν παρατριβομένων, ἢ ῥηγνυ-

γινομένων ὑπὸ πνεύματος· ὡς Ζήνων ἐν τῷ Περὶ ὅλου. βροντὴν δὲ, τὸν τούτων ψόφον, ἐκ παρατρίψεως ἢ ῥήξεως. κεραυνὸν δὲ, ἔξαψιν σφοδρὰν μετὰ πολλῆς βίας πίπτουσαν ἐπὶ γῆς, νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων. οἱ δὲ, συστροφὴν πυρώδους ἀέρος βιαίως καταφερομένην. τυφῶνα δὲ, κεραυνὸν πολὺν βίαιον καὶ πνευματώδη, ἢ πνεῦμα καπνῶδες ἐρρωγότος νέφους. πρηστῆρα, νέφος περιχυθὲν πυρὶ μετὰ πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς ἢ καθειρχθέντος πνεύματος ἐν τῇ γῇ, καθά φησι Ποσειδώνιος ἐν τῇ η. εἶναι δ' αὐτῶν τοὺς μὲν, σεισματίας· τοὺς δὲ χασματίας· τοὺς δὲ, καυματίας· τοὺς δὲ, βρασματίας. ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν διακόσμησιν ὧδε ἔχειν. μέσην τὴν γῆν κέντρου λόγον ἐπέχουσαν, μεθ' ἣν τὸ ὕδωρ σφαιροειδὲς, ἔχον τὸ αὐτὸ κέντρον τῇ γῇ· ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι. μετὰ τὸ ὕδωρ δὲ, ἀέρα ἐσφαιρωμένον. κύκλους δ' εἶναι ἐν τῷ οὐρανῷ πέντε, ὧν πρῶτον, ἀρκτικὸν, ἀεὶ φαινόμενον· δεύτερον, τροπικὸν θερινόν· τρίτον, ἰσημερινόν· τέταρτον, χειμερινὸν τροπικόν· πέμπτον, ἀνταρκτικὸν, ἀφανῆ. λέγονται δὲ παράλληλοι καθότι οὐ συμβαίνουσιν εἰς ἀλλήλους· γράφονται μέντοι περὶ τὸν αὐτὸν πόλον. ὁ δὲ ζωδιακὸς, λοξός ἐστιν, ὡς ἐπιὼν τοὺς παραλλήλους. ζῶναί τ' ἐπὶ τῆς γῆς εἰσὶ πέντε· πρώτη, βόρειος, καὶ ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψύχος· δευτέρα, εὔκρατος· τρίτη, ἀοίκητος ὑπὸ καυμάτων, ἡ διακεκαυμένη καλουμένη· τετάρτη, ἡ ἀντεύκρατος· πέμπτη, νότιος, ἀοίκητος διὰ ψύχος. δοκεῖ δὲ αὐτοῖς τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικὸν, ὁδῷ βαδίζον εἰς γένεσιν, ὅπερ ἐστὶ πνεῦμα πυροειδὲς καὶ τεχνοειδές· τὴν δὲ ψυχὴν, αἰσθητικήν. ταύτην δ' εἶναι τὸ συμφυὲς ἡμῖν πνεῦμα· διὸ καὶ σῶμα εἶναι, καὶ μετὰ τὸν θάνατον ἐπιμένειν. φθαρτὴν δ' εἶναι. τὴν δὲ τῶν ὅλων ἄφθαρτον, ἧς μέρη εἶναι τὰς ἐν τοῖς ζώοις. Ζήνων δ' ὁ Κιτιεὺς καὶ Ἀντίπατρος ἐν τοῖς Περὶ ψυχῆς καὶ Ποσειδώνιος.

πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν. τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους, καὶ ὑπὸ τούτου κινεῖσθαι. Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν τὰς μέχρις ἐκπυρώσεως· Χρύσιππος δὲ, τὰς τῶν σοφῶν μόνων. μέρη δὲ ψυχῆς λέγουσιν ὀκτὼ, τὰς πέντε αἰσθήσεις, καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους, καὶ τὸ φωνητικὸν, καὶ τὸ λογιστικόν. ὁρᾶν δὲ, τοῦ μεταξὺ τῆς ὁράσεως καὶ τοῦ ὑποκειμένου φωτὸς, ἐντεινομένου κωνοειδῶς· καθά φησι Χρύσιππος ἐν δευτέρῳ τῶν φυσικῶν, καὶ Ἀπολλόδωρος. γίνεσθαι μέντοι τὸ κωνοειδὲς τοῦ ἀέρος πρὸς τῇ ὄψει· τὴν δὲ βάσιν, πρὸς τῷ ὁρωμένῳ· ὡς διὰ βακτηρίας οὖν τοῦ ταθέντος ἀέρος τὸ βλεπόμενον ἀναγγέλλεσθαι. ἀκούειν δὲ, τοῦ μεταξὺ τοῦ τε φωνοῦντος καὶ τοῦ ἀκούοντος ἀέρος, πληττομένου σφαιροειδῶς, εἶτα κυματουμένου, καὶ ταῖς ἀκοαῖς προσπίπτοντος, ὡς κυματοῦται τὸ ἐν τῇ δεξαμενῇ ὕδωρ κατὰ κύκλους ὑπὸ τοῦ ἐμβληθέντος λίθου. τὸν δὲ ὕπνον γίνεσθαι, ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. αἰτίας δὲ τῶν παθῶν ἀπολείπουσι τὰς περὶ τὸ πνεῦμα τροπάς. σπέρμα δὲ λέγουσιν εἶναι, τὸ οἷόν τε γεννᾶν τοιαῦτα ἀφ᾽ οἵου καὶ αὐτὸ ἀπεκρίθη. ἀνθρώπου δὲ σπέρμα, ὃ μεθίησιν ὁ ἄνθρωπος, μεθ᾽ ὑγροῦ συγκιρνᾶσθαι τοῖς τῆς ψυχῆς μέρεσιν, κατὰ μιγμὸν τοῦ τῶν προγόνων λόγου. εἶναι δὲ αὐτὸ Χρύσιππός φησιν ἐν τῇ δευτέρᾳ τῶν φυσικῶν, πνεῦμα κατὰ τὴν οὐσίαν· ὡς δῆλον ἐκ τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα οὐκέτι φύεται, ὡς δῆλον διαπεπνευκυίας αὐτοῖς τῆς δυνάμεως. καὶ ἀφ᾽ ὅλων δὲ τῶν σωμάτων αὐτό φασι καταφέρεσθαι οἱ περὶ τὸν Σφαῖρον. πάντων γοῦν γεννητικὸν εἶναι τῶν τοῦ σώματος μερῶν. τὸ δὲ τῆς θηλείας, ἄγονον ἀποφαίνονται· ἄπνον τε εἶναι καὶ ὀλίγον, καὶ ὑδατῶδες, ὡς ὁ Σφαῖρος φησίν. ἡγεμονικὸν δὲ εἶναι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀνα-

πέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ. ταῦτα μὲν καὶ τὰ φυσικά, τὸ ὅσον ἡμῖν ἀποχρηστικῶς ἔχειν δοκεῖ, στοχαζομένοις τῆς συμμετρείας τοῦ συγγράμματος. ἃ δέ τινες ἐν αὐτῇ διηνέχθησαν, ἐστὶ τάδε.

Ἀρίστων ὁ Χῖος ὁ Φάλανθος, ἐπικαλούμενος Σειρὴν, τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας, μηδ' ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα. εἶναι γὰρ ὅμοιον τῷ ἀγαθῷ ὑποκριτῇ τὸν σοφόν· ὃς ἄν τε Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρίνεται προσηκόντως. τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνῄρει, λέγων τὸν μὲν, εἶναι ὑπὲρ ἡμᾶς· τὸν δ', οὐδὲν πρὸς ἡμᾶς. μόνον δὲ τὸν ἠθικὸν εἶναι πρὸς ἡμᾶς. ἐοικέναι δὲ τοὺς διαλεκτικοὺς λόγους τοῖς ἀραχνίοις, ἃ καίτοι δοκοῦντα τεχνικόν τι ἐμφαίνειν, ἄχρηστά ἐστιν. ἀρετάς τε οὔτε πολλὰς εἰσῆγεν, ὡς ὁ Ζήνων, οὔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην (ὡς οἱ Μεγαρικοί) ἀλλὰ κατὰ τὸ πρός τί πως ἔχειν. οὕτως δὲ φιλοσοφῶν καὶ ἐν Κυνοσάργει διαλεγόμενος, ἴσχυσεν αἱρετιστὴς ἀκοῦσαι. Μιλτιάδης οὖν καὶ Δίφιλος Ἀριστώνειοι προσηγορεύοντο. ἦν δέ τις πειστικὸς, καὶ ὄχλῳ πεποιημένος. ὅθεν ὁ Τίμων φησὶ περὶ αὐτοῦ,

Καί τις Ἀρίστωνος γένυος ἄπο αἱμύλου ἕλκων.

παραβαλὼν δὲ Πολέμωνι, (φησὶ Διοκλῆς ὁ Μάγνης) μετέθετο, Ζήνωνος ἀρρωστίᾳ μακρᾷ περιπεσόντος. μάλιστα δὲ προσεῖχε Στωϊκῷ δόγματι, τῷ τὸν σοφὸν δόξαστον εἶναι. πρὸς ὃ Περσαῖος ἐναντιούμενος, διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν: καὶ οὕτως ἀπορούμενον διήλεγξεν. ἀπετείνετο δὲ πρὸς Ἀρκεσίλαον· ὅτε θεασάμενος ταῦρον τερατώδη μήτραν ἔχοντα, Οἴμοι, ἔφη, δέδοται Ἀρκεσιλάῳ ἐπιχείρημα κατὰ τῆς ἐναργείας. πρὸς δὲ τὸν φάμενον Ἀκαδημαϊκὸν οὐδὲν καταλαμβάνειν, Ἆρ' οὐδὲ τὸν πλησίον

τὸν καθήμενον ὁρᾷς; εἶπεν· ἀρνησαμένου δέ,

Τίς σ' ἐτύφλωσεν (ἔφη) τίς ἀφείλετο λαμπάδος αὐγάς;

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε. Προτρεπτικῶν β΄· Περὶ Ζήνωνος δογμάτων διάλογοι σχολῶν ς΄· Περὶ σοφίας διατριβῶν ζ΄· Ἐρωτικαὶ διατριβαί, Ὑπομνήματα περὶ κενοδοξίας, Ὑπομνήματα τῶν κε΄ ἀπομνημονευμάτων γ΄· Χρειῶν ια΄, Πρὸς τοὺς ῥήτορας, Πρὸς τὰς Ἀλεξίνου ἀντιγραφάς, Πρὸς τοὺς διαλεκτικούς γ΄· Πρὸς Κλεάνθην ἐπιστολῶν δ΄· Παναίτιος δὲ καὶ Σωσικράτης μόνας αὐτοῦ τὰς ἐπιστολάς φασι· τὰ δὲ ἄλλα, τοῦ περιπατητικοῦ Ἀρίστωνος.

Τοῦτον λόγος φαλακρὸν ὄντα ἐγκαυθῆναι ὑπὸ ἡλίου, καὶ ὧδε τελευτῆσαι. προσεπαίξαμεν δὲ αὐτῷ τόνδε τὸν τρόπον ἰάμβῳ τῷ χωλῷ,

Τί δὴ γέρων ὢν καὶ φάλανθος ὦ Ἀρίστων
Τὸ βρέγμα δῶκας ἡλίῳ κατοπτῆσαι;
Τὸ γὰρ τὸ θερμὸν πλεῖον ἢ δέον ζητῶν,
Τὸν ψυχρὸν ὄντως εὗρες οὐ θέλων ᾅδην.

Γέγονε δὲ καὶ ἄλλος Ἀρίστων Ἰλιήτης περιπατητικός· ὁ τρίτος, μουσικὸς Ἀθηναῖος· τέταρτος, ποιητὴς τραγῳδίας· πέμπτος, Ἁλαιεύς, τέχνας γεγραφὼς ῥητορικάς· ἕκτος, Ἀλεξανδρεὺς περιπατητικός.

Ἥριλλος δὲ ὁ Καρχηδόνιος τέλος εἶπε τὴν ἐπιστήμην, ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντα ἀναφέροντα πρὸς τὸ μετ' ἐπιστήμης ζῆν, καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον. εἶναι δὲ τὴν ἐπιστήμην, ἕξιν ἐν φαντασιῶν προσδέξει ἀνυπόπτωτον ὑπὸ λόγου. ποτὲ δὲ ἔλεγε μηδὲν εἶναι τέλος, ἀλλὰ καὶ τὰς περιστάσεις καὶ τὰ πράγματα ἀλλάττεσθαι αὐτό· ὡς καὶ τὸν αὐτὸν χαλκὸν ἢ Ἀλεξάνδρου γινόμενον ἀνδριάντα, ἢ Σωκράτους. διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα. τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δέ, μόνον τὸν σοφόν. τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας, ἀδιάφορα εἶναι. ἔστι δὲ τὰ βιβλία αὐτοῦ, ὀλιγόστιχα μέν, δυνάμεως δὲ μεστά, καὶ

περιέχοντα ἀντιρρήσεις πρὸς Ζήνωνα. λέγεται δὲ ὅτι παιδὸς ὄντος αὐτοῦ ἠράσθησαν ἱκανοί, οὓς ἀποτρέψαι βουλόμενος ὁ Ζήνων ἠνάγκασε ξυρᾶσθαι Ἥριλλον· οἱ δ', ἀπετράποντο. τὰ δὲ βιβλία ἐστὶ τάδε, Περὶ ἀσκήσεως. Περὶ παθῶν, Περὶ ὑπολήψεως, Νομοθέτης, Μαιευτικός. Ἀντιφέρων διδάσκαλος, Διασκευάζων, Εὐθύνων, Ἑρμῆς. Μήδεια, Διάλογοι, Θέσεων ἠθικῶν.

Διονύσιος δ' ὁ Μεταθέμενος τέλος εἶπε τὴν ἡδονὴν, διὰ περίστασιν ὀφθαλμίας. ἀλγήσας γὰρ ἐπιπόνως, ὤκνησε εἰπεῖν τὸν πόνον ἀδιάφορον. ἦν δὲ παῖς μὲν Θεοφάντου πόλεως δὲ Ἡρακλείας. ἤκουσε δὲ (καθά φησι Διοκλῆς πρῶτον μὲν Ἡρακλείδου τοῦ πολίτου, ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου, τελευταῖον δὲ Ζήνωνος. καὶ κατ' ἀρχὰς μὲν φιλογράμματος ὢν, παντοδαποῖς ἐπεχείρει ποιήμασιν· ἔπειτα δὲ καὶ Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν. ἀποστὰς δὲ τοῦ Ζήνωνος, πρὸς τοὺς Κυρηναϊκοὺς ἀπετράπη, καὶ εἴς τε τὰ χαμαιτυπεῖα εἰσῄει, καὶ τἄλλα ἀπαρακαλύπτως ἡδυπάθει. βιοὺς δὲ πρὸς τὰ ὀγδοήκοντα, ἀσιτίᾳ κατέστρεψε. βιβλία δὲ αὐτοῦ φέρεται τάδε, Περὶ ἀπαθείας β΄. Περὶ ἀσκήσεως β΄. Περὶ ἡδονῆς δ΄. Περὶ πλούτου, καὶ χάριτος, καὶ τιμωρίας, Περὶ ἀνθρώπων χρήσεως, Περὶ εὐτυχίας, Περὶ ἀρχαίων βασιλέων, Περὶ τῶν ἐπαινουμένων, Περὶ βαρβαρικῶν ἐθῶν.

Καὶ οὗτοι μὲν οἱ διενεχθέντες. διεδέξατο δὲ τὸν Ζήνωνα Κλεάνθης, περὶ οὗ λεκτέον.

## ΚΛΕΑΝΘΗΣ.

Κλεάνθης Φανίου, Ἄσιος. οὗτος πρῶτον ἦν πύκτης, ὥς φησιν Ἀντισθένης ἐν διαδοχαῖς· ἀφικόμενος εἰς Ἀθήνας, τέσσαρας ἔχων δραχμὰς (καθά φασι τινὲς) καὶ Ζήνωνι παραβαλὼν, ἐφιλοσόφησε γενναιότατα, καὶ

ἐπὶ τῶν αὐτῶν ἔμεινε δογμάτων. διεβοήθη δ' ἐπὶ φιλοπονίᾳ, ὅς γε πένης ὢν ἄγαν ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δ' ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. φασὶ δ' αὐτὸν καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τόν τε κηπουρὸν μάρτυρα παρασχόντα παρ' ὃν ἤντλει, καὶ τὴν ἀλφιτόπωλιν παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν. ἀποδεξαμένους δ' αὐτὸν τοὺς Ἀρεωπαγίτας, ψηφίσασθαι δέκα μνᾶς δοθῆναι· Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ τρισχιλίας δοῦναι. ἡγούμενόν τε τῶν ἐφήβων ἐπί τινα θέαν, ὑπ' ἀνέμου παραγυμνωθῆναι, καὶ ὀφθῆναι ἀχίτωνα· ἐφ' ᾧ κρότῳ τιμηθῆναι ὑπὸ Ἀθηναίων, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς ὁμωνύμοις. ἐθαυμάσθη οὖν ἤδη καὶ διὰ τόδε. φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατὴν, διὰ τί ἀντλεῖ· τὸν δ' εἰπεῖν, Ἀντλῶ γὰρ μόνον; τί δ' οὐχὶ σκάπτω; τί δ' οὐκ ἄρδω, καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα; καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο, καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. καί ποτε ἀθροισθὲν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων, καί φησι, Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν τραφήσονται, παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες. ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ὁ Κλεάνθης ἐκαλεῖτο. ἦν δὴ πονικὸς μὲν, ἀφυσικὸς δὲ, καὶ βραδὺς ὑπερβαλλόντως. διὸ καὶ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως,

Τίς δ' οὗτος κτίλος ὡς ἐπιπωλεῖται στίχας ἀνδρῶν,
Μωλύτης, ἐπέων φίλος, Ἄσιος, ὅλμος, ἄτολμος;

καὶ σκωπτόμενος δ' ὑπὸ τῶν συμμαθητῶν ἠνείχετο, καὶ ὄνος ἀκούων προσεδέχετο· λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον. καί ποτε ὀνειδιζόμενος ὡς

δῆλος, Διὰ τοῦτο, εἶπεν, ὀλίγα ἁμαρτάνω. προκρίνων δὲ τὸν ἑαυτοῦ βίον τοῦ τῶν πλησίον, ἔλεγεν, ἐν ᾧ σφαιρίζουσιν ἐκεῖνοι, τὴν σκληρὰν καὶ ἄκαρπον ἐργάζεσθαι, σκάπτων. πολλάκις καὶ ἑαυτῷ ἐπέπληττεν· ὧν ἀκούσας Ἀρίστων, Τίνι, ἔφη, ἐπιπλήττεις; καὶ ὅς, γελάσας, Πρεσβύτῃ, φησί, πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή. εἰπόντος δέ τινος Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, Παῦσαι, ἔφη, καὶ μὴ ψέγε. εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ· καὶ ὁ Ἀρκεσίλαος, Οὐ κολακεύομαι, φησί. πρὸς ὃν ὁ Κλεάνθης, Ναί, ἔφη, σὲ κολακεύω, φάμενος ἄλλα μὲν λέγειν, ἕτερα δὲ ποιεῖν. ἐρομένου τινὸς τί ὑποτίθεσθαι δεῖ τῷ υἱῷ, Τὸ ἐκ τῆς Ἠλέκτρας, ἔφη,

Σῖγα, σῖγα, λεπτὸν ἴχνος.

Λάκωνος τινὸς εἰπόντος ὅτι ὁ πόνος ἀγαθόν, διαχυθείς φησιν,

Αἵματος εἶς ἀγαθοῖο φίλον τέκος.

φησὶ δὲ ὁ Ἑκάτων ἐν ταῖς χρείαις, εὐμόρφου μειρακίου εἰπόντος, Εἰ ὁ εἰς τὴν γαστέρα τύπτων γαστρίζει, καὶ ὁ εἰς τοὺς μηροὺς τύπτων, μηρίζει, ἔφη, Σὺ μὲν τοὺς διαμηρισμοὺς ἔχε, μειράκιον· αἱ δ' ἀνάλογοι φωναὶ τὰ ἀνάλογα οὐ πάντως σημαίνουσι πράγματα. μειρακίῳ ποτὲ διαλεγόμενος, ἐπύθετο εἰ αἰσθάνεται· τοῦ δ' ἐπινεύσαντος, Διὰ τί οὖν, εἶπεν, ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνῃ; Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν παρόντα,

Οὓς ἡ Κλεάνθους μωρεία βοηλατεῖ,

ἔμεινεν ἐπὶ ταὐτοῦ σχήματος. ἐφ' ᾧ ἀγασθέντες οἱ ἀκροαταί, τὸν μὲν ἐκρότησαν, τὸν δὲ Σωσίθεον ἐξέβαλον. μεταγινώσκοντα δ' αὐτὸν ἐπὶ τῇ λοιδορείᾳ προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δὲ ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. ἔλεγε δὲ καὶ τοὺς ἐκ τοῦ

περιπάτου ὅμοιόν τι πάσχειν ταῖς λύραις, αἳ καλῶς φθεγξάμεναι αὑτῶν οὐκ ἀκούουσι. λέγεται δὲ, φάσκοντος αὐτοῦ, κατὰ Ζήνωνα, καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους τινὰς εὐτραπέλους ἀγαγεῖν πρὸς αὐτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγρῷ, καὶ ἀξιοῦν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· τὸν δὲ, διαπορούμενον, κελεῦσαι ἀπιέναι τὸν ἄνθρωπον. ὡς δὲ ἀπιὼν ἐκεῖνος ἔπταρεν, Ἔχω, εἶπεν, αὐτὸν, ὁ Κλεάνθης. μαλακός ἐστι. πρὸς δὲ τὸν μονήρη καὶ ἑαυτῷ λαλοῦντα, Οὐ φαύλῳ, ἔφη, ἀνθρώπῳ λαλεῖς. ὀνειδίσαντος αὐτῷ τινὸς εἰς τὸ γῆρας, Κἀγὼ, ἔφη, ἀπιέναι βούλομαι· ὅταν δὲ πανταχόθεν ἐμαυτὸν ὑγιαίνοντα περινοῶ, καὶ γράφοντα, καὶ ἀναγινώσκοντα, πάλιν μένω. τοῦτόν φασιν εἰς ὄστρακα καὶ βοῶν ὠμοπλάτας γράφειν ἅπερ ἤκουεν ἀπ' αὐτοῦ Ζήνωνος, ἀπορίᾳ κερμάτων ὥστε ὠνήσασθαι χάρτια. τοιοῦτος δὲ ὢν, ἐξίσχυσε, πολλῶν καὶ ἄλλων ὄντων ἀξιολόγων Ζήνωνος μαθητῶν, αὐτὸς διαδέξασθαι τὴν σχολήν. βιβλία δὲ κάλλιστα καταλέλοιπεν, ἅ ἐστι τάδε, Περὶ χρόνου, Περὶ τῆς τοῦ Ζήνωνος φυσιολογίας, δύο τῶν Ἡρακλείτου Ἐξηγήσεις, τέσσαρα Περὶ αἰσθήσεως, Περὶ τέχνης, Πρὸς Δημόκριτον, Πρὸς Ἀρίσταρχον, Πρὸς Ἥριλλον, Περὶ ὁρμῆς δύο, Ἀρχαιολογία, Περὶ θεῶν, Περὶ γιγάντων, Περὶ ὑμεναίου, Περὶ τοῦ ποιητοῦ, Περὶ τοῦ καθήκοντος, γ΄ Περὶ εὐβουλίας, Περὶ χάριτος, Προτρεπτικὸς, Περὶ ἀρετῶν, Περὶ εὐφυΐας, Περὶ Γοργίππου, Περὶ φθονερίας, Περὶ ἔρωτος, Περὶ ἐλευθερίας, Ἐρωτικὴ τέχνη, Περὶ τιμῆς, Περὶ δόξης, Πολιτικὸς, Περὶ βουλῆς, Περὶ νόμων, Περὶ τοῦ δικάζειν, Περὶ ἀγωγῆς, Περὶ τοῦ λόγου, γ΄ Περὶ τέλους, Περὶ καλῶν, Περὶ πράξεων, Περὶ ἐπιστήμης, Περὶ βασιλείας, Περὶ φιλίας, Περὶ συμποσίου, Περὶ τοῦ ὅτι ἡ αὐτὴ ἀρετὴ καὶ ἀνδρὸς καὶ γυναικὸς, Περὶ τοῦ τὸν σοφὸν σοφιστεύειν, Περὶ χρειῶν, Διατριβῶν, β΄ Περὶ ἡδονῆς, Περὶ ἰδίων, Περὶ τῶν ἀπόρων, Περὶ διαλεκτικῆς,

Περὶ τρόπων, Περὶ κατηγορημάτων. ταῦτα αὐτῷ τὰ βιβλία. καὶ τελευτᾷ τόνδε τὸν τρόπον. διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καὶ πως ἔσχε καλῶς, ὥς τε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν· τὸν δὲ, μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοιπορῆσθαι, καὶ τὰς λοιπὰς ἀνασχόμενον, τελευτῆσαι· ταυτὰ Ζήνωνι (καθά φασι τινὲς) π' ἔτη βιώσαντα, καὶ ἀκούσαντα Ζήνωνος ἔτη ἐννεακαίδεκα. ἐπαίξαμεν δὲ καὶ ἡμεῖς πρὸς αὐτὸν οὕτως,

Αἰνῶ Κλεάνθην, ἀλλὰ μᾶλλον Ἀΐδην.
Ἰδὼν γὰρ αὐτὸν πρέσβυν, οὐκ ἠνέσχετο
Μὴ οὐ τὸ λοιπὸν ἄνεσιν ἐν φθιτοῖς ἔχειν,
Τοσοῦτον ἀντλήσαντα τοῦ βίου χρόνον.

## ΣΦΑΙ̃ΡΟΣ.

Τούτου (καθὰ προειρήκαμεν) ἤκουσε μετὰ Ζήνωνα καὶ Σφαῖρος ὁ Βοσπορανός· ὃς προκοπὴν ἱκανὴν περιποιησάμενος ἐν λόγῳ, εἰς Ἀλεξάνδρειαν ἀπῄει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα. λόγου δέ ποτε γενομένου περὶ τοῦ δοξάσειν τὸν σοφὸν, καὶ τοῦ Σφαίρου εἰπόντος ὡς οὐ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτὸν, κηρίνας ῥόας ἐκέλευσε παρατεθῆναι· τοῦ δὲ Σφαίρου ἀπατηθέντος, ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν φαντασίᾳ. πρὸς ὃν ὁ Σφαῖρος εὐστόχως ἀπεκρίνατο, εἰπὼν, οὕτως συγκατατεθεῖσθαι, οὐχ ὅτι ῥόαι εἰσὶν, ἀλλ' ὅτι εὔλογόν ἐστιν ῥόας αὐτὰς εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου. πρὸς δὲ Μνησίστρατον, κατηγοροῦντα αὐτοῦ ὅτι Πτολεμαῖον οὔ φησι βασιλέα εἶναι, οὐκ εἶναι ἔφη· τοιοῦτον δὲ ὄντα τὸν Πτολεμαῖον, καὶ βασιλέα εἶναι. βιβλία δὲ γέγραφε

τὰ δὲ, Περὶ κόσμου, β΄· Περὶ στοιχείων σπέρματος, Περὶ τύχης, Περὶ ἐλαχίστων, Πρὸς τὰς ἀτόμους καὶ τὰ εἴδωλα, Περὶ αἰσθητηρίων, Περὶ Ἡρακλείτου ε΄ διατριβῶν, Περὶ τῆς ἠθικῆς διατάξεως, Περὶ καθήκοντος, Περὶ ὁρμῆς, Περὶ παθῶν, β΄· Περὶ βασιλείας, Περὶ Λακωνικῆς πολιτείας, Περὶ Λυκούργου καὶ Σωκράτους, γ΄· Περὶ νόμου, Περὶ μαντικῆς, Διαλόγους ἐρωτικούς, Περὶ τῶν Ἐρετριακῶν φιλοσόφων, Περὶ ὁμοίων, Περὶ ὅρων, Περὶ ἕξεως, Περὶ τῶν ἀντιλεγομένων τρεῖς, Περὶ λόγου, Περὶ πλούτου, Περὶ δόξης, Περὶ θανάτου, Τέχνης διαλεκτικῆς, β΄· Περὶ κατηγορημάτων, Περὶ ἀμφιβολιῶν, Ἐπιστολάς.

## ΧΡΥΣΙΠΠΟΣ.

Χρύσιππος Ἀπολλωνίου, Σολεὺς ἢ Ταρσεὺς, (ὡς Ἀλέξανδρος ἐν διαδοχαῖς) μαθητὴς Κλεάνθους. οὗτος πρότερον μὲν δόλιχον ἤσκει, ἔπειτα ἀκούσας Ζήνωνος, ἢ Κλεάνθους, (ὡς Διοκλῆς καὶ οἱ πλείους) ἔτι τε ζῶντος ἀπέστη αὐτοῦ, καὶ οὐχ ὁ τυχὼν ἐγένετο κατὰ φιλοσοφίαν· ἀνὴρ εὐφυὴς καὶ ὀξύτατος ἐν παντὶ μέρει, οὕτως ὥστε καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην, ᾧ καὶ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρῄζειν, τὰς δὲ ἀποδείξεις αὐτὸν εὑρήσειν. μετενόει μέντοι ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο· ὥστε συνεχὲς προφέρεσθαι ταῦτα,

Ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνὴρ
Πλὴν εἰς Κλεάνθην· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

οὕτω δ' ἐπίδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο, ὥστε δοκεῖν τοὺς πλείους ὅτι εἰ παρὰ θεοῖς ἦν ἡ διαλεκτικὴ, οὐκ ἂν ἦν ἄλλη ἢ ἡ Χρυσίππειος. πλεονάσας δὲ τοῖς πράγμασι, τὴν λέξιν οὐ κατώρθωσε. πονικώτατός τε παρ' ὁντινοῦν γέγονεν,

ὡς δῆλον ἐκ τῶν συγγραμμάτων αὐτοῦ, ἃ τὸν ἀριθμὸν ὑπὲρ πέντε καὶ ἑπτακόσια ἐστίν. ἐπλήθυνε δὲ αὐτὰ πολλάκις ὑπὲρ τοῦ αὐτοῦ δόγματος ἐπιχειρῶν, καὶ πᾶν τὸ ὑποπεσὸν γράφων καὶ διορθούμενος πλεονάκις πλείστῃ τε τῶν μαρτυριῶν παραθέσει χρώμενος. ὥστε καὶ ἐπειδή ποτε ἔν τινι τῶν συγγραμμάτων παρ' ὀλίγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρετίθετο, καί τις μετὰ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν πυθόμενον τί ἄρα ἔχοι, ἔφη, Χρυσίππου Μήδειαν. καὶ Ἀπολλόδωρος δὲ ὁ Ἀθηναῖος ἐν τῇ συναγωγῇ τῶν δογμάτων βουλόμενος παριστάνειν ὅτι τὰ Ἐπικούρου οἰκείᾳ δυνάμει γεγραμμένα, καὶ ἀπαράθετα ὄντα, μυρίῳ πλείω ἐστὶ τῶν Χρυσίππου βιβλίων, φησὶν οὕτως αὐτῇ τῇ λέξει, Εἰ γάρ τις ἀφέλοι τῶν Χρυσίππου βιβλίων ὅσ' ἀλλότρια παρατέθειται, κενὸς αὐτῷ ὁ χάρτης καταλελείψεται. καὶ ταῦτα μὲν Ἀπολλόδωρος. ἡ δὲ παρεδρεύουσα πρεσβῦτις αὐτῷ (ὥς φησι Διοκλῆς) ἔλεγεν ὡς πεντακοσίους γράφει στίχους ἡμερησίους. Ἑκάτων δέ φησιν ἐλθεῖν αὐτὸν ἐπὶ φιλοσοφίαν, τῆς οὐσίας αὐτοῦ τῆς πατρῴας εἰς τὸ βασιλικὸν ἀναληφθείσης. ἦν δὲ καὶ τὸ σωμάτιον εὐτελής, ὡς δῆλον ἐκ τοῦ ἀνδριάντος τοῦ ἐν Κεραμεικῷ, ὃς σχεδόν τι ὑποκέκρυπται τῷ πλησίον ἱππεῖ. ὅθεν αὐτὸν ὁ Καρνεάδης Χρύσσιππον ἔλεγεν. οὗτος ὀνειδισθεὶς ὑπό τινος ὅτι οὐχὶ παρὰ Ἀρίστωνι μετὰ πολλῶν σχολάζει, Εἰ τοῖς πολλοῖς, εἶπε, προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα. πρὸς δὲ τὸν κατεξανιστάμενον Κλεάνθους διαλεκτικὸν, καὶ προτείνοντα αὐτῷ σοφίσματα, Πέπαυσο, εἶπε, παρέλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων, ἡμῖν δὲ τοῖς νέοις ταῦτα προτίθει. πάλιν δὲ, ἐπεί τις ζητῶν κατὰ μόνας αὐτῷ διελέγετο εὐσταθῶς, ἐπεὶ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη,

Οἴμοι κασίγνητ' ὄμμα σὸν ταράσσεται.
Ταχὺ δὲ μετέθου λύσσαν ἀρτίως φρονῶν.

ἐν μέντοι ταῖς οἰνώσεσιν ἡσύχαζε παραφερόμενος τοῖς σκέλεσιν· ὥστ' εἰπεῖν τὴν δούλην, Χρυσίππου μόνα τὰ σκέλη μεθύει. οὕτω δ' ἦν φρονηματίας, ὥστ' ἐρομένου τινὸς Τίνι συστήσω τὸν υἱόν; εἰπεῖν, Ἐμοί· εἰ γὰρ ὑπελάμβανον εἶναί τινα ἐμοῦ βελτίονα, παρ' αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν. ὅθεν φασὶν ἐπ' αὐτοῦ λεχθῆναι,

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσουσι.

καί,

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν στοά.

τέλος δὲ Ἀρκεσιλάῳ καὶ Λακύδῃ (καθά φησι Σωτίων ἐν τῷ ὀγδόῳ) παραγενομένοις ἐν Ἀκαδημίᾳ συνεφιλοσόφησε. δι' ἣν αἰτίαν, καὶ κατὰ τῆς συνηθείας, καὶ ὑπὲρ αὐτῆς ἐπεχείρησε, καὶ περὶ μεγεθῶν καὶ πληθῶν τῇ τῶν Ἀκαδημαϊκῶν στάσει χρησάμενος. τοῦτον ἐν τῷ ᾠδείῳ σχολάζοντα φησὶν Ἕρμιππος ἐπὶ θυσίαν ὑπὸ τῶν μαθητῶν κληθῆναι. ἔνθα προσενεγκάμενον γλυκὺν ἄκρατον, καὶ ἰλιγγιάσαντα, πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων, βιώσαντα ἔτη κατὰ τὴν τρίτην καὶ τετταρακοστὴν Ὀλυμπιάδα τρία καὶ ἑβδομήκοντα, καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν,

Ἰλιγγίασε Βάκχον ἐκπιὼν χανδὸν
Χρύσιππος, οὐδ' ἐφείσατ' οὔτε τῆς στοᾶς,
Οὐδ' ἧς πάτρης, οὐ τῆς ψυχῆς, ἀλλ' ἦλθε δῶμ'
Ἐς ἀίδεω.

ἔνιοι δέ φασι γέλωτι συσχεθέντα αὐτὸν τελευτῆσαι. ὄνου γὰρ τὰ σῦκα αὐτῷ φαγόντος, εἰπόντα τῇ γραΐ διδόναι ἄκρατον ἐπιρροφῆσαι τῷ ὄνῳ, ὑπερκαγχάσαντα τελευτῆσαι. δοκεῖ δὲ ὑπερόπτης τις γεγονέναι. τοσαῦτα γοῦν συγγράψας, οὐδενὶ τῶν βασιλέων προσπεφώνηκεν. ἠρκεῖτό τε γραϊδίῳ μόνῳ, καθὰ καὶ Δημήτριος ἐν ὁμωνύμοις φησί. Πτολεμαίου τε πρὸς Κλεάνθην ἐπιστείλαντος, ἢ αὐτὸν ἐλθεῖν, ἢ πέμψαι τινά, Σφαῖρος μὲν ἀπῆλθε Χρύ-

σιππος δὲ παρεῖδε. μεταπεμψάμενος δὲ τοὺς τῆς ἀδελφῆς ὑεῖς, Ἀριστοκρέοντα καὶ Φιλοκράτην, συνεκρότησε. καὶ πρῶτος ἐθάρρησε σχολὴν ἔχειν ὕπαιθρον ἐν Λυκείῳ, καθάπερ ὁ προειρημένος Δημήτριος ἱστορεῖ. γέγονε δὲ καὶ ἄλλος Χρύσιππος Κνίδιος, ἰατρὸς παρ' οὗ φησιν Ἐρασίστρατος τὰ μάλιστα ὠφελῆσθαι. καὶ ἕτερος, υἱὸς τούτου, ἰατρὸς Πτολεμαίου. ὃς διαβληθεὶς περιήχθη, καὶ μαστιγούμενος ἐκολάσθη· ἄλλος, μαθητὴς Ἐρασιστράτου· καί τις, γεωργικὰ γεγραφώς. ὁ δὴ φιλόσοφος καὶ τοιούτους τινὰς ἠρώτα λόγους, Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια, ἀσεβεῖ· ὁ ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ἀσεβεῖ ἄρ' ὁ ἱεροφάντης. ἄλλο· Ὃ οὐκ ἔστιν ἐν τῇ πόλει, οὐδ' ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. ἄλλο, Ἔστι τις κεφαλή. ἐκείνην δὲ οὐκ ἔχεις. οὐκ ἄρα ἔχεις κεφαλήν. ἄλλο, Εἴ τις ἔστιν ἐν Μεγάροις· οὐκ ἔστιν γὰρ Ἀθήναις, ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἔστιν ἄνθρωπος ἐν Ἀθήναις. καὶ πάλιν, Εἴ τι λαλεῖς, τοῦτο διὰ τοῦ στόματός σου διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ τοῦ στόματός σου διέρχεται· καί, Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις. οἱ δὲ Εὐβουλίδου τοῦτο φασίν. εἰσὶ δὲ οἳ κατατρέχουσι τοῦ Χρυσίππου ὡς πολλὰ αἰσχρῶς καὶ ἀρρήτως ἀναγεγραφότος. ἐν μὲν γὰρ τῷ Περὶ τῶν ἀρχαίων φυσιολόγων συγγράμματι αἰσχρῶς τὰ περὶ τὴν Ἥραν καὶ τὸν Δία ἀναπλάττει, λέγων κατὰ τοὺς ἑξακοσίους στίχους ἃ μηδεὶς ἠτυχηκὼς μολύνειν τὸ στόμα, εἴποι ἄν. αἰσχροτάτην γὰρ (φασὶ) ταύτην ἀναπλάττει ἱστορίαν, εἰ καὶ ἐπαινεῖ ὡς φυσικήν, χαμαιτύπαις μᾶλλον πρέπουσαν ἢ θεοῖς. ἔτι τε τὰ παρὰ τοῖς περὶ πινάκων γράψασι κατακεχωρισμένην. μήτε γὰρ παρὰ Πολέμωνι, μήτε παρ' Ὑψικράτει, ἀλλὰ μηδὲ παρ' Ἀντιγόνῳ εἶναι· ὑπ' αὐτοῦ δὲ πεπλάσθαι. ἐν δὲ τῷ Περὶ πολιτείας, καὶ μητράσι λέγει συνέρχεσθαι, καὶ θυγατράσι, καὶ ὑοῖς· τὰ δ' αὐτὰ

φησὶ καὶ ἐν τῷ Περὶ τῶν μὴ δι' ἑαυτὰ αἱρετῶν, εὐθὺς ἐν ἀρχῇ. ἐν δὲ τῷ γ' Περὶ δικαίου, κατὰ τοὺς χιλίους στίχους, καὶ τοὺς ἀποθανόντας κατεσθίειν κελεύων. ἐν δὲ τῷ δευτέρῳ Περὶ βίου καὶ πορισμοῦ, προνοεῖν λέγων ὅπως ποριστέον τῷ σοφῷ. καίτοι τίνος χάριν ποριστέον αὐτῷ; εἰ μὲν γὰρ τοῦ ζῆν ἕνεκεν, ἀδιάφορον τὸ ζῆν· εἰ δὲ ἡδονῆς, καὶ αὕτη ἀδιάφορος· εἰ δὲ τῆς ἀρετῆς, αὐτάρκης αὕτη πρὸς εὐδαιμονίαν. καταγέλαστοι δὲ καὶ οἱ τρόποι τοῦ πορισμοῦ, οἷον οἱ ἀπὸ βασιλέως· εἴκειν γὰρ αὐτὸν δεήσει. καὶ οἱ ἀπὸ φιλίας· λήμματος γὰρ ὤνιος ἡ φιλία ἔσται. καὶ οἱ ἀπὸ σοφίας· μισθαρνήσει γὰρ ἡ σοφία. καὶ ταῦτα μὲν ἐγκαλεῖται. ἐπεὶ δὲ ἐνδοξότατα βιβλία ἐστὶν αὐτοῦ, ἔδοξέ μοι καὶ τὴν πρὸς εἶδος ἀναγραφὴν αὐτῶν ἐνταῦθα καταχωρίσαι. καὶ ἔστι τάδε. Λογικοῦ τόπου θέσεις, Λογικά, καὶ τῶν τοῦ φιλοσόφου σκεμμάτων, Ὅρων διαλεκτικῶν πρὸς Μητρόδωρον, ς'. Περὶ τῶν κατὰ διαλεκτικὴν ὀνομάτων, πρὸς Ζήνωνα, α'. Τέχνη διαλεκτικὴ πρὸς Ἀρισταγόραν, α'. συνημμένων πιθανῶν, πρὸς Διοσκουρίδην, δ'. Λογικοῦ τόπου τοῦ περὶ τὰ πράγματα σύνταξις πρώτη, Περὶ ἀξιωμάτων, α'. Περὶ τῶν οὐχ ἁπλῶν ἀξιωμάτων, α'. Περὶ τοῦ συμπεπλεγμένου, πρὸς Ἀθηνάδην, α', β'. Περὶ ἀποφατικῶν πρὸς Ἀρισταγόραν, γ'. Περὶ τῶν καταγορευτικῶν, πρὸς Ἀθηνόδωρον, α'. Περὶ τῶν κατὰ στέρησιν λεγομένων, β'. Πρὸς Θέαρον, α'. Περὶ τῶν ἀορίστων ἀξιωμάτων πρὸς Δίωνα, α', β', γ'. Περὶ τῆς διαφορᾶς τῶν ἀορίστων, α', β', γ', δ'. Περὶ τῶν κατὰ χρόνους λεγομένων, α', β'. Περὶ συντελικῶν ἀξιωμάτων, β'. σύνταξις δευτέρα· Περὶ ἀληθοῦς διεζευγμένου, πρὸς Γοργιππίδην, α'. Περὶ ἀληθοῦς συνημμένου πρὸς Γοργιππίδην, α', β', γ', δ'. Διαίρεσις πρὸς Γοργιππίδην, α'. Πρὸς τὸ περὶ ἀκολούθων, α'. Περὶ τοῦ διὰ τριῶν, πάλιν πρὸς Γοργιππίδην, α'. Περὶ δυνατῶν, πρὸς Κλεῖτον, δ'. Πρὸς τὸ περὶ σημασιῶν Φίλωνος, α'. Περὶ τοῦ τίνα ἐστὶ τὰ

ψευδῆ, α'· σύνταξις τρίτη· Περὶ προσταγμάτων, β'· Περὶ ἐρωτήσεων, β'· Περὶ πεύσεως, δ'· Ἐπιτομὴ περὶ ἐρωτήσεως καὶ πεύσεως, α'· Ἐπιτομὴ περὶ ἀποκρίσεων, α'· Ζητήσεως, β'· Περὶ ἀποκρίσεως, δ'. σύνταξις τετάρτη· Περὶ τῶν κατηγορημάτων πρὸς Μητρόδωρον, ι'· Περὶ ὀρθῶν καὶ ὑπτίων πρὸς Φίλαρχον, α'· Περὶ τῶν συναμμάτων πρὸς Ἀπολλωνίδην, α'· Πρὸς Πάσυλον περὶ κατηγορημάτων, δ'. σύνταξις πέμπτη· Περὶ τῶν πτώσεων, α'· Περὶ τῶν κατὰ τὸ ὑποκείμενον ὡρισμένων ἐκφορῶν, α'· Περὶ παρεμφάσεως πρὸς Στησαγόραν, β'· Περὶ τῶν προσηγορικῶν, β'.

Λογικοῦ τόπου περὶ τὰς λέξεις καὶ τὸν κατ' αὐτὸν λόγον. σύνταξις πρώτη· Περὶ τῶν ἑνικῶν καὶ πληθυντικῶν ἐκφορῶν, ϛ'· Περὶ λέξεων, πρὸς Σωσιγένην καὶ Ἀλέξανδρον, ε'· Περὶ τῆς κατὰ τὰς λέξεις ἀνωμαλίας πρὸς Δίωνα, δ'· Περὶ τῶν πρὸς τὰς φωνὰς σωρειτῶν λόγων, γ'· Περὶ σολοικισμῶν, α'· Περὶ σολοικιζόντων λόγων πρὸς Διονύσιον, α'· Λόγοι παρὰ τὰς συνηθείας, α'· Λέξις πρὸς Διονύσιον α'. σύνταξις δευτέρα· Περὶ τῶν στοιχείων τοῦ λόγου καὶ τῶν λεγομένων, ε'· Περὶ τῆς συντάξεως τῶν λεγομένων, δ'· Περὶ τῆς συντάξεως καὶ στοιχείων τῶν λεγομένων πρὸς Φίλιππον, γ'· Περὶ τῶν στοιχείων τοῦ λόγου πρὸς Νικίαν, α'· Περὶ τοῦ πρὸς ἕτερα λεγομένου, α'. σύνταξις τρίτη· Πρὸς τοὺς μὴ διαιρουμένους, β'· Περὶ ἀμφιβολιῶν πρὸς Ἀπολλᾶν, δ'· Περὶ τῶν τροπικῶν ἀμφιβολιῶν, α'· Περὶ συνημμένης τροπικῆς ἀμφιβολίας, β'· Πρὸς τὸ περὶ ἀμφιβολιῶν Πανθοίδου, β'· Περὶ τῆς εἰς τὰς ἀμφιβολίας εἰσαγωγῆς, ε'· Ἐπιτομὴ τῶν πρὸς Ἐπικράτην ἀμφιβολιῶν, α'· συνημμένα πρὸς τὴν εἰσαγωγὴν τῶν εἰς τὰς ἀμφιβολίας, β'. Λογικοῦ τόπου πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους συντάξεις· Πρώτη τέχνη λόγων καὶ τρόπων πρὸς Διοσκουρίδην, ε'· Περὶ τῶν λόγων, γ'· Περὶ τρόπων συστάσεως πρὸς Στησαγόραν, β'· Σύγκρισις τῶν τροπικῶν ἀξιωμάτων, α'· Περὶ

αἰτ

ἐπιστρεφόντων λόγων καὶ συνημμένων, α΄· Πρὸς Ἀ-
άθωνα, ἢ Περὶ τῶν ἑξῆς προβλημάτων, α΄· Περὶ τοῦ
ὰ συλλογιστικὰ τινος μετὰ ἄλλου τε καὶ μετὰ ἄλλων, α΄· Πε-
ὶ τῶν ἐπιφορῶν πρὸς Ἀρισταγόραν, α΄· Περὶ τοῦ τά-
θεσθαι τὸν αὐτὸν λόγον ἐν πλείοσι τρόποις, α΄· Πρὸς τὰ
ἀντειρημένα τῷ τὸν αὐτὸν λόγον ἐν συλλογιστικῷ καὶ ἀ-
υλλογίστῳ τετάχθαι τρόπῳ, β΄· Πρὸς τὰ ἀντειρημένα
ν τῇ τῶν συλλογισμῶν ἀναλύσει, γ΄· Πρὸς τὸ περὶ τρόπων,
Φίλωνος, πρὸς Τιμόστρατον, α΄· Λογικὰ συνημμένα,
πρὸς Τιμοκράτην καὶ Φιλομαθῆ· Εἰς τὰ περὶ λόγων
αὶ περὶ τρόπων, α΄. σύνταξις δευτέρα· Περὶ τῶν πε-
αινόντων λόγων, πρὸς Ζήνωνα, α΄· Περὶ τῆς ἀναλύσε-
ως τῶν συλλογισμῶν, α΄· Περὶ τῶν πρώτων καὶ ἀναποδεί-
των συλλογισμῶν, Περὶ τῶν παρελκόντων λόγων, πρὸς
Ἰάσυλον, β΄· Περὶ τῶν εἰς τοὺς σολοικισμοὺς θεωρημά-
ων, α΄· Περὶ συλλογισμῶν εἰσαγωγικῶν, πρὸς Ζήνω-
α, α΄· Τῶν πρὸς εἰσαγωγὴν τρόπων, πρὸς Ζήνω-
α, γ΄· Περὶ τῶν κατὰ ψευδῆ σχήματα συλλογισμῶν,
· Λόγοι συλλογιστικοὶ κατὰ ἀνάλυσιν ἐν τοῖς ἀναπο-
είκτοις, α΄· Τροπικὰ ζητήματα, πρὸς Ζήνωνα καὶ
Φιλομαθῆ, α΄· τοῦτο δοκεῖ ψευδεπίγραφον. σύντα-
ις τρίτη· Περὶ τῶν μεταπιπτόντων λόγων, πρὸς Ἀ-
ιωάδην, α΄, ψευδεπίγραφον· Λόγοι μεταπίπτοντες
ρὸς τὴν μεσότητα, γ΄· Ψευδεπίγραφα· Πρὸς τοὺς
μεινίου διαζευκτικούς, α΄. σύνταξις τετάρτη, Περὶ
ποθέσεων, πρὸς Μελέαγρον, γ΄· Λόγοι ὑποθετικοὶ
ς τοὺς νόμους πρὸς Μελέαγρον, α΄· Λόγοι ὑποθετικοὶ
ρὸς εἰσαγωγὴν, β΄· Λόγοι ὑποθετικοὶ θεωρημά-
ων, β΄· Λύσις τῶν Ἡδύλου ὑποθετικῶν, β΄· Λύσις
ῶν Ἀλεξάνδρου ὑποθετικῶν, γ΄ ψευδεπίγραφα· Πε-
ὶ ἐκθέσεων, πρὸς Λαοδάμαντα, α΄. σύνταξις πέμπτη

Περὶ τῆς εἰς τὸ ψευδόμενον εἰσαγωγῆς, πρὸς Ἀριστοκρέοντα, α΄. Λόγοι ψευδόμενοι πρὸς εἰσαγωγὴν, α΄. Περὶ τοῦ ψευδομένου, πρὸς Ἀριστοκρέοντα, ς΄. σύνταξις ἕκτη. Πρὸς τοὺς νομίζοντας καὶ ψευδῆ καὶ ἀληθῆ εἶναι, α΄. Πρὸς τοὺς διὰ τομῆς διαλύοντας τὸν ψευδόμενον λόγον, πρὸς Ἀριστοκρέοντα, β΄. Ἀπόδειξις πρὸς τὸ μὴ δεῖν τέμνειν τὰ ἀόριστα, α΄. Πρὸς τὰ ἀντειρημένα τοῖς κατὰ τῆς τομῆς τῶν ἀορίστων, πρὸς Πάσυλον, γ΄. Λύσις κατὰ τοὺς ἀρχαίους, πρὸς Διοσκουρίδην, α΄. Περὶ τῆς τοῦ ψευδομένου λύσεως, πρὸς Ἀριστοκρέοντα, γ΄. Λύσις τῶν Ἡδύλλου ὑποθετικῶν, πρὸς Ἀριστοκρέοντα καὶ Ἀπελλᾶν, α΄. σύνταξις ἑβδόμη. Πρὸς τοὺς φάσκοντας τὰ λήμματα ἔχειν ψευδῆ τὸν ψευδόμενον λόγον, α΄. Περὶ ἀποφάσκοντος, πρὸς τὸν Ἀριστοκρέοντα, β΄. Λόγοι ἀποφάσκοντες, πρὸς Γυμνασίαν, α΄. Περὶ τοῦ παρὰ μικρὸν λόγου, πρὸς Στησαγόραν, β΄. Περὶ τῶν εἰς τὰς ὑπολήψεις λόγων καὶ ἡσυχαζόντων, πρὸς Ὀνήτορα, β΄. Περὶ τοῦ ἐγκεκαλυμμένου, πρὸς Ἀριστόβουλον, β΄. Περὶ τοῦ διαλεληθότος, πρὸς Ἀθηνάδην, α΄. σύνταξις ὀγδόη. Περὶ τοῦ οὔτιδος, πρὸς Μενεκράτην, η΄. Περὶ τῶν ἐξ ἀορίστου καὶ ὡρισμένο[υ] λόγων, πρὸς Πάσυλον, β΄. Περὶ οὔτιδος λόγου, πρὸς Ἐπικράτην, α΄. σύνταξις ἐννάτη. Περὶ τῶν σοφισμάτων πρὸς Ἡρακλείδην καὶ Πόλλιν, β΄. Περὶ τῶν ἀπόρω[ν] διαλεκτικῶν λόγων, πρὸς Διοσκουρίδην, ε΄. Πρὸς τὸ Ἀρ[κεσιλάου] κεσιλάου μεθόδιον, πρὸς Σφαῖρον, α΄. σύνταξις δεκάτη. Κατὰ τῆς συνηθείας, πρὸς Μητρόδωρον, ς΄. Περ[ὶ] τῆς συνηθείας, πρὸς Γοργιππίδην, ζ΄. Λογικοῦ τόπ[ου] τὰ τῶν προειρημένων τεττάρων διαφορῶν ἐκτὸς ὄντα, κα[ὶ] περιέχοντα σποράδην καὶ οὐ σωματικὰς ζητήσεις λο[γικὰς] γικάς. Περὶ τῶν καταλεγομένων ζητημάτων λθ΄. ὁμο[ῦ] τὰ πάντα τοῦ λογικοῦ, τια΄. Ἠθικοῦ λόγου τοῦ περὶ τὴν διό[ρ]θωσιν τῶν ἠθικῶν ἐννοιῶν, σύνταξις πρώτη. Ὑπογραφ[ὴ]

ῦ λόγου τοῦ πρὸς Θεόπορον, α΄. Θέσεις ἠθικαί, α΄. Πιθα-
ὰ λήμματα εἰς τὰ δόγματα, πρὸς Φιλομαθῆ, γ΄. Ὅ-
ων τῶν τοῦ ἀστείου, πρὸς Μητρόδωρον, β΄. ὅρων τῶν τοῦ
ραύλου, πρὸς Μητρόδωρον, β΄. ὅρων τῶν ἀναμέσων, πρὸς
Μητρόδωρον, β΄. ὅρων τῶν πρὸς Μητρόδωρον τῶν κατὰ γέ-
ος, ζ΄. ὅρων τῶν κατὰ τὰς ἄλλας τέχνας, πρὸς Μητρόδω-
ον, α΄, β΄. σύνταξις δευτέρα. Περὶ τῶν ὁμοίων πρὸς
Ἀριστοκλέα, γ΄. Περὶ τῶν ὅρων πρὸς Μητρόδωρον, ζ΄. σύν-
αξις τρίτη, Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ὅροις ἀντιλεγομέ-
ων, πρὸς Λαοδάμαντα, ζ΄. Πιθανὰ εἰς τοὺς ὅρους πρὸς
Διοσκουρίδην, β΄. Περὶ εἰδῶν καὶ γενῶν πρὸς Γοργιπ-
πίδην, β΄. Περὶ τῶν διαιρέσεων, α΄. Περὶ τῶν ἐναντίων
πρὸς Διονύσιον, β΄. Πιθανὰ πρὸς τὰς διαιρέσεις, καὶ τὰ
γένη, καὶ τὰ εἴδη. Περὶ τῶν ἐναντίων, α΄. σύνταξις τετάρτη.
Περὶ τῶν ἐτυμολογικῶν πρὸς Διοκλέα, ζ΄. Ἐτυμολογι-
κῶν πρὸς Διοκλέα, δ΄. σύνταξις πέμπτη. Περὶ παροιμι-
ῶν πρὸς Ζηνόδοτον, β΄. Περὶ ποιημάτων πρὸς Φιλομα-
θῆ, α΄. Περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν, β΄. Πρὸς
τοὺς Κριτικοὺς, πρὸς Διόδωρον, α΄. ἠθικοῦ τόπου περὶ τὸν κοι-
νὸν λόγον καὶ τὰς ἐκ τούτου συνισταμένας τέχνας καὶ ἀρετάς.
σύνταξις πρώτη. Πρὸς τὰς ἀναζωγραφήσεις, πρὸς Τι-
μώνακτα, α΄. Περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμε-
θα, α΄. Περὶ τῶν ἐννοιῶν πρὸς Λαοδάμαντα, β΄. Περὶ ὑ-
πολήψεως πρὸς Πυθώνακτα, γ΄. Ἀποδείξεις πρὸς τὸ μὴ
δοξάσειν τὸν σοφὸν, α΄. Περὶ καταλήψεως καὶ ἐπιστήμης καὶ
ἀγνοίας, δ΄. Περὶ λόγου, β΄. Περὶ τῆς χρήσεως τοῦ λόγου πρὸς
Λεπτίναν. σύνταξις δευτέρα. Περὶ τοῦ δεῖν κρίνειν τοὺς ἀρχαί-
ους τὴν διαλεκτικὴν σὺν ταῖς ἀποδείξεσι, πρὸς Ζήνωνα, β΄. Περ-
ὶ τῆς διαλεκτικῆς, πρὸς Ἀριστοκρέοντα, δ΄. Περὶ τῶν ἀντι-
λεγομένων τοῖς διαλεκτικοῖς, γ΄. Περὶ τῆς ῥητορικῆς
πρὸς Διοσκουρίδην, δ΄. σύνταξις τρίτη. Περὶ ἕξεως, πρὸς
Κλέωνα, γ΄. Περὶ τέχνης καὶ ἀτεχνίας, πρὸς Ἀριστο-

κρέοντα, δ̄· Περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν, πρὸς Διόδωρον, δ̄· Περὶ τοῦ πιὰς εἶναι τὰς ἀρετάς, ᾱ· Περὶ ἀρετῶν, πρὸς Πόλλιν, β̄. ἠθικοῦ τόπου Περὶ ἀγαθοῦ καὶ κακῶν, σύνταξις πέμπτη· Περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς, πρὸς Ἀριστοκρέοντα, ῑ· Ἀπόδειξις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν τέλος, δ̄· Ἀπόδειξις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν ἀγαθόν, δ̄· Περὶ τῶν λεγομένων.

# ΔΙΟΓΕ´ΝΟΥΣ ΛΑΕΡ-τίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ηον.

## ΠΥΘΑΓΟ´ΡΑΣ.

ΕΠΕΙ´ δὲ τὴν Ἰωνικὴν φιλοσοφίαν τὴν ἀπὸ Θαλοῦ, καὶ τοὺς ἐν ταύτῃ διαγενομένους ἄνδρας ἀξιολόγους διεληλύθαμεν, φέρε καὶ περὶ τῆς Ἰταλικῆς διαλάβωμεν, ἧς ἦρξε Πυθαγόρας Μνη-
ρ́χου δακτυλιογλύφου, ὥς φησιν Ἕρμιππος· ἢ (ὡς Ἀρι-
ξενος) Τυρρηνὸς, ἀπὸ μιᾶς τῶν νήσων ἃς κατέσχον Ἀ-
ηναῖοι Τυρρηνοὺς ἐκβαλόντες. ἔνιοι δὲ, υἱὸν μὲν εἶναι Μαρ-
άκου τοῦ Ἱππάσου, τοῦ Εὐθύφρονος, τοῦ Κλεωνύμου, φυγάδος
κ Φλιοῦντος. οἰκεῖν δὲ ἐν Σάμῳ τὸν Μάρμακον, ὅθεν Σάμιον
Πυθαγόραν λέγεσθαι. συστῆναι δὲ εἰς Λέσβον ἐλθόντα Φε-
κύδῃ, ὑπὸ Ζωίλου τοῦ θείου. καὶ τρία ποτήρια κατασκευ-
σάμενος ἀργυρᾶ, δῶρον ἀπήνεγκεν ἑκάστῳ τῶν ἱερέων
ς Αἴγυπτον. ἔσχε δὲ ἀδελφοὺς, πρεσβύτερον μὲν, Εὔνο-
ον· μέσον δὲ, Τυρρηνόν· καὶ δοῦλον Ζάμολξιν, ᾧ Γέται
ουσι, Κρόνον νομίζοντες, ὥς φησιν Ἡρόδοτος. οὗτος ἤ-
υσε μὲν (καθὰ προείρηται) Φερεκύδου τοῦ Συρίου· μετὰ δὲ
ὴν ἐκείνου τελευτὴν, ἧκεν εἰς Σάμον, καὶ ἤκουσεν Ἑρ-
οδάμαντος τοῦ ἀπογόνου Κρεοφίλου, ἤδη πρεσβυτέρου.
ος δὲ ὢν καὶ φιλομαθὴς, ἀπεδήμησε τῆς πατρίδος καὶ
σας ἐμυήθη τάς τε Ἑλληνικὰς καὶ βαρβαρικὰς τελε-

τάς. ἐγένετο οὖν ἐν Αἰγύπτῳ, ὁπηνίκα καὶ Πολυκράτης αὐτὸν Ἀμάσιδι συνέστησε δι' ἐπιστολῆς, καὶ ἐξέμαθε τὴν φωνὴν αὐτῶν, καθά φησιν Ἀντιφῶν ἐν τῷ περὶ τῶν ἐν ἀρετῇ πρωτευσάντων· καὶ παρὰ Χαλδαίοις ἐγένετο καὶ Μάγοις. εἶτα ἐν Κρήτῃ σὺν Ἐπιμενίδῃ κατῆλθεν εἰς τὸ Ἰδαῖον ἄντρον, ἀλλὰ καὶ ἐν Αἰγύπτῳ εἰς τὰ ἄδυτα· καὶ τὰ περὶ θεῶν ἐν ἀπορρήτοις ἔμαθεν. εἶτα ἐπανῆλθεν εἰς Σάμον, καὶ εὑρὼν τὴν πατρίδα τυραννουμένην ὑπὸ Πολυκράτους, ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας. κἀκεῖ νόμους θεὶς τοῖς Ἰταλιώταις, ἐδοξάσθη σὺν τοῖς μαθηταῖς· οἳ περὶ τοὺς τριακοσίους ὄντες, ᾠκονόμουν ἄριστα τὰ πολιτικά· ὥστε σχεδὸν ἀριστοκρατίαν εἶναι τὴν πολιτείαν. τοῦτόν φησιν Ἡρακλείδης ὁ Ποντικὸς περὶ αὐτοῦ τάδε λέγειν, ὡς εἴη ποτὲ γεγονὼς Αἰθαλίδης, καὶ Ἑρμοῦ υἱὸς νομισθείη· τὸν δὲ Ἑρμῆν εἰπεῖν αὐτῷ ἑλέσθαι ὅ, τι ἂν βούληται, πλὴν ἀθανασίας. αἰτήσασθαι οὖν, ζῶντα καὶ τελευτῶντα μνήμην ἔχειν τῶν συμβαινόντων. ἐν μὲν οὖν τῇ ζωῇ, πάντων διαμνημονεῦσαι· ἐπεὶ δὲ ἀποθάνοι, τηρῆσαι τὴν αὐτὴν μνήμην. χρόνῳ δὲ ὕστερον, εἰς Εὔφορβον ἐλθεῖν, καὶ ὑπὸ Μενέλεω τρωθῆναι. ὁ δὲ Εὔφορβος ἔλεγεν ὡς Αἰθαλίδης ποτὲ γεγόνοι· καὶ ὅτι παρ' Ἑρμοῦ τὸ δῶρον λάβοι, καὶ τὴν τῆς ψυχῆς περιπόλησιν, ὡς περιεπολήθη, καὶ εἰς ὅσα φυτὰ καὶ ζῶα περιεγένετο, καὶ ὅσα ἡ ψυχὴ ἐν τῷ ᾅδῃ ἔπαθε, καὶ αἱ λοιπαὶ τίνα ὑπομένουσιν. ἐπεὶ δὲ Εὔφορβος ἀποθάνοι, μεταβῆναι τὴν ψυχὴν αὐτοῦ εἰς Ἑρμότιμον, ὃς καὶ αὐτὸς πίστιν δοῦναι θέλων, ἐπανῆλθεν εἰς Βραγχίδας· καὶ εἰσελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερόν, ἐπέδειξεν ἣν Μενέλαος ἀνέθηκεν ἀσπίδα. ἔφη γὰρ αὐτήν, ὅτ' ἀπέπλευσεν ἐκ Τροίας ἀναθεῖναι τῷ Ἀπόλλωνι τὴν ἀσπίδα, διασεσηπυῖαν ἤδη· μόνον δὲ διαμένειν τὸ ἐλεφάντινον πρόσωπον. ἐπειδὴ δ' Ἑρμότιμος ἀπέθανε, γενέσθαι Πύρρον τὸν Δήλιον ἁλιέα· καὶ πάντα πάλιν μνημονεύειν, πῶς πρόσθεν Αἰθαλίδης, εἶτ' Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύρρος γένοιτο. ἐπειδὴ

ὁ Πύῤῥος ἀπέθανε, γενέσθαι Πυθαγόραν, καὶ πάντων τῶν εἰρημένων μεμνῆσθαι. ἔνιοι μὲν οὖν Πυθαγόραν μηδὲ ἓν καταλιπεῖν σύγγραμμα φασὶ, διαπαίζοντες. Ἡράκλειτος γοῦν ὁ φυσικὸς μονονουχὶ κέκραγε, καί φησι, Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων. καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς, ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην. οὕτω δὲ εἶπεν, ἐπειδήπερ ἐναρχόμενος ὁ Πυθαγόρας τοῦ φυσικοῦ συγγράμματος, λέγει ὧδε, Οὐ μὰ τὸν ἀέρα τὸν ἀναπνέω, οὐ μὰ τὸ ὕδωρ τὸ πίνω, οὔ κατοίσω ψόγον περὶ τοῦ λόγου τοῦδε. γέγραπται δὲ τῷ Πυθαγόρα συγγράμματα γ', παιδευτικὸν, πολιτικὸν, φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου, Λύσιδός ἐστι τοῦ Ταραντίνου Πυθαγορικοῦ, φυγόντος εἰς Θήβας, καὶ Ἐπαμεινώνδα καθηγησαμένου. φησὶ δὲ Ἡρακλείδης ὁ τοῦ Σαραπίωνος ἐν τῇ Σωτίωνος ἐπιτομῇ, γεγραφέναι αὐτὸν καὶ περὶ τοῦ ὅλου ἐν ἔπεσι. δεύτερον, τὸν ἱερὸν λόγον, οὗ ἡ ἀρχὴ,

Ὦ νέοι ἀλλὰ σέβεσθε μεθ' ἡσυχίας τάδε πάντα.

τρίτον, Περὶ ψυχῆς· τέταρτον, Περὶ εὐσεβείας· πέμπτον, Ἡλοθαλῆ τὸν Ἐπιχάρμου τοῦ Κῴου πατέρα· ἕκτον, Κρότωνα, καὶ ἄλλους. τὸν δὲ μυστικὸν λόγον, Ἱππάσου φασὶν εἶναι, γεγραμμένον ἐπὶ διαβολῇ Πυθαγόρου· πολλοὺς δὲ καὶ ὑπὸ Ἄστωνος τοῦ Κροτωνιάτου γραφέντας, ἀνατεθῆναι Πυθαγόρᾳ. φησὶ δὲ καὶ Ἀριστόξενος τὰ πλεῖστα τῶν ἠθικῶν δογμάτων λαβεῖν τὸν Πυθαγόραν παρὰ Θεμιστοκλείας τῆς ἀδελφῆς. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς, φησὶν αὐτὸν ἔνια ποιήσαντα ἀνενεγκεῖν εἰς Ὀρφέα. αὐτοῦ λέγουσι καὶ τοὺς σκοπάδας, οὗ ἡ ἀρχὴ, Μὴ ἀναίδευ μηδενί. Σωκράτης δὲ ἐν διαδοχαῖς, φησὶν αὐτὸν ἐρωτηθέντα ὑπὸ Λέοντος τοῦ Φλιασίων τυράννου τίς εἴη, Φιλόσοφος, εἰπεῖν. καὶ τὸν βίον ἐοικέναι πανηγύρει. ὡς οὖν εἰς ταύτην οἱ μὲν, ἀγωνιούμενοι, οἱ δὲ, κατ' ἐμπορίαν, οἱ δέ γε βέλτιστοι, ἔρχονται θεαταί· οὕτως ἐν τῷ βίῳ, οἱ μὲν ἀνδραποδώδεις, ἔφη, φύονται

δόξης καὶ πλεονεξίας θηραταί· οἱ δὲ φιλόσοφοι, τῆς ἀληθείας. καὶ τάδε μὲν, ὧδε. ἐν δὲ τοῖς τρισὶ συγγράμμασι τοῖς προειρημένοις φέρεται Πυθαγόρου τάδε καθολικῶς. οὐκ ἐᾷ εὔχεσθαι ὑπὲρ αὐτῶν, διὰ τὸ μὴ εἰδέναι τὸ συμφέρον. τὴν μέθην ἓν ἀνθ' ἑνὸς βλάβην καλεῖ. καὶ πλησμονὴν πᾶσαν ἀποδοκιμάζει, λέγων μὴ παραβαίνειν μήτε τῶν ποτῶν μήτε τῶν σιτίων μηδένα τὴν συμμετρίαν. καὶ περὶ ἀφροδισίων δέ φησιν οὕτως· ἀφροδίσια χειμῶνος ποιέεσθαι, μὴ θέρεος· φθινοπώρου δὲ καὶ ἦρος, κουφότερα. βαρέα δὲ πᾶσαν ὥραν, καὶ ἐς ὑγείην οὐκ ἀγαθά. ἀλλὰ καί ποτε ἐρωτηθεὶς πότε δεῖ πλησιάζειν, Ὅτε βούλει γενέσθαι σαυτοῦ ἀσθενέστερος, εἶπεν. διαιρεῖται δὲ καὶ τὸν τοῦ ἀνθρώπου βίον οὕτως· παῖς, εἴκοσι ἔτεα· νεηνίσκος, εἴκοσι· νεηνίης, εἴκοσι· γέρων, κ̄. αἱ δὲ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε σύμμετροι· παῖς, ἔαρ· νεηνίσκος, θέρος· νεηνίης, φθινόπωρον· γέρων, χειμών. ἔστι δὲ αὐτῷ, ὁ μὲν νεηνίσκος, μειράκιον· ὁ δὲ νεηνίης, ἀνήρ. εἶπέ τε πρῶτος (ὥς φησι Τίμαιος) κοινὰ τὰ φίλων εἶναι· καὶ φιλίαν, ἰσότητα. καὶ αὐτοῦ οἱ μαθηταὶ κατετίθεντο τὰς οὐσίας, εἰς ἓν ποιούμενοι. πενταετίαν τε ἡσύχαζον, μόνον τῶν λόγων κατακούοντες, καὶ οὐδέπω Πυθαγόραν ὁρῶντες, εἰς ὃ δοκιμασθεῖεν. τοὐντεῦθεν δὲ ἐγίνοντο τῆς οἰκίας αὐτοῦ, καὶ τῆς ὄψεως μετεῖχον. ἀπείχοντο δὲ καὶ σοροῦ κυπαρισσίνης, διὰ τὸ τοῦ Διὸς σκῆπτρον ἐντεῦθεν πεποιῆσθαι, ὥς φησιν Ἕρμιππος ἐν δευτέρῳ περὶ Πυθαγόρου. καὶ γὰρ σεμνοπρεπέστατος λέγεται γενέσθαι. καὶ αὐτοῦ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ, ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. λέγεται δὲ αὐτοῦ ποτε παραγυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι, πολὺς ἦν ὁ φάσκων. Τίμαιός τε φησὶν ἐν δεκάτῃ ἱστοριῶν λέγειν αὐτὸν τὰς συνοικούσας ἀνδράσι, θεῶν ἔχειν ὀνόματα, κόρας, νύμφας·

εἶτα μητέρας καλουμένας. τοῦτον καὶ γεωμετρίαν ἐπὶ πέρας ἀγαγεῖν, Μοίριδος πρῶτον εὑρόντος τὰς ἀρχὰς τῶν στοιχείων αὐτῆς, ὥς φησιν Ἀντικλείδης ἐν δευτέρῳ περὶ Ἀλεξάνδρου. μάλιστα δὲ σχολάσαι τὸν Πυθαγόραν περὶ τὸ ἀριθμητικὸν εἶδος αὐτῆς· τόν τε κανόνα τὸν ἐκ μιᾶς χορδῆς εὑρεῖν. οὐκ ἠμέλησε δὲ οὐδὲ ἰατρικῆς. φησὶ δ' Ἀπολλόδωρος ὁ λογιστικὸς ἑκατόμβην θῦσαι αὐτὸν, εὑρόντα ὅτι τοῦ ὀρθογωνίου τριγώνου ἡ ὑποτείνουσα πλευρὰ ἴσον δύναται ταῖς περιεχούσαις. καὶ ἔστιν ἐπίγραμμα, οὕτως ἔχον,

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρετο γράμμα,
Κεῖν' ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην.

λέγεται δὲ καὶ πρῶτος κρέασιν ἀσκῆσαι ἀθλητάς· καὶ πρῶτόν γε Εὐρυμένην, (καθά φησι Φαβωρῖνος ἐν τρίτῳ τῶν ἀπομνημονευμάτων) τῶν πρότερον ἰσχάσι ξηραῖς καὶ τυροῖς ὑγροῖς, ἀλλὰ καὶ πυροῖς σωμασκούντων αὐτούς, καθάπερ ὁ αὐτὸς Φαβωρῖνος ἐν ὀγδόῃ παντοδαπῆς ἱστορίας φησίν. οἱ δὲ, Πυθαγόραν ἀλείπτην τινὰ, τοῦτον σιτίσαι τὸν τρόπον, μὴ τοῦτον. τοῦτον γὰρ καὶ τὸ φονεύειν ἀπαγορεύειν, μή τι γε ἅπτεσθαι τῶν ζώων, κοινὸν δίκαιον ἡμῖν ἐχόντων ψυχῆς. καὶ τόδε μὲν ἦν τὸ πρόσχημα· τὸ δ' ἀληθές, τῶν ἐμψύχων ἀπηγόρευεν ἅπτεσθαι, συνασκῶν καὶ συνεθίζων εἰς εὐκολίαν βίου τοὺς ἀνθρώπους· ὥστε εὐπορίστους αὐτοῖς εἶναι τὰς τροφὰς, ἄπυρα προσφερομένοις, καὶ λιτὸν ὕδωρ πίνουσιν. ἐντεῦθεν γὰρ καὶ σώματος ὑγίειαν, καὶ ψυχῆς ὀξύτητα περιγίνεσθαι. ἀμέλει καὶ βωμὸν προσκυνῆσαι μόνον ἐν Δήλῳ τοῦ Ἀπόλλωνος τοῦ γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ τὰ πόπανα μόνα τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός· ἱερεῖον δὲ μηδὲν, ὥς φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ. πρῶτόν τέ φασι τοῦτον ἀποφῆναι τὴν ψυχὴν, κύκλον ἀνάγκης ἀμείβουσαν, ἄλλοτε ἄλλοις ἐνδεῖσθαι ζώοις. καὶ πρῶτον εἰς τοὺς Ἕλληνας μέτρα

καὶ σταθμὰ εἰσηγήσασθαι, καθά φησιν Ἀριστόξενος ὁ μουσικός. πρῶτόν τε, Ἕσπερον καὶ Φωσφόρον τὸν αὐτὸν εἰπεῖν, ὥς φησι Παρμενίδης. οὕτω δὲ ἐθαυμάσθη, ὥστε ἔλεγον τοὺς γνωρίμους αὐτοῦ παντοίας θεοῦ φωνάς. ἀλλὰ καὶ αὐτὸς ἐν τῇ γραφῇ φησι δι' ἑπτὰ καὶ διακοσίων ἐτέων ἐξ ἀΐδεω παραγεγενῆσθαι ἐς ἀνθρώπους. τοιγὰρ καὶ προσεκαρτέρουν αὐτῷ καὶ τῶν λόγων ἕνεκα προσῄεσαν καὶ Λευκανοὶ καὶ Πευκέτιοι, Μεσσάπιοί τε καὶ Ῥωμαῖοι. μέχρι δὲ Φιλολάου οὐκ ἦν τι γνῶναι Πυθαγόρειον δόγμα· οὗτος δὲ μόνος ἐξήνεγκε τὰ διαβόητα τρία βιβλία, ἃ Πλάτων ἐπέστειλεν ἑκατὸν μνῶν ὠνηθῆναι. τῶν τε ἑξακοσίων οὐκ ἐλάττους ἐπὶ τὴν νυκτερινὴν ἀκρόασιν ἀπήντων αὐτοῦ· καὶ εἴ τινες ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους, ὡς μεγάλου τινὸς τετυχηκότες. Μεταποντῖνοι γοῦν τὴν μὲν οἰκίαν αὐτοῦ, Δήμητρος ἱερὸν ἐκάλουν· τὸν στενωπὸν δὲ, μουσεῖον, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπαῖς ἱστορίαις. ἔλεγόν τε καὶ οἱ ἄλλοι Πυθαγόρειοι μὴ εἶναι πρὸς πάντας πάντα ῥητά, ὥς φησιν Ἀριστόξενος ἐν δεκάτῃ παιδευτικῶν νόμων· ἔνθα καὶ Ξενόφιλον τὸν Πυθαγορικὸν, ἐρωτηθέντα πῶς ἂν μάλιστα τὸν υἱὸν παιδεύσειεν, εἰπεῖν, εἰ πόλεως εὐνομουμένης γεννηθείη. ἄλλους τε πολλοὺς κατὰ τὴν Ἰταλίαν ἀπεργάσασθαι καλούς τε καὶ ἀγαθοὺς ἄνδρας· ἀτὰρ καὶ Ζάλευκον καὶ Χαρώνδαν τοὺς νομοθέτας. ἱκανός τε γὰρ ἦν φιλίας ἐργάτης τά τε ἄλλα, καὶ εἴ τινα πύθοιτο τῶν συμβόλων αὐτοῦ κεκοινωνηκότα· εὐθύς τε προσηταιρίζετο, καὶ φίλον κατεσκεύαζεν. ἦν δὲ αὐτῷ τὰ σύμβολα, τάδε· Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, Ζυγὸν μὴ ὑπερβαίνειν, Ἐπὶ χοίνικος μὴ καθίζειν, Καρδίαν μὴ ἐσθίειν, Φορτίον συγκαθαιρεῖν, καὶ μὴ συνεπιτιθέναι, Τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, Ἐν δακτυλίῳ εἰκόνα θεοῦ μὴ περιφέρειν, Χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, Ἐλαδίῳ εἰς

θάκον μὴ ὀμόργνυσθαι, Πρὸς ἥλιον τετραμμένον μὴ ὀμιχεῖν, Ἐκτὸς λεωφόρου μὴ βαδίζειν, Μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, Ὁμοροφίους χελιδόνας μὴ ἔχειν, Γαμψώνυχα μὴ τρέφειν, Ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν, μηδὲ ἐφίστασθαι, Ὀξεῖαν μάχαιραν ἀποστρέφειν, Ἀποδημοῦντα ἐπὶ τοῖς ὅροις ἀνεπιστρεπτεῖν. ἤθελε δὲ αὐτῷ, τὸ μὲν Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· τὸ δὲ Ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν· Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ, ἡμερήσιος τροφή. διὰ δὲ τοῦ Καρδίαν μὴ ἐσθίειν, ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. διὰ δὲ τοῦ Εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι, παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου, μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν, μηδὲ ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. καὶ τὰ ἄλλα πρὸς ταῦτα λοιπόν ἐστιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν. παντὸς δὲ μᾶλλον ἀπηγόρευεν μήτε ἐρυθῖνον ἐσθίειν, μήτε μελάνουρον· καρδίας τε ἀπέχεσθαι καὶ κυάμων. Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης. ἐνίοτε δὲ αὐτὸν ἀρκεῖσθαι, μέλιτι μόνῳ φασί τινες ἢ κηρίῳ ἢ ἄρτῳ. οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι. ὄψον τε τὰ πολλὰ λαχάνοις ἑφθοῖς καὶ ὠμοῖς, τοῖς δὲ θαλαττίοις, σπανίως. στολὴ δὲ αὐτῷ λευκή, καθαρά, καὶ στρώματα λευκὰ ἐξ ἐρίων. τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφίκετο τοὺς τόπους. οὐδὲ πώποτε ἐγνώσθη οὔτε διαχωρῶν, οὔτε ἀφροδισιάζων, οὔτε μεθυσθείς. ἀπείχετο καταγέλωτος καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. ὀργιζόμενός τε, οὔτε οἰκέτην ἐκόλαζεν, οὔτε ἐλεύθερον. ἐκάλει δὲ τὸ νουθετεῖν, πελαργᾶν. μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῶν κληδόνων τε καὶ οἰωνῶν ἥκιστα δὲ διὰ τῶν ἐμπύρων, ἔξω τοῦ διὰ λιβάνου. θυσίαις τε ἐχρῆτο

ἀψύχοις. οἱ δέ φασιν ὅτι ἀλέκτορσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς, τοῖς λεγομένοις ἁπαλίαις, ἥκιστα δὲ ἄρνασιν. ὅ γε μὴν Ἀριστόξενος, πάντα μὲν τὰ ἄλλα συγχωρεῖν αὐτὸν ἐσθίειν ἔμψυχα, μόνων δὲ αὐτὸν ἀπέχεσθαι, ἀροτῆρος βοὸς καὶ κριοῦ. ὁ δ' αὐτός φησιν (ὡς προείρηται) καὶ τὰ δόγματα λαβεῖν αὐτὸν παρὰ τῆς ἐν Δελφοῖς Θεμιστοκλείας. φησὶ δὲ Ἱερώνυμος κατελθόντα αὐτὸν εἰς ᾅδου, τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην καὶ τρίζουσαν· τὴν δὲ Ὁμήρου, κρεμαμένην ἀπὸ δένδρου, καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπε περὶ θεῶν. κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς αὐτῶν γυναιξί· καὶ δὴ καὶ διὰ τοῦτο τιμηθῆναι ὑπὸ τῶν ἐν Κρότωνι. φησὶ δὲ Ἀρίστιππος ὁ Κυρηναῖος ἐν τῷ Περὶ φυσιολόγων, Πυθαγόραν αὐτὸν ὠνομασθῆναι, ὅτι τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου. λέγεται παρεγγυᾶν αὐτὸν ἑκάστοτε τοῖς μαθηταῖς, τάδε λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι,

Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

σφάγιά τε θεοῖς προσφέρειν κωλύειν, μόνον δὲ τὸν ἀναίμακτον βωμὸν προσκυνεῖν. Μηδὲ ὀμνύναι θεούς· ἀσκεῖν γὰρ αὐτὸν δεῖν ἀξιόπιστον παρέχειν. Τούς τε πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους. ὡς ἐν κόσμῳ μὲν, ἀνατολὴν δύσεως· ἐν βίῳ δὲ, ἀρχὴν τελευτῆς· ἐν ζωῇ δὲ, γένεσιν φθορᾶς. καὶ θεοὺς μὲν δαιμόνων προτιμᾶν· ἥρωας δὲ, ἀνθρώπων· ἀνθρώπων δὲ μάλιστα, γονέας. ἀλλήλοις τε ὁμιλεῖν· ὡς τοὺς μὲν φίλους, ἐχθροὺς μὴ ποιῆσαι· τοὺς ἐχθροὺς δὲ, φίλους ἐργάσασθαι. Ἴδιόν τε μηδὲν ἡγεῖσθαι. Νόμῳ βοηθεῖν, Ἀνομίᾳ πολεμεῖν, Φυτὸν ἥμερον μήτε φθείρειν, μήτε σίνεσθαι· ἀλλὰ μηδὲ ζῷον, ὃ μὴ βλάπτει ἀνθρώπους. Αἰδῶ καὶ εὐλάβειαν εἶναι, μήτε γέλωτι κατέχεσθαι, μήτε σκυθρωπάζειν, Φεύγειν σαρκῶν πλεονασμόν, Ὁδοιπορίης ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι, Μνήμην ἀσκεῖν, Ἐν ὀργῇ μήτε τι λέγειν, μήτε

ἁρμόζειν, Μαντικὴν πᾶσαν τιμᾶν, ᾠδαῖς χρῆσθαι πρὸς λύραν, Ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον χάριν ἔχειν. τῶν δὲ κυάμων ἀπηγόρευεν ἔχεσθαι, διὰ τὸ πνευματώδεις ὄντας, μᾶλλον μετέχειν τοῦ ψυχικοῦ· καὶ ἄλλως, κοσμιωτέρας ἐργάζεσθαι τὰς γαστέρας, μὴ παραληφθέντας. καὶ διὰ τοῦτο καὶ τὰς καθύπνοις φαντασίας, λείας καὶ ἀταράχους ἀποτελεῖν. φησὶ δὲ καὶ ὁ Ἀλέξανδρος ἐν ταῖς τῶν φιλοσόφων διαδοχαῖς, καὶ ταῦτα εὑρηκέναι ἐν Πυθαγορικοῖς ὑπομνήμασιν. Ἀρχὴν μὲν τῶν ἁπάντων, μονάδα· ἐκ δὲ τῆς μονάδος, ἀόριστον δυάδα, ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι· ἐκ δὲ τῆς μονάδος καὶ ἀορίστου δυάδος, τοὺς ἀριθμούς· ἐκ δὲ τῶν ἀριθμῶν, τὰ σημεῖα· ἐκ δὲ τούτων, τὰς γραμμάς· ἐξ ὧν, τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ τούτων, τὰ στερεὰ σώματα, ὧν καὶ τὰ στοιχεῖα εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· ἃ μεταβάλλειν καὶ τρέπεσθαι δι' ὅλων, καὶ γίνεσθαι ἐξ αὐτῶν κόσμον ἔμψυχον, νοερόν, σφαιροειδῆ, μέσην περιέχοντα τὴν γῆν, καὶ αὐτὴν σφαιροειδῆ, καὶ περιοικουμένην. εἶναι δὲ καὶ Ἀντίποδας· καὶ τὰ ἡμῖν κάτω, ἐκείνοις ἄνω. ἰσόμοιρά τε εἶναι ἐν τῷ κόσμῳ, φῶς καὶ σκότος, καὶ θερμὸν καὶ ψυχρόν, καὶ ξηρὸν καὶ ὑγρόν· ὧν κατ' ἐπικράτειαν θερμοῦ μέν, θέρος γίνεσθαι· ψυχροῦ δέ, χειμῶνα. ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιστα εἶναι τοῦ ἔτους, οὗ τὸ μὲν θάλλον, ἔαρ ὑγιεινόν· τὸ δὲ φθῖνον, φθινόπωρον νοσερόν. ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὴν ἕω, φθίνειν δὲ τὴν ἑσπέραν· ὅθεν καὶ νοσερωτέραν εἶναι. τόν τε περὶ τὴν γῆν ἀέρα, ἄσειστον καὶ νοσερόν, καὶ τὰ ἐν αὐτῷ πάντα θνητά· τὸν δὲ ἀνωτάτω, ἀεικίνητόν τε εἶναι, καὶ καθαρόν, καὶ ὑγιᾶ· καὶ πάντα τὰ ἐν αὐτῷ, ἀθάνατα, καὶ διὰ τοῦτο θεῖα. ἥλιόν τε καὶ σελήνην, καὶ τοὺς ἄλλους ἀστέρας, εἶναι θεούς· ἐπικρατεῖ γὰρ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ἐστὶ ζωῆς αἴτιον. τήν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν, κατὰ τὸ

μετέχειν ἄνθρωπον θερμοῦ. διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν. εἱμαρμένην τε τῶν ὅλων εἶναι, καὶ τὰ κατὰ μέρος, αἰτίαν τῆς διοικήσεως. διήκειν τε ἀπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος τοῦ τε ψυχροῦ καὶ παχέος. καλοῦσι δὲ τὸν μὲν ἀέρα, ψυχρὸν αἰθέρα· τὴν δὲ θάλασσαν καὶ τὸ ὑγρὸν, παχὺν αἰθέρα. ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βάθη δύεσθαι· καὶ διὰ τοῦτο, ζωοποιεῖν πάντα. καὶ ζῆν μὲν πάντα ὅσα μετέχει τοῦ θερμοῦ· διὸ καὶ τὰ φυτὰ, ζῷα εἶναι. ψυχὴν μέντοι μὴ ἔχειν πάντα. εἶναι δὲ τὴν ψυχὴν, ἀπόσπασμα αἰθέρος, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, τῷ συμμετέχειν ψυχροῦ αἰθέρος. διαφέρειν τε ψυχὴν, ζωῆς· ἀθάνατόν τε εἶναι αὐτὴν, ἐπειδήπερ καὶ τὸ ἀφ' οὗ ἀπέσπασται, ἀθάνατόν ἐστι. τὰ δὲ ζῷα γεννᾶσθαι ἐξ ἀλλήλων, ἀπὸ σπερμάτων. τὴν δ' ἐκ γῆς γένεσιν, ἀδύνατον ὑφίστασθαι. τὸ δὲ σπέρμα, εἶναι σταγόνα ἐγκεφάλου περιέχουσαν ἐν αὑτῇ θερμὸν ἀτμόν. ταύτην δὲ προσφερομένην τῇ μήτρᾳ, ἀπὸ μὲν τοῦ ἐγκεφάλου, ἰχῶρα καὶ ὑγρὸν καὶ αἷμα προΐεσθαι, ἐξ ὧν σάρκας τε καὶ νεῦρα, καὶ ὀστᾶ, καὶ τρίχας, καὶ τὸ ὅλον συνίστασθαι σῶμα· ἀπὸ δὲ τοῦ ἀτμοῦ, ψυχὴν καὶ αἴσθησιν. μορφοῦσθαι δὲ τὸ μὲν πρῶτον, παγὲν ἐν ἡμέραις τεσσαράκοντα· κατὰ δὲ τοὺς τῆς ἁρμονίας λόγους, ἐν ἑπτὰ, ἢ ἐννέα, ἢ δέκα τὸ πλεῖστον μησὶ τελειωθὲν, ἀποκυΐσκεσθαι τὸ βρέφος. ἔχειν δὲ ἐν αὐτῷ πάντας τοὺς λόγους τῆς ζωῆς, ὧν εἰρομένων, συνέχεσθαι κατὰ τοὺς τῆς ἁρμονίας λόγους, ἑκάστων ἐν τεταγμένοις καιροῖς ἐπιγινομένων. τήν τε αἴσθησιν κοινῶς, καὶ κατ' εἶδος τὴν ὅρασιν, ἀτμόν τινα εἶναι ἄγαν θερμόν. καὶ διὰ τοῦτο λέγεται δι' ἀέρος ὁρᾶν, καὶ δι' ὕδατος· ἀντερείδεσθαι γὰρ τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ. ἐπεί τοι εἰ ψυχρὸς ἦν ὁ ἐν τοῖς ὄμμασιν ἀτμὸς, διειστήκει ἂν πρὸς τὸν ὅμοιον ἀέρα· νῦν δὲ, ἔστιν ἐν οἷς ἡλίου πύλας καλεῖ τοὺς ὀφθαλμούς. τὰ δ' αὐτὰ καὶ περὶ τῆς ἀκοῆς καὶ τῶν λοιπῶν αἰσθήσεων δογματίζειν. τὴν δὲ ἀνθρώπ

ψυχὴν διαιρεῖσθαι τριχῆ, εἴς τε νοῦν, καὶ φρένα, καὶ θυμόν. νοῦν μὲν οὖν εἶναι καὶ θυμὸν, καὶ ἐν τοῖς ἄλλοις ζώοις· φρένας δὲ, μόνον ἐν ἀνθρώπῳ. εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς, ἀπὸ καρδίας μέχρι ἐγκεφάλου. καὶ τὸ μὲν ἐν τῇ καρδίᾳ μέρος αὐτῆς, ὑπάρχειν θυμόν· φρένας δὲ καὶ νοῦν, τὰ ἐν τῷ ἐγκεφάλῳ. σταγόνας δὲ εἰδέναι ἀπὸ τούτων, τὰς αἰσθήσεις. καὶ τὸ μὲν φρόνιμον, ἀθάνατον· τὰ δὲ λοιπὰ, θνητά. τρέφεσθαί τε τὴν ψυχὴν ἀπὸ τοῦ αἵματος. τοὺς δὲ λόγους, ψυχῆς ἀνέμους εἶναι. ἀόρατόν τε εἶναι αὐτὴν καὶ τοὺς λόγους· ἐπεὶ καὶ ὁ αἰθὴρ, ἀόρατος. δεσμά τε εἶναι τῆς ψυχῆς, τὰς φλέβας, καὶ τὰς ἀρτηρίας, καὶ τὰ νεῦρα· ὅταν δὲ ἰσχύῃ, καὶ καθ' αὑτὴν γινομένη ἠρεμῇ, δεσμὰ γίνεσθαι αὐτῆς τοὺς λόγους καὶ τὰ ἔργα. ἐκριφθεῖσαν δὲ αὐτὴν ἐπὶ γῆς, πλάζεσθαι ἐν τῷ ἀέρι, ὁμοίαν τῷ σώματι. τὸν δὲ Ἑρμῆν, ταμίαν εἶναι τῶν ψυχῶν· καὶ διὰ τοῦτο Πομπέα λέγεσθαι, καὶ Πυλαῖον, καὶ Χθόνιον, ἐπειδήπερ οὗτος εἰσπέμπει ἀπὸ τῶν σωμάτων τὰς ψυχὰς, ἀπό τε γῆς καὶ ἐκ θαλάττης. καὶ ἄγεσθαι μὲν τὰς καθαρὰς ἐπὶ τὸν ὕψιστον· τὰς δὲ ἀκαθάρτους μήτε ἐκείναις πελάζειν, μήτε ἀλλήλαις, δεῖσθαι δ' ἐν ἀρρήκτοις δεσμοῖς ὑπὸ ἐριννύων. εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ τούτους, δαίμονάς τε καὶ ἥρωας νομίζεσθαι· καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις τούς τε ὀνείρους, καὶ τὰ σημεῖα νόσου τε καὶ ὑγιείας· καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ προβάτοις, καὶ τοῖς ἄλλοις κτήνεσιν. εἴς τε τούτους γίνεσθαι τούς τε καθαρμοὺς, καὶ ἀποτροπιασμοὺς, μαντικήν τε πᾶσαν, καὶ κληδόνας, καὶ τὰ ὅμοια. μέγιστον δέ φησι τῶν ἐν ἀνθρώποις εἶναι τὴν ψυχὴν πεῖσαι ἐπὶ τὸ ἀγαθὸν, ἢ ἐπὶ τὸ κακόν. εὐδαιμονεῖν ἄνθρωπον ὅταν ἀγαθὴ ψυχὴ προσγένηται· μηδέποτε δὲ ἠρεμεῖν, μηδὲ τὸν αὐτὸν ῥόον κρατεῖν. ὅρκιόν τε εἶναι τὸ δίκαιον· καὶ διὰ τοῦτο Δία ὅρκιον λέγεσθαι. τήν τε ἀρετὴν, ἁρμονίαν εἶναι, καὶ

τὴν ὑγίειαν, καὶ τὸ ἀγαθὸν ἅπαν, καὶ τὸν θεόν· διὸ καὶ καθ' ἁρμονίαν συνεστάναι τὰ ὅλα. φιλίαν τε εἶναι ἐναρμόνιον ἰσότητα. τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι, μὴ τὰς ἴσας· ἀλλὰ θεοῖς ἀεί, μετ' εὐφημίας, λευχειμονοῦντας καὶ ἁγνεύοντας· ἥρωσι δέ, ἀπὸ μέσου ἡμέρας. τὴν δὲ ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων. καὶ διὰ τοῦ αὐτὸν καθαρεύειν ἀπό τε κήδους, καὶ λεχοῦς, καὶ μιάσματος παντός, καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν, καὶ τριγλῶν, καὶ μελανούρων, καὶ ᾠῶν, καὶ τῶν ᾠοτόκων ζῴων, καὶ κυάμων, καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. φησὶ δ' Ἀριστοτέλης ἐν τῷ Περὶ τῶν κυάμων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι, ἢ ὅτι ᾅδου πύλαις· (ἀγόνατον γὰρ μόνον) ἢ ὅτι φθείρει, ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον, ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς. τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν· ἢ ὅτι ἐπὶ τελευτῇ τινός. Ἀριστοφάνης δέ, τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι, Μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός. ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης. τὸ δ' ἦν τῶν ἀγαθῶν· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας. τῶν ἰχθύων μὴ ἅπτεσθαι, ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδὲ ἐλευθέροις καὶ δούλοις. καὶ τὸ μὲν λευκόν, τῆς τἀγαθοῦ φύσεως· τὸ δὲ μέλαν, τοῦ κακοῦ. ἄρτον μὴ καταγνύειν, ὅτι ἐπὶ ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν, ὃς συνάγει αὐτούς. οἱ δέ, πρὸς τὴν ἐν ᾅδου κρίσιν· οἱ δέ, ἐς πόλεμον δειλίαν ποιεῖν· οἱ δέ, ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν· τῶν δὲ ἐπιπέδων, κύκλον. γῆρας καὶ πᾶν τὸ μειούμενον, ὅμοιον· καὶ αὔξην καὶ νεότητα, ταὐτόν. ὑγίειαν, τὴν τοῦ εἴδους δια-

μονήν·

ολὴν νόσον, τὴν τούτου φθοράν. περὶ τῶν ἁλῶν, ὅτι δεῖ παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες ἂν σώζοισιν ὅ,τι ἂν παραλάβωσι. καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων, ὕδατος καὶ θαλάττης. καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν εὑρηκέναι· καὶ τὰ ἐκείνων ἐχόμενα, ὁ Ἀριστοτέλης. τὴν δὲ σεμνοπρέπειαν τοῦ Πυθαγόρου καὶ Τίμων ἐν τοῖς Σίλλοις δάκνων αὐτὸν, ὅμως οὐ παρέλιπεν εἰπὼν οὕτω,

Πυθαγόρην τε γόητας ἀποκλίναντ' ἐπὶ δόξην,
Θήρῃ ἐπ' ἀνθρώπων, σεμνηγορίης ὀαριστήν.

περὶ δὲ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι, Ξενοφάνης ἐν Ἐλεγίᾳ προσμαρτυρεῖ, ἧς ἀρχή,

Νῦν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

ὃ δὲ περὶ αὐτοῦ φησιν, οὕτως ἔχει,

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
Φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος,
Παῦσαι, μηδὲ ῥάπιζ'· ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀίων.

καὶ ταῦτα μὲν ὁ Ξενοφάνης. ἔσκωψε δ' αὐτὸν Κρατῖνος μὲν ἐν Πυθαγορικοῖς· ἀλλὰ καὶ ἐν Ταραντίνοις φησὶν οὕτως,

Ἔθος ἐστὶν αὐτοῖς, ἄν τινα ἰδιώτην
Ποθὲν λάβωσιν εἰσελθόντα, διαπειρώμενον (θέτοις;
Τῆς τῶν λόγων ῥώμης, ταράττειν καὶ κυκᾶν τοῖς ἀντι-
Τοῖς πέρασι, τοῖς παρισώμασι, τοῖς ἀποπλάνοις,
Τοῖς μεγέθεσιν οὐ βυστικῶς.

Μνησίμαχος Ἀλκμαίωνι,

Ὡς Πυθαγοριστὶ θύομεν τῷ Λοξίᾳ,
Ἔμψυχον οὐδὲν ἐσθίοντες παντελῶς.

Ἀριστοφῶν Πυθαγοριστῇ.

Ἔφη τε καταβὰς εἰς δίαιταν τῶν κάτω,
Ἰδεῖν ἑκάστους· διαφέρειν δὲ πάμπολυ

Τοὺς Πυθαγορεισὰς τῶν νεκρῶν. μόνοισι γὰρ
Τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη,
Δι' εὐσέβειαν. δυσχερῆ θεὸν λέγεις,
Εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών.
ἔτι ἐν τῷ αὐτῷ,
Ἐσθίουσί τε λάχανα, καὶ πίνουσιν
Ἐπὶ τούτοις ὕδωρ, φθεῖρας δὲ καὶ τρίβωνα,
Τήν τ' ἀλουσίαν οὐδεὶς ἂν ὑπομείνειε
Τῶν νεωτέρων.

ἐτελεύτα δ' ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον· συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μύλωνος οἰκίᾳ τούτου, ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων, διὰ φθόνον ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δ' αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. τὸν δὴ Πυθαγόραν καταληφθῆναι διεξιόντα· καὶ πρός τινι χωρίῳ γενόμενος πλήρει κυάμων, αὐτόθι ἔστη, εἰπὼν, ἁλῶναι μᾶλλον ἢ πατῆσαι· ἀναιρεθῆναι δὲ κρεῖττον, ἢ λαλῆσαι. καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. οὕτω δὲ καὶ τοὺς πλείους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τετταράκοντα. διαφυγεῖν δ' ὀλιγίστους· ὧν ἦν καὶ Ἀρχύτας ὁ Ταραντῖνος, καὶ Λύσις ὁ προειρημένος. φησὶ δὲ Δικαίαρχος τὸν Πυθαγόραν ἀποθανεῖν καταφυγόντα εἰς τὸ ἐν Μεταποντίῳ ἱερὸν τῶν Μουσῶν, τετταράκοντα ἡμέρας ἀσιτήσαντα. Ἡρακλείδης δέ φησιν ἐν τῇ τοῦ Σατύρου βίων ἐπιτομῇ, μετὰ τὸ θάψαι Φερεκύδην ἐν Δήλῳ, ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ πανδαισίαν εὑρόντα Μύλωνος τοῦ Κροτωνιάτου εἰς Μεταπόντιον ἐξελθεῖν, κἀκεῖ τὸν βίον καταστρέψαι ἀσιτίᾳ, μὴ βουλόμενον περαιτέρω ζῆν. Ἕρμιππος δέ φησι, πολεμούντων Ἀκραγαντίνων καὶ Συρακουσίων, ἐξελθεῖν μετὰ τῶν συνήθων τὸν Πυθαγόραν, καὶ προστῆναι τῶν Ἀκραγαντίνων. τροπῆς δὲ γενομένης περικάμπτοντα αὐτὸν τὴν τῶν κυάμων

χώραν, ὑπὸ τῶν Συρακουσίων ἀναιρεθῆναι· τούς τε λοιπούς, ὄντας πρὸς τοὺς πέντε καὶ τετταράκοντα, ἐν Ταραντι κατακαυθῆναι, θέλοντας ἀντιπολιτεύεσθαι τοῖς προεστῶσι. καὶ ἄλλο τι περὶ Πυθαγόρου φησὶν ὁ Ἕρμιππος. λέγει γὰρ ὡς γενόμενος ἐν Ἰταλίᾳ, κατὰ γῆς οἰκίσκον ποιήσαι, καὶ τῇ μητρὶ ἐντείλαιτο τὰ γινόμενα εἰς δέλτον γράφειν σημειουμένην καὶ τὸν χρόνον· ἔπειτα καθιέναι αὐτῷ ἔστ' ἂν ἀνέλθῃ. τοῦτο ποιῆσαι τὴν μητέρα. τὸν δὲ Πυθαγόραν μετὰ χρόνον ἀνελθεῖν ἰσχνὸν καὶ κατεσκελετευμένον. εἰσελθόντα τε εἰς τὴν ἐκκλησίαν, φάσκειν ὡς ἀφῖκται ἐξ ἅδου· καὶ δὴ καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ συμβεβηκότα. οἱ δέ, σαινόμενοι τοῖς λεγομένοις, ἐδάκρυόν τε καὶ ᾤμωζον, καὶ ἐπίστευον εἶναι τὸν Πυθαγόραν θεῖόν τινα· ὥστε καὶ τὰς γυναῖκας αὐτῷ παραδοῦναι, ὡς καὶ μαθησομένας τι τῶν αὐτοῦ· τὰς καὶ Πυθαγορικὰς κληθῆναι. καὶ ταῦτα μὲν Ἕρμιππος. ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνή, Θεανὼ ὄνομα, Βροντίνου τε Κροτωνιάτου θυγάτηρ. οἱ δέ, γυναῖκα μὲν εἶναι Βροντίνου, μαθήτριαν δὲ Πυθαγόρου. ἦν αὐτῷ καὶ θυγάτηρ Δαμώ, ὥς φησι Λύσις ἐν ἐπιστολῇ τῇ πρὸς Ἵππαρχον, περὶ Πυθαγόρου λέγων οὕτως, Λέγοντι δὲ πολλοί τοι καὶ δαμοσίᾳ φιλοσοφεῖν· ὅπερ ἀπαξιῶν Πυθαγόρας, ὅς γε τᾷ Δαμοῖ τᾷ ἑαυτοῦ θυγατρὶ παρακαταθέμενος τὰ ὑπομνήματα, ἐκέλευσε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν. ἃ δέ, δυναμένα πολλῶν χρημάτων ἀποδίδοσθαι τὼς λόγως, οὐκ ἐβουλήθη. πενίαν γὰρ καὶ τὰς τῶ πατρὸς ἐπισκήψιας ἐνόμισε χρυσῶ τιμιωτέρας εἶναι, καὶ ταῦτα γυνά. ἦν καὶ Τηλαύγης υἱὸς αὐτοῦ, ὃς καὶ διεδέξατο τὸν πατέρα, καὶ (κατά τινας) Ἐμπεδοκλέους καθηγήσατο. Ἱππόβοτος γέ τοι φησὶ λέγειν Ἐμπεδοκλέα Τηλαύγει, Κλυτὲ κοῦρε Θεανοῦς Πυθαγόρεώ τε. σύγγραμμα δὲ φέρεται τοῦ Τηλαύγους οὐδέν· τῆς δὲ μητρὸς αὐτοῦ Θεανοῦς τινὰ δῆλα. καί φασιν αὐτὴν ἐρωτηθεῖσαν ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει,

φαίαι, ἀπὸ μὲν τοῦ ἰδίου, παραχρῆμα· ἀπὸ δὲ τοῦ ἀλλοτρίου, οὐδέποτε. τῇ δὲ πρὸς τὸν ἴδιον ἄνδρα μελλούσῃ πορεύεσθαι, παρῄνει, ἅμα τοῖς ἐνδύμασι καὶ τὴν αἰσχύνην ἀποτίθεσθαι, ἀνισταμένην τε πάλιν ἅμα αὐτοῖσιν ἀναλαμβάνειν. ἐρωτηθεῖσα, Ποῖα; ἔφη, Ταῦτα δι' ἃ γυνὴ κέκλημαι. ὁ γοῦν Πυθαγόρας (ὡς μὲν Ἡρακλείδης φησὶν ὁ τοῦ Σαραπίωνος) ὀγδοηκοντούτης ἐτελεύτα, κατὰ τὴν ἰδίαν ὑπογραφὴν τῶν ἡλικιῶν· ὡς δὲ οἱ πλείους, ἔτη βιοὺς ἐννενήκοντα. καὶ ἡμῶν ἐστιν εἰς αὐτὸν πεπαιγμένα οὕτως ἔχοντα,

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς.
  Τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρα;
Ἀλλ' ὅταν ἑψηθῇ τι, καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
  Δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.

Ἄλλο.

Ἦν ἄρα Πυθαγόρης τοῖος σοφὸς, ὥστε μὲν αὐτὸς
  Μὴ ψαύειν κρειῶν, καὶ λέγεν ὡς ἄδικον.
Σιτίζειν δ' ἄλλους. ἄγαμαι σοφόν· αὐτὸς ἔφα μὲν
  Οὐκ ἀδικεῖν, ἄλλους δ' αὐτὸς ἄρ' ἦν ἀδικῶν.

Καὶ ἄλλο.

Τὰς φρένας ἢν ἐθέλῃς τὰς Πυθαγόραο νοῆσαι,
  Ἀσπίδος Εὐφόρβου βλέψον ἐς ὀμφαλόον.
Φησὶ γὰρ, Οὗτος ἐγὼν ἦν πρόβροτος· ὃς δ' ὅτε οὐκ ἦν
  Φάσκεν ὅτ' ἦν δήπου, οὐκ ἂν ἔην ὅτε ἦν.

Καὶ ἄλλο, ὡς ἐτελεύτα.

Αἶ αἶ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη;
  Καὶ θάνε φοιτηταῖς ἄμμιγα τοῖς ἰδίοις;
Χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους δὲ πατήσῃ,
  Ἐξ Ἀκραγαντίνων κάτθαν' ἐνὶ τριόδῳ.

ἤκμαζε δὲ κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα, καὶ αὐτοῦ τὸ σύστημα διέμεινε μέχρι γενεῶν ἐννεακαίδεκα. τελευταῖοι γὰρ ἐγένοντο τῶν Πυθαγορείων οὓς καὶ Ἀριστόξενος

εἶδε, Ξενόφιλός τε ὁ Χαλκιδεὺς, ἀπὸ Θρᾴκης, καὶ Φάντων ὁ Φλιάσιος, καὶ Ἐχεκράτης, καὶ Διοκλῆς, καὶ Πολύμναστος, Φλιάσιοι καὶ αὐτοί. ἦσαν δ' ἀκροαταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων. γεγόνασι δὲ Πυθαγόραι τέτταρες περὶ τοὺς αὐτοὺς χρόνους, οὐ πολὺ ἀπ' ἀλλήλων ἀπέχοντες· εἷς μὲν Κροτωνιάτης, τυραννικὸς ἄνθρωπος· ἕτερος Φλιάσιος, σωμασκητὴς, ἀλείπτης, ὥς φασί τινες· τρίτος, Ζακύνθιος, οὗ φασιν εἶναι τἀπόρρητα τῆς φιλοσοφίας, αὐτῶν διδάσκαλος· ἐφ' οὗ καὶ τὸ Αὐτὸς ἔφα, παροιμιακὸν εἰς τὸν βίον ἦλθεν. οἱ δὲ καὶ ἄλλον ἀνδριαντοποιὸν Ῥηγῖνον γεγονέναι φασὶ Πυθαγόραν, πρῶτον δοκοῦντα ῥυθμοῦ καὶ συμμετρίας ἐστοχάσθαι· καὶ ἄλλον, ἀνδριαντοποιὸν Σάμιον· καὶ ἕτερον, ῥήτορα μοχθηρόν· καὶ ἰατρὸν ἄλλον, τὰ περὶ κήλης γεγραφότα, καί τινα περὶ Ὁμήρου συντεταγμένον· καὶ ἕτερον, Δωρικὰ πεπραγματευμένον, ὡς Διονύσιος ἱστορεῖ. Ἐρατοσθένης δέ φησι (καθὰ καὶ Φαβωρῖνος ἐν τῇ παντοδαπῇ ἱστορίᾳ παρατίθεται) τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα, ἐπὶ τῆς ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμπιάδος, κομήτην, καὶ ἁλουργίδα φοροῦντα. ἐκκριθῆναί τε ἐκ τῶν παίδων, καὶ χλευασθέντα, αὐτίκα προσβῆναι τοὺς ἄνδρας, καὶ νικῆσαι. ἀπλοῦν δὲ τοῦτο καὶ τοὐπίγραμμα, ὅπερ ἐποίησε Θεαίτητος,

Πυθαγόρην, τινὰ Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,
Ἀδόμενον πύκτην εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι. τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο
Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

τοῦτον ὁ Φαβωρῖνος φησὶν ὅροις χρήσασθαι διὰ τῆς μαθηματικῆς ὕλης, ἐπὶ πλέον δὲ Σωκράτην, καὶ τοὺς ἐκείνῳ πλησιάσαντας· καὶ μετὰ ταῦτα, Ἀριστοτέλην καὶ τοὺς Στωϊκούς. ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον, καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος, Παρμενίδην· ὡς δὲ Ζήνων, Ἡσίοδον. τούτῳ φασὶν ἀντιπαρατάττεσθαι

Κύδωνα, καθάπερ Ἀντίδοκον Σωκράτει. ἐπὶ δὲ τοῦ ἀθλητοῦ Πυθαγόρου καὶ τοῦτ' ἐλέγετο τὸ ἐπίγραμμα,

Οὗτος πυκτεύσων ἐς Ὀλύμπια παισὶν ἄνηβος
Ἤλυθε Πυθαγόρας ὁ Κράτεω Σάμιος.

ὁ δὲ φιλόσοφος καὶ ὧδε ἐπέστειλε.

Πυθαγόρας Ἀναξιμένει.

Καὶ σὺ ὦ λῷστε, εἰ μηδὲν ἀμείνων ἦς Πυθαγόρεω γενεήν τε καὶ κλέος, μεταναστὰς ἂν ᾤχεο ἐκ Μιλήτου· νῦν δὲ κατερύκει σε ἡ πατρόθεν εὔκλεια· καί ἐμέ τε ἂν κατέρυκεν Ἀναξιμένει ἐοικότα. εἰ δὴ ὑμεῖς οἱ ὀνηστοὶ τὰς πόλεις ἐκλείψετε, ἀπὸ μὲν αὐτέων ὁ κόσμος αἱρεθήσεται, ἐπικινδυνώτερα δὴ αὐτῇσι τὰ ἐκ Μήδων. οὔτε δὲ αἰεὶ καλὸν αἰθερολογεῖν μελεδωνόν τε εἶναι τῇ πατρίδι κάλλιον. καὶ ἐγὼ δὲ οὐ πάντα περὶ τοὺς ἐμεωυτοῦ μύθους, ἀλλὰ καὶ ἐν πολέμοις οὓς διαφέρουσιν εἰς ἀλλήλους Ἰταλιῶται.

Ἐπειδὴ δὲ περὶ Πυθαγόρου διεληλύθαμεν, ῥητέον περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν· μεθ' οὓς περὶ τῶν σποράδην κατά τινας φερομένων· ἔπειθ' οὕτως ἐξάψομεν τὴν διαδοχὴν τῶν ἀξίων λόγου, ἕως Ἐπικούρου, καθὰ καὶ προειρήκαμεν. περὶ μὲν οὖν Θεανοῦς καὶ Τηλαύγους διειλέγμεθα. λεκτέον δὲ νῦν περὶ Ἐμπεδοκλέους πρῶτον· κατὰ γάρ τινας, Πυθαγόρου διήκουσεν.

## ΕΜΠΕΔΟΚΛΗΣ.

Ἐμπεδοκλῆς (ὥς φησιν Ἱππόβοτος) Μέτωνος ἦν υἱὸς τοῦ Ἐμπεδοκλέους, Ἀκραγαντῖνος. τὸ δ' αὐτὸ καὶ Τίμαιος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν ἱστοριῶν, ἐπίσημον ἄνδρα γεγενέναι τὸν Ἐμπεδοκλέα, τὸν πάππον τοῦ ποιητοῦ. ἀλλὰ καὶ Ἕρμιππος τὰ αὐτὰ τούτῳ φησίν. ὁμοίως καὶ Ἡρακλείδης ἐν τῷ περὶ νόσων, ὅτι λαμπρᾶς ἦν οἰκίας ἱπποτροφηκότος τοῦ πάππου. λέγει δὲ καὶ Ἐρατοσθένης

ἐν τοῖς Ὀλυμπιονίκαις, τὴν πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει. Ἀπολλόδωρος δὲ ὁ γραμματικὸς ἐν τοῖς χρονικοῖς φησὶν, ὡς ἦν Μέτωνος μὲν υἱός. εἰς δὲ Θουρίους αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους Γλαῦκος ἐλθεῖν φησίν. εἶθ' ὑποβάς, Οἱ δ' ἱστοροῦντες ὡς οἴκοθεν πεφευγὼς εἰς τὰς Συρακούσας, μετ' ἐκείνων ἐπολέμει πρὸς τοὺς Ἀθηναίους, τελέως ἀγνοεῖν μοι δοκοῦσιν. ἢ γὰρ οὐκ ἔτ' ἦν, ἢ παντελῶς ὑπεργεγηρακὼς ὅπερ οὐ φαίνεται. Ἀριστοτέλης γὰρ αὐτὸν, ἔτι τε Ἡράκλειτος, ἑξήκοντα ἐτῶν φησὶ τετελευτηκέναι. ὁ δὲ τὴν πρώτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς κέλητι, τούτου πάππος ἦν ὁμώνυμος, ὥσθ' ἅμα καὶ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι. Σάτυρος δὲ ἐν τοῖς βίοις φησὶν ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον. ἐπί τε τῆς αὐτῆς Ὀλυμπιάδος τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ, πάλῃ, ἢ (ὡς Ἡρακλείδης ἐν τῇ ἐπιτομῇ) δρόμῳ. ἐγὼ δὲ εὗρον ἐν τοῖς ὑπομνήμασι Φαβωρίνου, ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπεδοκλῆς ἐκ μέλιτος καὶ ἀλφίτων· καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαύγης δὲ ὁ Πυθαγόρου παῖς, ἐν τῇ πρὸς Φιλόλαον ἐπιστολῇ φησὶ τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. ὅτι δὲ ἦν Ἀκραγαντῖνος ἐκ Σικελίας, αὐτὸς ἐναρχόμενος τῶν καθαρμῶν φησίν,

Ὦ φίλοι οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως.

καὶ τὰ μὲν περὶ τοῦ γένους αὐτοῦ τάδε. ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπείᾳ τότε, (καθὰ καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν. μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα,

Ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,

Ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον.

οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα. φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίευσεν αὐτὰ, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. τὸ δ' αὐτὸ καὶ Πλάτωνα φασὶ παθεῖν· καὶ γὰρ τοῦτον κωλυθῆναι. τίνος μέντοιγε αὐτὸν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἶπεν. τὴν γὰρ περιφερομένην πρὸς Τηλαυγοῦς ἐπιστολὴν ὅτι μετέσχεν Ἱππάσου καὶ Βροντίνου, μὴ εἶναι ἀξιόπιστον. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι, καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον ἐν ἔπεσι τὸν Περὶ φύσεως λόγον ἐξενεγκεῖν. Ἕρμιππος δὲ, οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγενέναι ζηλωτὴν· ᾧ καὶ συνδιατρεῖψαι, καὶ μιμήσασθαι τὴν ἐποποιίαν. ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῷ φυσικῷ φησὶ κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου· εἶθ' ὕστερον ἀποχωρῆσαι. καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι· τὸν δὲ, Ἀναξαγόρου διακοῦσαι καὶ Πυθαγόρου. καὶ τοῦ μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν. Ἀριστοτέλης δὲ ἐν τῷ Σοφιστῇ φησι, πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν· Ζήνωνα δὲ, διαλεκτικήν. ἐν δὲ τῷ περὶ ποιητῶν, φησὶν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς, καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὢν, καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος. καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα, τήν τε τοῦ Ξέρξου διάβασιν, καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ' ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ ἢ θυγάτηρ (ὥς φησιν Ἱερώνυμος) τὸ μὲν προοίμιον, ἄκουσα· τὰ δὲ Περσικὰ, βουληθεῖσα, διὰ τὸ ἀτελείωτα εἶναι. καθόλου δέ φησι καὶ τραγῳδίας αὐτὸν γράψαι, καὶ πολιτικά. Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος, ἑτέρου φησὶν εἶναι τὰς τραγῳδίας

Ἱερώνυμος δέ φησιν αὐτὸν τρισὶ καὶ τετταράκοντα ἐντετυχηκέναι. Νεάνθης δὲ, νέον ὄντα γεγραφέναι τὰς τραγῳδίας, καὶ αὐτὸν ἔπειτα αὐταῖς ἐντετυχηκέναι. φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις, ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητὴν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ, καὶ τέχνην ἀπολελοιπότα· ὅν φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς, ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. τοῦτον φησὶν ὁ Σάτυρος λέγειν, ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησὶ,

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν, καὶ γήραος ἄλκαρ,
Πεύσῃ· ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν
Ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούραν.
Καὶ πάλιν ἢν κ' ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις.
Θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
Ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
Ῥεύματα δενδρεόθρεπτα, τὰ δ' ἐν θέρει ἀήσαντα.
Ἄξεις δ' ἐξ ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

φησὶ δὲ καὶ Τίμαιος ἐν τῇ ιη´ κατὰ πολλοὺς τρόπους τεθαυμάσθαι τὸν ἄνδρα. καὶ γὰρ ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι, καὶ ἀσκοὺς ποιῆσαι, πρὸς τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα. λήξαντος δὲ, Κωλυσανέμαν κληθῆναι. Ἡρακλείδης δὲ ἐν τῷ περὶ νόσων, φησὶ καὶ Παυσανίᾳ ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν. ἦν δ' ὁ Παυσανίας, (ὥς φησιν Ἀρίστιππος καὶ Σάτυρος) ἐρώμενος αὐτοῦ, ᾧ δὴ καὶ τὰ περὶ φύσεως προσπεφώνηκεν οὕτως,

Παυσανία σὺ δὲ κλῦθι δαΐφρονος Ἀγχίτου υἱέ.

ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησε,

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτου υἱὸν
Φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,
Ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
Φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.

τὴν γοῦν ἄπνουν ὁ Ἡράκλειτός φησι τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμέρας σωτηρεῖν ἄπνουν καὶ ἄσηπτον τὸ σῶμα· ὅθεν εἶπεν αὐτὸν καὶ ἰατρὸν καὶ μάντιν, λαμβάνων ἅμα καὶ ἀπὸ τούτων τῶν στίχων.

Ὦ φίλοι οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
Ναίετ' ἀν' ἄκρα πόλεως, ἀγαθῶν μελεδήμονες ἔργων,
Χαίρετ'. ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς.
Πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
Ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις,
Τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθόωντα,
Ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι. οἱ δ' ἅμ' ἕπονται
Μυρίοι, ἐξερέοντες ὅπη πρὸς κέρδος ἀταρπός·
Οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δέ τι νούσων
Παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

μέγαν δὲ τὸν Ἀκράγαντα εἰπεῖν φησιν, ἐπεὶ μυριάδες αὐτὸν κατῴκουν ὀγδοήκοντα. ὅθεν τὸν Ἐμπεδοκλέα εἰπεῖν, τρυφώντων αὐτῶν, Ἀκραγαντῖνοι τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατασκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι. αὐτοὺς δὲ τούτους τοὺς καθαρμοὺς ἐν Ὀλυμπίᾳ ῥαψῳδῆσαι λέγεται Κλεομένην τὸν ῥαψῳδόν· ὡς καὶ Φαβωρῖνος ἐν ἀπομνημονεύμασι. φησὶ δ' αὐτὸν καὶ Ἀριστοτέλης ἐλεύθερον γεγονέναι, καὶ πάσης ἀρχῆς ἀλλότριον, εἴ γε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, (καθάπερ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει) τὴν λιτότητα δηλονότι πλέον ἀγαπήσας. τὰ δ' αὐτὰ καὶ Τίμαιος εἴρηκε, τὴν αἰτίαν ἅμα παρατιθέμενος τοῦ δημοτικὸν εἶναι τὸν ἄνδρα. φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων, καὶ προβαίνοντος τοῦ πότου, ὡς τὸ δεῖπνον οὐκ

ἰσεφέρετο, τῶν δ' ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευσεν εἰσφέρειν. ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς βουλῆς ὑπηρέτην. ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος, ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν. ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε. τῇ δ' ὑστεραίᾳ εἰσαγαγὼν εἰς δικαστήριον, ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον. ἀρχὴ μὲν οὖν αὕτη τῆς πολιτείας ἤδε. πάλιν δὲ Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρῴου μνήματος, διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς, ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς, καί τοι καὶ τοιοῦτον ἐρωτήσας. τί δὲ ἐπιγράψομεν ἐλεγεῖον, ἢ τοῦτο;

Ἄκρον ἰητρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς ἄκρου
Κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται,

Ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

τοῦτον τινὲς Σιμωνίδου φασὶν εἶναι. ὕστερον δ' ὁ Ἐμπεδοκλῆς καὶ τὸ τῶν χιλίων ἄθροισμα κατέλυσε συνεστὼς ἐπὶ ἔτη τρία. ὥστε οὐ μόνον ἦν τῶν πλουσίων, ἀλλὰ καὶ τῶν τὰ δημοτικὰ φρονούντων. ὁ γέτοι Τίμαιος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ, (πολλάκις γὰρ αὐτοῦ μνημονεύει) φησὶν ἐναντίαν τῇ πολιτείᾳ ἐσχηκέναι γνώμην αὐτόν. ὅπου δὲ ἀλαζόνα καὶ φίλαυτον ἐν τῇ ποιήσει ἴδοι τις ἄν. φησὶ γοῦν,

Χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκ ἔτι θνητὸς,
Πωλεῦμαι.

καὶ τὰ ἑξῆς. καθ' ὃν δὲ χρόνον ἐπεδήμει Ὀλυμπιάσιν, ἐπιστροφῆς ἠξιοῦτο πλείονος, ὥστε μηδενὸς ἑτέρου μνείαν γίνεσθαι ἐν ταῖς ὁμιλίαις ὅσην Ἐμπεδοκλέους. ὕστερον μὲν τοι τῆς Ἀκράγαντος οἰκιζομένου, ἀντέστησαν αὐτοῦ τῇ καθόδῳ

οἱ τῶν ἐχθρῶν ἀπόγονοι. διόπερ εἰς Πελοπόννησον ἀποχωρήσας ἐτελεύτησεν. οὐ παρῆκε δὲ οὐδὲ τοῦτον ὁ Τίμων, ἀλλ' ὡς αὐτοῦ καθάπτεται, λέγων,

- - καὶ Ἐμπεδοκλῆς ἀγοραίων
Κηλητὴς ἐπέων· ὅσα δ' ἔσθενε, τοσσάδε εἷλεν
Ἄρχων, ὃς διέθηκ' ἀρχὰς ἐπιδευέας ἄλλων.

περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστιν ὁ λόγος. Ἡρακλείδης μὲν γὰρ τὰ περὶ τῆς ἄπνου διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, φησὶν ὅτι θυσίαν συνετέλει πρὸς τῷ Πεισιάνακτος ἀγρῷ. συνεκέκληντο δὲ τῶν φίλων τινὲς, ἐν οἷς καὶ Παυσανίας. εἶτα μετὰ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις, ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπῃ βούλοιντο· αὐτὸς δ' ἔμεινεν ἐπὶ τοῦ τόπου ἐφ' οὗπερ κατεκέκλιτο. ὡς δὲ ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. ζητουμένου δὲ, καὶ τῶν οἰκετῶν ἀνακρινομένων, καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα· εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον, καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῶν δὲ ἐπὶ τῷ γενομένῳ ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψέ τινας ζητήσοντας. ὕστερον δὲ ἐκωλύθη πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι, καὶ θύειν αὐτῷ δεῖν, καθαπερεὶ γεγονότι θεῷ. Ἕρμιππος δέ φησι Πάνθειάν τινα Ἀκραγαντίνην, ἀπηλπισμένην ὑπὸ τῶν ἰατρῶν, θεραπεῦσαι αὐτὸν, καὶ διὰ τοῦτο τὴν θυσίαν ἐπιτελεῖν. τοὺς δὲ κληθέντας εἶναι πρὸς τοὺς ὀγδοήκοντα. Ἱππόβοτος δέ φησιν ἐξαναστάντα αὐτὸν ὡδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην· εἶτα παραγενόμενον, ἐπὶ τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι καὶ ἀφανισθῆναι βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός. ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων. (χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. πρὸς τοῦτο

αυσανίας ἀντέλεγε. Διόδωρος δ' ὁ Ἐφέσιος περὶ Ἀνα-
μάνδρου γράφων, φησὶν ὅτι τοῦτον ἐζηλώκει, τραγικὸν ἀ-
ῶν τῦφον καὶ σεμνὴν ἀναλαβὼν ἐσθῆτα. τοῖς δὲ Σελι
ουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου
ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυ
ναῖκας δυστοκεῖν, ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα, καὶ δύο τινὰς
ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ
καταμίξαντα γλυκᾶναι τὰ ῥεύματα. οὕτω δὴ λήξαντος τοῦ
λοιμοῦ, καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῷ
ποταμῷ, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας
προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῷ. ταύτην
οὖν θέλοντα διαβεβαιῶσαι τὴν διάληψιν, εἰς τὸ πῦρ ἐνα-
λέσθαι. τούτοις δ' ἐναντιοῦται Τίμαιος, ῥητῶς λέγων
ὡς ἐξεχώρησεν εἰς Πελοπόννησον, καὶ τὸ σύνολον οὐκ ἐπα-
νῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. πρὸς δὲ
Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίρρη-
σιν ἐν τῇ τετάρτῃ. Συρακούσιόν τε γὰρ εἶναι τὸν Πεισιάνακτα,
καὶ ἀγρὸν οὐκ ἔχειν ἐν Ἀκράγαντι· Παυσανίαν τε μνημεῖ-
ον ἂν πεποιηκέναι τοῦ φίλου, τοιούτου διαδοθέντος λόγου, ἢ ἀ-
γαλμάτιόν τι, ἢ σηκὸν οἷα θεοῦ. καὶ γὰρ πλούσιον εἶναι. Πῶς
οὖν (φησὶν) εἰς τοὺς κρατῆρας ἥλατο, ὧν σύνεγγυς ὄντων
οὐδὲ μνείαν ποτὲ ἐπεποίητο; τετελεύτηκεν οὖν ἐν Πελοπον-
νήσῳ. οὐδὲν δὲ παράδοξον τάφον αὐτοῦ μὴ φαίνεσθαι·
μηδὲ γὰρ ἄλλων πολλῶν. τοιαῦτά τινα εἰπὼν ὁ Τίμαιος,
ἐπιφέρει, Ἀλλὰ διὰ παντός ἐστιν Ἡρακλείδης τοιοῦτος πα-
ραδοξολόγος, καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον
λέγων. Ἱππόβοτος δέ φησιν ὅτι ἀνδριὰς ἐγκεκαλυμμέ-
νος Ἐμπεδοκλέους ἔκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστε-
ρον δὲ πρὸ τοῦ Ῥωμαίων βουλευτηρίου, ἀκάλυφος, δηλονό-
τι μεταθέντων αὐτὸν Ῥωμαίων. γραπταὶ μὲν γάρ εἰσι τινὲς,
καὶ νῦν περιφέρονται. Νεάνθης δ' ὁ Κυζικηνὸς, ὁ καὶ
περὶ τῶν Πυθαγορικῶν εἰπὼν, φησὶ Μέτωνος τελευτή-

σαντος τυραννίδος ἀρχὴν ὑποφύεσθαι· εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν. ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας αὐτὸν προικίσαι, διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν, καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν ἀπομνημονεύμασιν· ἔτι τε ἐμβάδας χαλκᾶς, καὶ στέμμα Δελφικόν. κόμη τε ἦν αὐτῷ βαθεῖα, καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. τοιοῦτος δὴ προῄει, τῶν πολιτῶν ἐντυχόντων, καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον. ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην, πεσεῖν καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου, τελευτῆσαι ἐτῶν ζ καὶ ο. εἶναι δ' αὐτοῦ καὶ τάφον ἐν Μεγάροις. περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται. φησὶ γὰρ ἐκεῖνος ξ ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ, θ καὶ ρ. ἤκμαζε δὲ κατὰ τὴν δ καὶ π Ὀλυμπιάδα. Δημήτριος δὲ ὁ Τροιζήνιος ἐν τῷ κατὰ σοφιστῶν βιβλίῳ φησὶν αὐτὸν, καθ' Ὅμηρον,

Ἀψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
Αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' ἀΐδόσδε κατελθεῖν.

ἐν δὲ τῷ προειρημένῳ Τηλαύγους ἐπιστολίῳ, λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθήσαντα τελευτῆσαι. καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα. φέρεται δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἐν τῇ παμμέτρῳ σκωπτικὸν μὲν, τοῦτον δ' ἔχον τὸν τρόπον,

Καὶ σύ ποτ' Ἐμπεδόκλεις διερῇ φλογὶ σῶμα καθήρας,
Πῦρ ἀπὸ κρητήρων ἔκπιες ἀθανάτων.
Οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
Ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

Καὶ ἄλλο,

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος, ὥς ποθ' ἁμάξης

Ἔκπεσε, καὶ μηρὸν κλάσατο δεξιτερόν.
Εἰ δὲ πρὸς κρατῆρας ἐσήλατο, καὶ πίε τὸ ζῆν,
Πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;

δόκει δὲ αὐτῷ τάδε. Στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· φιλίαν τε ᾗ συγκρίνεται, καὶ νεῖκος ᾧ διακρίνεται. φησὶ δ' οὕτω,

Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστίς θ' ἣ δακρύοις ἐπιπικροῖ ὄμμα βρότειον.

ία μὲν, τὸ πῦρ λέγων· Ἥρην δὲ, τὴν γῆν· Ἀϊδωνέα δὲ, τὸν ἀέρα· Νῆστιν δὲ, τὸ ὕδωρ. καὶ ταῦτα, φησὶν, ἀλλαττόμενα διαμπερὲς οὐδαμοῦ λήγει, ὡς ἂν ἀϊδίου τῆς τοιαύτης διακοσμήσεως οὔσης. ἐπιφέρει γοῦν,

Ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
Ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει.

τὸν μὲν ἥλιον φησὶ πυρὸς ἄθροισμα μέγα, καὶ τῆς σελήνης μείζω· τὴν δὲ σελήνην, δισκοειδῆ· αὐτὸν δὲ τὸν οὐρανὸν, κρυσταλλοειδῆ. καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζώων καὶ φυτῶν ἐνδύεσθαι. φησὶ γοῦν,

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε,
Θάμνος τ' οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

ὰ μὲν οὖν περὶ φύσεως αὐτῷ καὶ οἱ καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια, ὁ δὲ ἰατρικὸς λόγος εἰς ἔπη ἑξακόσια. περὶ δὲ τῶν τραγῳδιῶν προειρήκαμεν.

## ΕΠΙΧΑΡΜΟΣ.

Ἐπίχαρμος Ἡλοθαλοῦς, Κῷος, καὶ οὗτος ἤκουσε Πυθαγόρου. τριμηνιαῖος δ' ὑπάρχων, ἀπηνέχθη τῆς Σικελίας εἰς Μέγαρα· ἐντεῦθεν δὲ εἰς Συρακούσας, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς συγγράμμασι. καὶ αὐτῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγέγραπται τόδε,

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,

Καὶ πόντις ποταμῶν μεῖζον' ἔχει δύναμιν·
Φημὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
Ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρηκοσίων.

Οὗτος ὑπομνήματα καταλέλοιπεν, ἐν οἷς φυσιολογεῖ, γνωμολογεῖ, ἰατρολογεῖ· καὶ παραστιχίδιά γε τοῖς πλείστοις τῶν ὑπομνημάτων πεποίηκεν, οἷς διασαφεῖ ὅτι αὐτοῦ ἐστι τὰ συγγράμματα. βιοὺς δὲ ἔτη ἐνενήκοντα, κατέστρεψεν τοῦ ζῆν.

## ἈΡΧΥ'ΤΑΣ.

Ἀρχύτας Μνησαγόρου, Ταραντῖνος· ὡς δὲ Ἀριστόξενος, Ἑστιαίου, Πυθαγορικὸς καὶ αὐτός. οὗτός ἐστιν ὁ Πλάτωνα ῥυσάμενος δι' ἐπιστολῆς, παρὰ Διονυσίου μέλλοντα ἀναιρεῖσθαι. ἐθαυμάζετο δὲ καὶ παρὰ τοῖς πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ· καὶ δὴ ἑπτάκις τῶν πολιτῶν ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούντων, διὰ τὸ κωλύειν τὸν νόμον. πρὸς τοῦτον καὶ Πλάτων γέγραφεν ἐπιστολὰς δύο, ἐπειδήπερ αὐτῷ πρότερος ἐγεγράφει τοῦτον τὸν τρόπον·

Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀρρωστίας. ταῦτα γὰρ αὐτός τε ἐπέσταλκας, καί τινι περὶ Δαμησκὸν ἀπάγγελον. περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες, καὶ ἀνήλθομες ὡς Λευκανώς, καὶ ἐνετύχομες τοῖς Ὀκέλλω ἐκγόνοις. τὰ μὲν ὦν περὶ νόμω, καὶ βασιληΐας, καὶ ὁσιότατος, καὶ τᾶς τῶ παντὸς γενέσιος, αὐτοί τε ἔχομες καὶ τὶν ἀπεστάλκαμες· τὰ δὲ λοιπὰ οὔτοι νῦν γε δύναται εὑρεθῆμεν. αἰ δέ κα εὑρεθῇ, ἥξει τοι. ὧδε μὲν ὁ Ἀρχύτας. ὁ δὲ Πλάτων ἀντεπιστέλλει τοῦτον τὸν τρόπον·

Πλάτων

Πλάτων Ἀρχύτᾳ εὖ πράττειν.

Τὰ μὲν παρὰ σοῦ ἐλθόντα ὑπομνήματα θαυμαστῶς ἄσμενοί τε ἐλάβομεν, καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα· καὶ ἔδοξεν ἡμῖν ἁνὴρ ἄξιος ἐκείνων τῶν παλαιῶν προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι Μυραῖοι εἶναι. οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων, ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα, περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει· ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι. περὶ δὲ τῆς φυλακῆς ἀμφότεροι συμφωνοῦμεν· ὥστε οὐδὲν δεῖ παρακελεύεσθαι. ἔρρωσο.

Καὶ ὧδε μὲν πρὸς ἀλλήλους αὐταῖς ἔχουσιν αἱ ἐπιστολαί. Γεγόνασι δ' Ἀρχύται τέτταρες· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, Μιτυληναῖος, μουσικός· τρίτος, περὶ γεωργίας συγγεγραφώς· τέταρτος, ἐπιγραμματοποιός. ἔνιοι καὶ πέμπτον ἀρχιτέκτονα φασίν· οὗ φέρεται βιβλίον περὶ μηχανῆς, ἀρχὴν ἔχον ταύτην, Τάδε παρὰ Τεύκρου Καρχηδονίου διήκουσα. περὶ δὲ τοῦ μουσικοῦ φέρεται καὶ τόδε, ὡς ὀνειδιζόμενος ἐπὶ τῷ μὴ ἐξακούεσθαι, εἴποι, Τὸ γὰρ ὄργανον ὑπὲρ ἐμοῦ διαγωνιζόμενον λαλεῖ. τὸν δὲ Πυθαγορεῖον Ἀριστόξενος φησὶ μηδέποτε στρατηγοῦντα ἡττηθῆναι· φθονούμενον δ' ἅπαξ, ἐκχωρῆσαι τῆς στρατηγίας, καὶ τοὺς αὐτίκα ληφθῆναι. οὗτος πρῶτος τὰ μηχανικὰ ταῖς μηχανικαῖς προσχρησάμενος ἀρχαῖς ἐμεθώδευσε, καὶ πρῶτος κίνησιν ὀργανικὴν διαγράμματι γεωμετρικῷ προσήγαγε, διὰ τῆς τομῆς τοῦ ἡμικυλίνδρου δύο μέσας ἀνάλογον λαβεῖν ζητῶν εἰς τὸν τοῦ κύβου διπλασιασμόν. καὶ γεωμετρίᾳ πρῶτος κύβον εὗρεν, ὡς φησι Πλάτων ἐν πολιτείᾳ.

## ἈΛΚΜΑΊΩΝ.

Ἀλκμαίων Κροτωνιάτης, καὶ οὗτος Πυθαγόρου διήκουσε, καὶ τὰ πλεῖστά γε ἰατρικὰ λέγει. ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε, λέγων, Δύο τὰ πολλά ἐστι τῶν ἀνθρωπίνων. δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, (καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ) καὶ τὴν σελήνην καθόλου ταύτην ἔχειν ἀΐδιον φύσιν. ἦν δὲ Πειρίθου υἱὸς, ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματος φησίν. Ἀλκμαίων Κροτωνιήτης τάδε ἔλεξε, Πειρίθου υἱὸς, Βροτίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ. περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι· ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι. καὶ τὰ ἑξῆς. ἔφη δὲ καὶ τὴν ψυχὴν ἀθάνατον, καὶ κινεῖσθαι αὐτὴν συνεχῶς ὡς τὸν ἥλιον.

## ἽΠΠΑΣΟΣ.

Ἵππασος, Μεταποντῖνος, καὶ αὐτὸς Πυθαγορικός. ἔφη δὲ χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμου μεταβολῆς, καὶ πεπερασμένον εἶναι τὸ πᾶν καὶ ἀεικίνητον. φησὶ δ' αὐτὸν Δημήτριος ἐν ὁμωνύμοις, μηδὲν καταλιπεῖν σύγγραμμα. γεγόνασι δὲ Ἵππασοι δύο· οὗτός τε, καὶ ἕτερος γεγραφὼς ἐν ε̄ βιβλίοις Λακώνων πολιτείαν. ἦν δὲ καὶ αὐτὸς Λάκων.

## ΦΙΛΌΛΑΟΣ.

Φιλόλαος Κροτωνιάτης, Πυθαγορικός. παρὰ τούτου Πλάτων ὠνήσασθαι τὰ βιβλία τὰ Πυθαγορικὰ Δίωνι γράφει. ἐτελεύτα δὲ νομισθεὶς ἐπιτίθεσθαι τυραννίδι. καὶ ἡμῶν ἐστιν εἰς αὐτὸν,

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν.
Εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκῇς, ἀτυχεῖς.

Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
 Ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Δοκεῖ δὲ αὐτῷ πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γίνεσθαι. καὶ τὴν γῆν κινεῖσθαι κατὰ κύκλον, πρῶτον εἰπεῖν· οἱ δὲ, Ἱκέταν Συρακούσιον φασίν. γέγραφε δὲ βιβλίον ἕν, ὅ φησιν Ἕρμιππος λέγειν τινὰ τῶν συγγραφέων, Πλάτωνα τὸν φιλόσοφον παραγενόμενον εἰς Σικελίαν πρὸς Διονύσιον ὠνήσασθαι παρὰ τῶν συγγενῶν τοῦ Φιλολάου, ἀργυρίου Ἀλεξανδρινῶν μνῶν μ΄· καὶ ἐντεῦθεν μεταγεγραφέναι τὸν Τίμαιον. ἕτεροι δὲ λέγουσι τὸν Πλάτωνα λαβεῖν αὐτὰ παρὰ Διονυσίου, παραιτησάμενον ἐκ τῆς φυλακῆς νεανίσκον, ἀπηγμένον τῶν τοῦ Φιλολάου μαθητῶν. τοῦτον φησὶν Δημήτριος ἐν ὁμωνύμοις πρῶτον ἐκδοῦναι τῶν Πυθαγορικῶν περὶ φύσεως, ὧν ἡ ἀρχὴ ἥδε, Φύσις δὲ ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα.

## ΕΥ̓ΔΟΞΟΣ.

Εὔδοξος Αἰσχίνου, Κνίδιος, ἀστρόλογος, γεωμέτρης, ἰατρὸς, νομοθέτης. οὗτος τὰ μὲν γεωμετρικὰ Ἀρχύτα διήκουσε· τὰ δὲ ἰατρικὰ, Φιλιστίωνος τοῦ Σικελιώτου, καθὰ Καλλίμαχος ἐν τοῖς πίναξι φησίν. Σωτίων δ' ἐν ταῖς διαδοχαῖς λέγει, καὶ Πλάτωνος αὐτὸν ἀκοῦσαι. γενόμενον γὰρ ἐτῶν γ΄ που καὶ κ΄, καὶ στενῶς διακείμενον, κατὰ κλέος τῶν Σωκρατικῶν εἰς Ἀθήνας ἀπᾶραι σὺν Θεομέδοντι τῷ ἰατρῷ, τρεφόμενον ὑπ' αὐτοῦ. οἱ δὲ, καὶ παιδικὰ ὄντα, καταχθέντα δὲ εἰς τὸν Πειραιέα, ἑκάστης ἡμέρας ἀνιέναι Ἀθήναζε, καὶ ἀκούσαντα τῶν σοφιστῶν αὐτόθι ὑποστρέφειν. δύο δὴ μῆνας διατρίψαντα, οἴκαδε ἐπανελθεῖν, καὶ πρὸς τῶν φίλων ἐρανισθέντα εἰς Αἴγυπτον ἀπᾶραι μετὰ Χρυσίππου τοῦ ἰατροῦ, συστατικὰς φέροντα παρ' Ἀγησιλάου πρὸς Νεκτάναβιν·

τὸν δὲ τοῖς ἱερεῦσιν αὐτὸν συστῆσαι. καὶ τέτταρας μῆνας πρὸς ἐνιαυτῷ διατρίψαντα αὐτόθι ξυρόμενόν τε ἥβην καὶ ὀφρῦς, τὴν ὀκταετηρίδα κατά τινας συγγράψαι. ἐντεῦθέν τε γενέσθαι ἐν Κυζίκῳ καὶ τῇ Προποντίδι σοφιστεύοντα. ἀλλὰ καὶ παρὰ Μαυσωλὸν ἀφικέσθαι. ἔπειθ' οὕτως ἐπανελθεῖν Ἀθήναζε, πάνυ πολλοὺς περὶ ἑαυτὸν ἔχοντα μαθητάς, ὥς φασι τινὲς, ὑπὲρ τοῦ Πλάτωνα λυπῆσαι, ὅτι τὴν ἀρχὴν αὐτὸν παρεπέμψατο. τινὲς δέ φασι καὶ συμπόσιον ἔχοντι τῷ Πλάτωνι αὐτὸν τὴν ἡμικύκλιον κατάκλησιν, πολλῶν ὄντων, εἰσηγήσασθαι. φησὶ δ' αὐτὸν Νικόμαχος ὁ Ἀριστοτέλους τὴν ἡδονὴν λέγειν τὸ ἀγαθόν. ἀπεδέχθη δὲ ἐν τῇ πατρίδι μεγαλοτίμως, ὥς τό γε περὶ αὐτοῦ ψήφισμα γενόμενον δηλοῖ. ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπιφανέστατος ἐγένετο, γράψας τοῖς ἰδίοις πολίταις νόμους, ὥς φησιν Ἕρμιππος ἐν τετάρτῃ περὶ τῶν ἑπτὰ σοφῶν, καὶ ἀστρολογούμενα, καὶ γεωμετρούμενα, καὶ ἕτερ' ἄττα ἀξιόλογα. ἔσχε δὲ καὶ θυγατέρας τρεῖς, Ἀκτίδα, Φιλτίδα, Δελφίδα. φησὶ δ' αὐτὸν Ἐρατοσθένης ἐν τοῖς πρὸς Βάτωνα, καὶ κυνῶν διαλόγους συνθεῖναι. οἱ δὲ, γεγραφέναι μὲν Αἰγυπτίους τῇ αὐτῶν φωνῇ· τοῦτον δὲ μεθερμηνεύσαντα ἐκδοῦναι τοῖς Ἕλλησι. τούτου διήκουσε Χρύσιππος Ἐρίνεω Κνίδιος τά τε περὶ θεῶν καὶ κόσμου καὶ τῶν μετεωρολογουμένων· τὰ δ' ἰατρικὰ παρὰ Φιλιστίωνος τοῦ Σικελιώτου. κατέλιπε δὲ καὶ ὑπομνήματα κάλλιστα. τούτου γέγονε παῖς Ἀρισταγόρας, οὗ Χρύσιππος Ἀεθλίου μαθητής· οὗ τὰ θεραπεύματα φέρεται ὁρατικὰ, τῶν φυσικῶν θεωρημάτων ὑπὸ τὴν διάνοιαν αὐτοῦ πεσόντων. γεγόνασι δ' Εὔδοξοι τρεῖς· αὐτὸς οὗτος· ἕτερος Ῥόδιος, ἱστορίας γεγραφώς· τρίτος, Σικελιώτης, παῖς Ἀγαθοκλέους, ποιητὴς κωμῳδίας, νίκας ἑλὼν ἀστικὰς μὲν τρεῖς, Ληναϊκὰς δὲ πέντε, καθά φησιν Ἀπολλόδωρος ἐν χρονικοῖς. εὑρίσκομεν δὲ καὶ ἄλλον ἰατρὸν Κνίδιον, περὶ οὗ φησιν Εὔδοξος ἐν γῆς περιόδῳ, ὡς εἴη παραγγέλλων ἀεὶ συνεχὲς

κινεῖν τὰ ἄρθρα πάσῃ γυμνασίᾳ· ἀλλὰ καὶ τὰς αἰσθήσεις ὁμοίως. ὁ δ' αὐτός φησι τὸν Κνίδιον Εὔδοξον ἀκμάσαι κατὰ τὴν γ΄ καὶ ρ΄ Ὀλυμπιάδα, εὑρεῖν τε τὰ περὶ τὰς καμπύλας γραμμάς. ἐτελεύτησε δὲ τρίτον ἄγων καὶ ν΄ ἔτος. ὅτε δὲ συνεγίνετο ἐν Αἰγύπτῳ Ἰχόνουφι τῷ Ἡλιουπολίτῃ, ὁ Ἆπις αὐτοῦ θοιμάτιον περιελιχμήσατο. ἔνδοξον οὖν αὐτὸν ἀλλ' ὀλιγοχρόνιον ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι, καθά φησι Φαβωρῖνος ἐν ἀπομνημονεύμασιν. ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον,

Ἐν Μέμφει λόγος ἐστὶ μαθεῖν ἰδίην ποτὲ μοίρην
Εὔδοξον Ἄπιδος τοῦ καλλικέρω παρὰ ταύρου.
Κοὐδὲν ἔλεξε. (πόθεν; βοῒ γὰρ λόγον οὐ πόρε φύτλη,
Οὐδὲ λάλον μόσχῳ Ἄπιδι στόμα) δὴ ἀλλὰ παρ' αὐτὸν
Λέχρια κεῖνος στὰς περιφανῶς λιχμήσατο λώπην,
Δηλῶν ὡς ἀποδύσει δὴ βιοτὴν ὅσον οὔπω.
Καὶ δὴ οἱ ταχέως ἐπελήλυθεν αὐτίκα πότμος,
Ἠελίους δεκάκις πέντ' ἤδη βεῖς ἐσιδόντι.

Τοῦτον ἀντὶ Εὐδόξου Ἔνδοξον ἐκάλουν διὰ τὸ λαμπρότητα τῆς φήμης. ἐπειδὴ δὲ περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν διεληλύθαμεν, ἤδη περὶ τῶν σποράδην (ὥς φασι) διαλεχθῶμεν. λεκτέον δὲ πρῶτον περὶ Ἡρακλείτου.

# ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ἔνατον.

## ΗΡΑΚΛΕΙΤΟΣ.

ΗΡΑΚΛΕΙΤΟΣ Βλύσωνος, ἢ (ὥς τινες) Ηρακίοντος, Ἐφέσιος. οὗτος ἤκμαζε μὲν κατὰ τὴν ἐννάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα. μεγαλόφρων δὲ γέγονε παρ' ὁντιναοῦν, καὶ ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι, Πολυμαθίη νόον οὐ διδάσκει. Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖθίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον. εἶναι γὰρ ἓν τὸ σοφὸν ἐπίστασθαι γνώμην ἥτε οἱ ἐγκυβερνήσει πάντα διὰ πάντων. τόν τε Ὅμηρον ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσθαι, καὶ Ἀρχίλοχον ὁμοίως. ἔλεγε δὲ καί, Ὕβριν χρὴ σβεννύειν μᾶλλον ἢ πυρκαϊήν. καὶ Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου, ὅκως ὑπὲρ τείχεος. καθάπτεται δὲ καὶ τῶν Ἐφεσίων, ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδωρον· ἐν οἷς φησιν, Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν πᾶσι, καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρμόδωρον ἑωυτῶν ὀνήϊστον ἐξέβαλον λέγοντες, Ἡμέων μηδὲ εἷς ὀνήϊστος ἔστω. εἰ δέ τις τοιοῦτος, ἄλλη τε καὶ μετ' ἄλλων. ἀξιούμενος δὲ καὶ νόμους θεῖναι πρὸς αὐτῶν, ὑπερεῖδε, διὰ τὸ ἤδη κεκρατῆσθαι τῇ πονηρᾷ πολιτείᾳ τὴν πόλιν. ἀναχωρήσας δὲ εἰς τὸ ἱερὸν τῆς Ἀρτ

ιδος μετὰ τῶν παίδων ἠστραγάλιζε· περιστάντων δ' αὐτὸν τῶν Ἐφεσίων. Τί, ὦ κάκιστοι, θαυμάζετε; ἔφη. ἢ οὐ κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι; καὶ τέλος, μισανθρωπήσας καὶ ἐκπατήσας, ἐν τοῖς ὄρεσι διῃτᾶτο, πόας σιτούμενος καὶ βοτάνας. καὶ μέντοι καὶ διὰ τοῦτο περιτραπεὶς εἰς ὕδερον, κατῆλθεν εἰς ἄστυ, καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι. τῶν δὲ μὴ συνιέντων, αὑτὸν εἰς βούστασιν κατορύξας, τῇ τῶν βολίτων ἀλέᾳ ἤλπισεν ἐξατμισθήσεσθαι. οὐδὲν δ' ἀνύων οὐδ' οὕτως, ἐτελεύτα, βιοὺς ἔτη ξ̄. καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον·

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
 Ὧδε διαντλήσας δύσμορος, εἶτ' ἔθανεν.
Σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι, φέγγος
 Ἔσβεσεν ἐκ βλεφάρων, καὶ σκότον ἠγάγετο.

Ἕρμιππος δέ φησι λέγειν αὐτὸν τοῖς ἰατροῖς, εἴ τις δύναται ἔντερα ταπεινώσας ὑγρὸν ἐξερᾶσαι· ἀπειπόντων δέ, θεῖναι αὑτὸν εἰς τὸν ἥλιον, καὶ κελεύειν τοὺς παῖδας βολίτοις καταπλάττειν. οὕτω δὴ κατατεινόμενον, δευτεραῖον τελευτῆσαι, καὶ ταφῆναι ἐν τῇ ἀγορᾷ. Νεάνθης δ' ὁ Κυζικηνός φησι μὴ δυνηθέντα αὐτὸν ἀποσπάσαι τὰ βόλιτα, μεῖναι, καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθέντα, κυνόβρωτον γενέσθαι. γέγονε δὲ θαυμάσιος ἐκ παίδων, ὅτε καὶ νέος ὢν ἔφασκε μηδὲν εἰδέναι, τέλειος μέντοι γενόμενος, πάντα ἐγνωκέναι. ἤκουσέ τε οὐδενός, ἀλλ' αὑτὸν ἔφη διζήσεσθαι, καὶ μαθεῖν πάντα παρ' ἑαυτοῦ. Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν ἀκηκοέναι. λέγειν τε Ἀρίστωνα ἐν τῷ περὶ Ἡρακλείτου, καὶ τὸν ὕδερον αὐτὸν θεραπευθῆναι· ἀποθανεῖν δὲ ἄλλῃ νόσῳ. τοῦτο δὲ καὶ Ἱππόβοτός φησι. τὸ δὲ φερόμενον αὐτοῦ βιβλίον ἐστὶ μὲν ἀπὸ τοῦ συνέχοντος περὶ φύσεως· διῄρηται δὲ εἰς τρεῖς λόγους, εἴς τε τὸν περὶ τοῦ παντός, καὶ πολιτικόν, καὶ θεολογικόν. ἀνέθηκε δὲ αὐτὸ εἰς τὸ τῆς

Ἀρτέμιδος ἱερόν· ὡς μέν τινες, ἐπιτηδεύσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι προσίοιεν αὐτῷ, καὶ μὴ ἐκ τοῦ δημώδους εὐκαταφρόνητον ᾖ. τοῦτον δὲ καὶ ὁ Τίμων ὑπογράφει, λέγων,

Τοῖς δ' ἔνι κοκκυστὴς ὀχλολοίδορος Ἡράκλειτος
Αἰνικτὴς ἀνόρουσε.

Θεόφραστος δέ φησιν ὑπὸ μελαγχολίας τὰ μὲν ἡμιτελῆ, τὰ δὲ ἄλλοτε ἄλλως ἔχοντα γράψαι. σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν διαδοχαῖς. ἐκχωρῆσαι γὰρ τἀδελφῷ τῆς βασιλείας. τοσαύτην δὲ δόξαν ἔσχε τὸ σύγγραμμα, ὡς καὶ αἱρετιστὰς ἀπ' αὐτοῦ γενέσθαι τοὺς κληθέντας Ἡρακλειτείους. ἐδόκει δὲ αὐτῷ καθολικῶς μὲν τάδε, Ἐκ πυρὸς τὰ πάντα συνεστάναι, καὶ εἰς τοῦτο ἀναλύεσθαι· πάντα τε γίνεσθαι καθ' εἱμαρμένην, καὶ διὰ τῆς ἐναντιοτροπῆς ἡρμόσθαι τὰ ὄντα· καὶ πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη. εἴρηκε δὲ καὶ περὶ τῶν ἐν τῷ κόσμῳ συνισταμένων παθῶν, ὅτι τε ὁ ἥλιος ἐστὶ τὸ μέγεθος οἷος φαίνεται. λέγεται δὲ καὶ ψυχῆς πειρατέον, ὃν οὐκ ἂν ἐξεύροι ὁ πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει. τήν τε οἴησιν, ἱερὰν νόσον ἔλεγε· καὶ τὴν ὅρασιν, ψεύδεσθαι. λαμπρῶς τε ἐνίοτε ἐν τῷ συγγράμματι καὶ σαφῶς ἐκβάλλει· ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι, καὶ δίαρμα ψυχῆς λαβεῖν. ἥ τε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον. καὶ τὰ ἐπὶ μέρους δὲ αὐτῷ ὧδε ἔχει τῶν δογμάτων, Πῦρ εἶναι στοιχεῖον, καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα ἀραιώσει καὶ πυκνώσει γινόμενα. (σαφῶς δὲ οὐδὲν ἐκτίθεται) γίνεσθαι πάντα κατ' ἐναντιότητα, καὶ ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην· πεπεράνθαι τε τὸ πᾶν, καὶ ἕνα εἶναι κόσμον. γεννᾶσθαί τε αὐτὸν ἐκ πυρός, καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα. τοῦτο δὲ γίνεσθαι καθ' εἱμαρμένην. τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον, καλεῖσθαι πόλεμον καὶ ἔριν· τὸ δ' ἐπὶ τὴν

ἐκπύρωσιν, ὁμολογίαν καὶ εἰρήνην, καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω· τόν τε κόσμον γίνεσθαι κατὰ ταύτην. πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι, συνιστάμενόν τε γίνεσθαι ὕδωρ· πηγνύμενον δὲ τὸ ὕδωρ, εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν ἐπὶ τὸ κάτω εἶναι. πάλιν τε αὖ τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι· ἐκ δὲ τούτου, τὰ λοιπὰ σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάττης. αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός. γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάττης, ἃς μὲν, λαμπρὰς καὶ καθαράς, ἃς δέ, σκοτεινάς. αὔξεσθαι δὲ τὸ μὲν πῦρ, ὑπὸ τῶν λαμπρῶν· τὸ δὲ ὑγρόν, ὑπὸ τῶν ἑτέρων. τὸ δὲ περιέχον ὁποῖόν ἐστιν, οὐ δηλοῖ. εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς· ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας· ἃς εἶναι τὰ ἄστρα. λαμπροτάτην δὲ εἶναι τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην. τὰ μὲν γὰρ ἄλλα ἄστρα πλεῖον ἀπέχειν ἀπὸ γῆς, καὶ διὰ τοῦτο ἧττον λάμπειν καὶ θάλπειν· τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν, μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. τὸν μέντοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι, καὶ σύμμετρον ἀφ᾽ ἡμῶν ἔχειν διάστημα. τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν. ἐκλείπειν τε ἥλιον καὶ σελήνην, ἄνω στρεφομένων τῶν σκαφῶν. τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισμοὺς γίνεσθαι, στρεφομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. ἡμέραν τε καὶ νύκτα γίνεσθαι, καὶ μῆνας, καὶ ὥρας ἐτείους, καὶ ἐνιαυτούς, ὑετούς τε καὶ πνεύματα, καὶ τὰ τούτοις ὅμοια, κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν, φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου, ἡμέραν ποιεῖν· τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν, νύκτα ἀποτελεῖν. καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον, θέρος ποιεῖν· ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάζον χειμῶνα ἀπεργάζεσθαι. ἀκολούθως δὲ τούτοις καὶ περὶ τῶν ἄλλων αἰτιολογεῖ. περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται, ποία

τις ἐστὶν, ἀλλ' οὐδὲ περὶ τῆς σκαφῆς. καὶ ταῦτα μὲν ἔστω αὐτῷ τὰ δοκοῦντα. τὰ δὲ περὶ Σωκράτους, καὶ ὅσα ἐντυχὼν τῷ συγγράμματι εἴποι, κομίσαντος Εὐριπίδου, (καθά φησιν Ἀρίστων) ἐν τῷ περὶ Σωκράτους εἰρήκαμεν. Σέλευκος μέντοι φησὶν ὁ γραμματικὸς, Κρότωνά τινα ἱστορεῖν ἐν τῷ Καταλοντκολυμβητῇ, Κράτητά τινα πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὸ βιβλίον· ὃν καὶ εἰπεῖν Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ, οἱ μὲν, Μούσας· οἱ δὲ, Περὶ φύσεως· Διόδοτος δὲ, Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου· ἄλλοι, Γνώμην ἠθῶν, τρόπου κόσμον ἑνὸς τῶν ξυμπάντων. φασὶ δὲ αὐτὸν ἐρωτηθέντα διὰ τί σιωπᾷ, φάναι, Ἵν' ὑμεῖς λαλῆτε. ἐπόθησε δὲ αὐτοῦ καὶ Δαρεῖος μετασχεῖν, καὶ ἔγραψεν ὧδε πρὸς αὐτόν,

Βασιλεὺς Δαρεῖος πατρὸς Ὑστάσπεω, Ἡράκλειτον

Ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει, χαίρειν.

Καταβέβλησαι λόγον Περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον. ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν δοκεῖ δύναμίν τινα περιέχειν θεωρίας κόσμου τε τοῦ σύμπαντος καὶ τῶν ἐν τούτῳ γινομένων· ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει. τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα· ὥστε καὶ τοὺς ἐπὶ πλεῖστον μετεσχηκότας συγγραμμάτων, διαπορεῖσθαι τῆς ὀρθῆς δοκούσης γεγράφθαι παρά σοι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπους βούλεται τῆς σῆς ἀκροάσεως μετασχεῖν καὶ παιδείας Ἑλληνικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν, καὶ βασίλειον οἶκον. Ἕλληνες γὰρ ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφοῖς ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς σπουδαίαν ἀκοὴν καὶ μάθησιν. παρ' ἐμοὶ δὲ ὑπάρχει σοι πᾶσα μὲν προεδρία, καθ' ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος σαῖς παραινέσεσιν.

Ἡράκλειτος Ἐφέσιος Δαρείῳ βασιλεῖ παιδὸς Ὑστάσπεω, χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ὄντες ἐπιχθόνιοι, τῆς μὲν ἀληθείης καὶ δικαιοπραγμοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι, κακῆς ἕνεκα ἀνοίης. ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης, καὶ κόρον φεύγων παντὸς οἰκειουμένου φθόνου, καὶ διὰ τὸ περιίστασθαι ὑπερηφανίας, οὐκ ἂν ἀφικοίμην εἰς Περσῶν χώρην ὀλίγοις ἀρκεόμενος, κατ' ἐμὴν γνώμην.

Τοιοῦτος μὲν ὁ ἀνὴρ καὶ πρὸς βασιλέα. Δημήτριος δέ φησιν ἐν τοῖς ὁμωνύμοις, καὶ Ἀθηναίων αὐτὸν ὑπερφρονῆσαι, δόξαν ἔχοντα παμπλείστην. καταφρονούμενόν τε ὑπὸ τῶν Ἐφεσίων, ἑλέσθαι μᾶλλον τὰ οἰκεῖα. μέμνηται αὐτοῦ καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ. πλεῖστοί τε εἰσὶν ὅσοι ἐξήγηνται αὐτοῦ τὸ σύγγραμμα. καὶ γὰρ Ἀντισθένης καὶ Ἡρακλείδης ὁ Ποντικός, Κλεάνθης τε ὁ Ποντικός, καὶ Σφαῖρος ὁ Στωϊκός· πρὸς δὲ, Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστής, Νικομήδης τε, καὶ Διονύσιος. τῶν δὲ γραμματικῶν, Διόδοτος· ὃς οὔ φησι περὶ φύσεως εἶναι τὸ σύγγραμμα, ἀλλὰ περὶ πολιτείας· τὰ δὲ περὶ φύσεως ἐν παραδείγματος εἴδει κεῖσθαι. Ἱερώνυμος δέ φησι καὶ Σκυθῖνον, τὸν τῶν ἰάμβων ποιητήν, ἐπιβάλλεσθαι τὸν ἐκείνου λόγον διὰ μέτρου ἐκβαλεῖν. πολλά τε εἰς αὐτὸν ἐπιγράμματα φέρεται, ἀτὰρ δὴ καὶ τόδε,

Ἡράκλειτος ἐγώ· τί μ' ὦ κάτω ἕλκετ' ἄμουσοι;
Οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.
Εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ' ἀνάριθμοι,
Οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

Καὶ ἄλλο τοιόνδε.

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον
Τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.

Ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον. ἢν δέ σε μύστης
  Εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

γεγόνασι δὲ Ἡράκλειτοι πέντε· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, ποιητὴς λυρικὸς, οὗ ἐστι τῶν δώδεκα θεῶν ἐγκώμιον· τρίτος, ἐλεγείας ποιητὴς Ἁλικαρνασσεὺς, εἰς ὃν Καλλίμαχος πεποίηκεν οὕτως,

Εἶπέ τις Ἡράκλειτε τεὸν μόρον, ἐς δ' ἐμὲ δάκρυ
  Ἤγαγεν· ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
Ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. ἀλλὰ σὺ μέν που
  Ξεῖν' Ἁλικαρνασσεῦ τετράπαλαι σποδιή·
Αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
  Ἁρπακτὴρ ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

τέταρτος, Λέσβιος, ἱστορίαν γεγραφὼς Μακεδονικήν· πέμπτος, σπουδογελοῖος, ἀπὸ κιθαρῳδίας μεταβεβηκὼς εἰς τὸ εἶδος.

## ΞΕΝΟΦΑΝΗΣ.

Ξενοφάνης Δεξίου, ἢ (ὡς Ἀπολλόδωρος) ὀρθομένοις, Κολοφώνιος, ἐπαινεῖται πρὸς τοῦ Τίμωνος. φησὶ γοῦν,

Ξεινοφάνη θ' ὑπότυφον, Ὁμηραπάτην, ἐπικόπτην.

οὗτος ἐκπεσὼν τῆς πατρίδος, ἐν Ζάγκλῃ τῆς Σικελίας διέτριβε καὶ ἐν Κατάνῃ. διήκουσε δὲ κατ' ἐνίους μὲν, οὐδενὸς, κατ' ἐνίους δὲ, Βότωνος Ἀθηναίου· ἢ (ὥς τινες) Ἀρχελάου· καὶ (ὡς Σωτίων φησὶ) κατ' Ἀναξίμανδρον ἦν. γέγραφε δὲ καὶ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. ἀντιδοξάσαι τε λέγεται Θαλῇ καὶ Πυθαγόρᾳ, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν,

Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ

Βληστρίζοντες ἐμὴν φροντίδ᾽ ἀν᾽ Ἑλλάδα γῆν.
Ἐκ γενετῆς δὲ τότ᾽ ἦσαν ἐείκοσι, πέντε τε πρὸς τοῖς,
Εἴπερ ἐγὼ περὶ τῶνδ᾽ οἶδα λέγειν ἐτύμως.

φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ᾽ ἀπείρους, ἀπαραλλάκτους δέ. τὰ νέφη συνίστασθαι τῆς ἀφ᾽ ἡλίου ἀτμίδος ἀναφερομένης, καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. οὐσίαν θεοῦ, σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ. ὅλον δὲ ὁρᾶν, καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. σύμπαντά τε εἶναι νοῦν, καὶ φρόνησιν, καὶ ἀΐδιον. πρῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον, φθαρτόν ἐστι· καὶ ἡ ψυχὴ, πνεῦμα. ἔφη δὲ καὶ τὰ πολλὰ ἥττω νοῦ εἶναι· καὶ τοῖς τυράννοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ ὅτι ἀνεύρετός ἐστιν ὁ σοφὸς, εἰκότως, ἔφη· σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν. φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος. ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν, καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν, ἔπη δισχίλια. καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα. φησὶ δὲ Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ περὶ γήρως, καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ περὶ εὐθυμίας, ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτὸν, καθάπερ καὶ Ἀναξαγόραν. δοκεῖ δὲ πεπρᾶσθαι ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν ἀπομνημονευμάτων πρώτῳ. γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης, Λέσβιος ποιητὴς ἰάμβων. καὶ οὗτοι μὲν οἱ σποράδην. Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος, Ἐλεάτης.

## ΠΑΡΜΕΝΙΔΗΣ.

Τοῦτον Θεόφραστος ἐν τῇ ἐπιτομῇ, Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι. ὅμως δ᾽ οὖν ἀκούσας καὶ Ξενοφάνους, οὐκ ἠκολούθησεν αὐτῷ. ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ καὶ

Διοχαίτῃ τῷ Πυθαγορικῷ, (ὡς ἔφη Σωτίων) ἀνδρὶ πένητι μὲν, καλῷ δὲ καὶ ἀγαθῷ· ᾧ καὶ μᾶλλον ἠκολούθησε. καὶ ἀποθανόντος ἡρῷον ἱδρύσατο. γένους τε ὑπάρχων λαμπροῦ καὶ πλούσιος, ὑπὸ Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη. πρῶτος δὲ οὗτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ, καὶ ἐν μέσῳ κεῖσθαι. δύο τε εἶναι στοιχεῖα, πῦρ, καὶ γῆν. καὶ τὸ μὲν, δημιουργοῦ τάξιν ἔχειν· τὴν δὲ, ὕλης. γένεσίν τε ἀνθρώπων ἐξ ἡλίου πρῶτον γενέσθαι. αὐτὴν δὲ ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἐξ ὧν τὰ πάντα συνεστάναι. καὶ τὴν ψυχὴν, καὶ τὸν νοῦν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς φυσικοῖς, πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. διττήν τε ἔφη εἶναι τὴν φιλοσοφίαν· τὴν μὲν, κατὰ ἀλήθειαν· τὴν δὲ, κατὰ δόξαν. διὸ καὶ φησί που,

-- χρεὼ δέ σε πάντα πυθέσθαι
Ἠ μὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ,
Ἠδὲ βροτῶν δόξας, τῶν οὐκ ἔνι πίστις ἀληθής.

καὶ αὐτὸς δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. κριτήριον δὲ, τὸν λόγον εἶπε· τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. φησὶ γοῦν,

Μή σε θεὸς πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
Νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν,
Καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον.

διὸ καὶ περὶ αὐτοῦ φησὶν ὁ Τίμων,

Παρμενίδου τε βίην μεγαλόφρονα, τὴν πολύδοξον,
Ὅς ῥ' ἐπὶ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις.

εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε, Παρμενίδην ἐπιγράψας, ἢ περὶ ἰδεῶν. ἤκμαζε δὲ κατὰ τὴν ϐ καὶ εἰκοστὴν Ὀλυμπιάδα. καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτῳ τῶν ἀπομνημονευμάτων· οἱ δ'

Πυθαγόραν. Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων. καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

## ΜΕΛΙΣΣΟΣ.

Μέλισσος Ἰθαιγένους, Σάμιος. οὗτος ἤκουσε Παρμενίδου. ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτῳ. ὅτε καὶ συνέστησεν αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι, καθάπερ Ἱπποκράτης Δημόκριτον Ἀβδηρίταις. γέγονε δὲ καὶ πολιτικὸς ἀνὴρ, καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος. ὅθεν ναύαρχος αἱρεθεὶς, ἔτι καὶ μᾶλλον ἐθαυμάσθη, διὰ τὴν οἰκείαν ἀρετήν. ἐδόκει δὲ αὐτῷ τὸ πᾶν ἄπειρον εἶναι, καὶ ἀναλλοίωτον, καὶ ἀκίνητον, καὶ ἓν ὅμοιον ἑαυτῷ, καὶ πλῆρες. κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. ἀλλὰ καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν. φησὶ δ' Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα.

## ΖΗΝΩΝ ΕΛΕΑΤΗΣ.

Ζήνων, Ἐλεάτης. τοῦτον Ἀπολλόδωρός φησιν εἶναι ἐν χρονικοῖς Πύρρητος· τὸν δὲ Παρμενίδην, φύσει μὲν, Τελευταγόρου· θέσει δὲ, Παρμενίδου. περὶ τούτου καὶ Μελίσσου Τίμων φησὶ ταῦτα,

Ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος πάντων ἐπιλήπτορος ἠδὲ Μελίσσου,
Πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν ἥσσω.

ὁ δὴ Ζήνων διακήκοε Παρμενίδου, καὶ γέγονεν αὐτοῦ παιδικά.

καὶ ἐπιμήκης ἦν, καθά φησι Πλάτων ἐν τῷ Παρμενίδῃ. ὁ δ' αὐτὸς ἐν τῷ Σοφιστῇ καὶ Ἐλεατικὸν Παλαμήδην αὐτὸν καλεῖ. φησὶ δ' Ἀριστοτέλης εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς. γέγονε δ' ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ. φέρεται γοῦν αὐτοῦ βιβλία πολλῆς συνέσεως γέμοντα. καθελεῖν δὲ θελήσας Νέαρχον τὸν τύραννον (οἱ δέ, Διομέδοντα) συνελήφθη, καθά φησιν Ἡρακλείδης ἐν τῇ Σατύρου ἐπιτομῇ. ὅτε καὶ ἐξεταζόμενος τοὺς συνειδότας, καὶ περὶ τῶν ὅπλων ὧν ἦγεν εἰς Λιπάραν, πάντας ἔφη αὐτοῦ τοὺς φίλους αὐτὰ ταῦτα συνειδέναι· βουλόμενος αὐτὸν ἔρημον καταστῆσαι. εἶτα περί τινων εἰπὼν ἔχειν τινὰ εἰπεῖν αὐτῷ πρὸς τὸ οὖς· καὶ δακὼν, οὐκ ἀνῆκεν ἕως ἀπεκεντήθη, ταὐτὸν Ἀριστογείτονι τῷ τυραννοκτόνῳ παθών. Δημήτριος δέ φησιν ἐν τοῖς ὁμωνύμοις τὸν μυκτῆρα αὐτὸν ἀποτραγεῖν. Ἀντισθένης δ' ἐν ταῖς διαδοχαῖς φησὶ μετὰ τὸ μηνῦσαι τοὺς φίλους, ἐρωτηθῆναι πρὸς τοῦ τυράννου, εἴ τις ἄλλος εἴη· τὸν δ' εἰπεῖν, Σὺ ὁ τῆς πόλεως ἀλιτήριος. πρός τε τοὺς παρεστῶτας φάναι, Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν ὧν νῦν ἐγὼ ὑπομένω, δουλεύετε τῷ τυράννῳ· καὶ τέλος ἀποτραγόντα τὴν γλῶτταν προσπτύσαι αὐτῷ. τοὺς δὲ πολίτας παρορμηθέντας, αὐτίκα τὸν τύραννον καταλεῦσαι. ταῦτα δὲ σχεδὸν οἱ πλείους λαλοῦσιν. Ἕρμιππος δέ φησιν εἰς ὅλμον αὐτὸν βληθῆναι, καὶ κατακοπῆναι. καὶ εἰς αὐτὸν ἡμεῖς εἴπομεν οὕτως,

Ἤθελες ὦ Ζήνων, καλὸν ἤθελες ἄνδρα τύραννον
Κτείνας, ἐκλῦσαι δουλοσύνας Ἐλέαν.
Ἀλλ' ἐδάμης. δὴ γάρ σε λαβὼν ὁ τύραννος, ἐν ὅλμῳ
Κόψε. τί τοῦτο λέγω; σῶμα γὰρ, οὐχὶ δέ σε.

γέγονε δὲ τά τε ἄλλα ἀγαθὸς ὁ Ζήνων· ἀλλὰ καὶ ὑπεροπτικὸς τῶν μειζόνων, κατ' ἴσον Ἡρακλείτῳ. καὶ γὰρ οὗτος τὴν πρότερον μὲν Ὑέλην, ὕστερον δ' Ἐλέαν, Φωκαέων οὖσαν ἀπο-

κία

ίαν, αὐτοῦ δὲ πατρίδα, πόλιν εὐτελῆ, καὶ μόνον ἄνδρας ἀγαθοὺς τρέφειν ἐπισταμένην, ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας· οὐκ ἐπιδημήσας τὰ πολλὰ πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς. οὗτος καὶ τὸν Ἀχιλλέα πρῶτος λόγον ἠρώτησε· Φαβωρῖνος δέ φησι Παρμενίδην, καὶ ἄλλους συχνούς. ἀρέσκει δ' αὐτῷ τάδε· κόσμους εἶναι, κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν. γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων, κατὰ μηδενὸς τούτων ἐπικράτησιν. τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασαμένου δέ τινος, φάναι, Ἐὰν λοιδορούμενος προσποιῶμαι, οὐδὲ ἐπαινούμενος αἰσθήσομαι. ἔτι δὲ γεγόνασι Ζήνωνες ὀκτώ, ἐν τῷ Κιτιεῖ διειλέγμεθα. ἤκμαζε δὲ οὗτος κατὰ τὴν ἑβδομηκοστὴν Ὀλυμπιάδα.

## ΛΕΥΚΙΠΠΟΣ.

Λεύκιππος, Ἐλεάτης· ὡς δέ τινες, Αὐδηρίτης· κατ' ἐνίους δὲ, Μήλιος. οὗτος ἤκουσε Ζήνωνος. ἤρεσκε δ' αὐτῷ, ἄπειρα εἶναι τὰ πάντα, καὶ εἰς ἄλληλα μεταβάλλειν. τό, τε πᾶν εἶναι κενόν, καὶ πλῆρες σωμάτων. τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων, καὶ ἀλλήλοις περιπλεκομένων· ἔκ τε τῆς κινήσεως, κατὰ τὴν αὔξησιν αὐτῶν, γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην. τὴν γῆν ὀχεῖσθαι, περὶ τὸ μέσον δινουμένην. σχῆμά τε αὐτῆς τυμπανοειδὲς εἶναι. πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο. κεφαλαιωδῶς μὲν ταῦτα. ἐπὶ μέρους δὲ ὧδε ἔχει· τὸ μὲν πᾶν, ἄπειρόν φησιν, ὡς προείρηται. τούτου δὲ τὸ μέν, πλῆρες εἶναι, τὸ δέ, κενόν. καὶ στοιχεῖα φησί, κόσμους τε ἐκ τούτων ἀ-

πείρους εἶναι, καὶ διαλύεσθαι εἰς ταῦτα. γίνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν· ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα, διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττόμενα· τὰ δὲ λοιπά, συμμένειν, καὶ περιπλεκόμενα συγκατατρέχειν ἄλληλα, καὶ ποιεῖν τι πρῶτον σύστημα σφαιροειδές. τοῦτο δὲ οἷον ὑμένα ἀφίστασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα· ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων, λεπτὸν γίνεσθαι τὸν πέριξ ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης. καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. αὐτόν τε πάλιν τὸν περιέχοντα, οἷον ὑμένα, αὔξεσθαι κατὰ τὴν ἐπέκκρισιν τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτὸν ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶσθαι. τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα· τὸ μὲν πρῶτον, κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ, εἶτ' ἐκπυρωθέντα, τὴν τῶν ἀστέρων ἀποτελέσαι φύσιν. εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον, ἐξώτατον· τὸν δὲ τῆς σελήνης προσγειότατον, τοὺς δὲ τῶν ἄλλων, μεταξὺ τούτων. καὶ πάντα μὲν τὰ ἄστρα διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι. τὴν δὲ σελήνην, τοῦ πυρὸς ὀλίγον μεταλαμβάνειν. ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην, τῷ κεκλίσθαι τὴν γῆν πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτον ἀεί τε νίφεσθαι, καὶ κατάψυχρα εἶναι, καὶ πήγνυσθαι. καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην, συνεχῶς· διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. εἶναί τε, ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις,

φθίσεις, καὶ φθορὰς, κατά τινα ἀνάγκην, ἣν ὁποία ἐστὶν οὐ διασαφεῖ.

## ΔΗΜΟΚΡΙΤΟΣ.

Δημόκριτος, Ἡγησιστράτου· οἱ δὲ, Ἀθηνοκρίτου· τινὲς, Δαμασίππου· Ἀβδηρίτης, ἢ (ὡς ἔνιοι) Μιλήσιος. οὗτος μάγων τινῶν διήκουσε, καὶ Χαλδαίων, Ξέρξου τοῦ βασιλέως ἐπιστάτας τῷ πατρὶ αὐτοῦ καταλιπόντος, ἡνίκα ἐξενίσθη παρ' αὐτῷ, (καθά φησι καὶ Ἡρόδοτος) παρ' ὧν τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν, ἔτι παῖς ὤν. ὕστερον δὲ Λευκίππῳ παρέβαλε, καὶ Ἀναξαγόρᾳ, (κατά τινας) ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου, ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι. τὸν δὲ ὑφῃρῆσθαι, διασύρειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτὸν, ὅτι δὴ μὴ προσήκατο αὐτόν. πῶς οὖν (κατά τινας) ἀκήκοεν αὐτοῦ; φησὶ δὲ Δημήτριος ἐν ὁμωνύμοις, καὶ Ἀντισθένης ἐν διαδοχαῖς, ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον, πρὸς τοὺς ἱερέας, γεωμετρείαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους ἐς τὴν Περσίδα, καὶ εἰς τὴν ἐρυθρὰν θάλασσαν γενέσθαι. τοῖς τε γυμνοσοφισταῖς φασί τινες συμμῖξαι αὐτὸν ἐν Ἰνδίᾳ, καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν. τρίτον τε ὄντα ἀδελφὸν, νείμασθαι τὴν οὐσίαν. καὶ οἱ μὲν πλείους φασὶ τὴν ἐλάττω μοῖραν ἑλέσθαι, τὸ ἐν ἀργυρείῳ, χρείαν ἔχοντα κατ' ἀποδημίαν, τοῦτο κἀκείνων δολίως ὑποπτευσάντων. ὁ δὲ Δημήτριος ὑπὲρ ἑκατὸν τάλαντά φησιν εἶναι αὐτῷ τὸ μέρος, ἅπαντα δὲ καταναλῶσαι. λέγει δὲ ὅτι τοσοῦτον ἦν φιλόπονος, ὥστε τοῦ περικήπου δωμάτιόν τι ἀποτεμόμενος, κατάκλειστος ἦν· καί ποτε τοῦ πατρὸς αὐτοῦ πρὸς θυσίαν βοῦν ἀγαγόντος, καὶ

αὐτόθι προσεδρεύσαντες, ἱκανὸν χρόνον μὴ γνῶναι, ἕως αὐτοὺς διαναστήσας προφάσει τῆς θυσίας, καὶ τὰ περὶ τὸν βοῦν διηγήσατο. δοκεῖ δὲ (φησὶ) καὶ Ἀθήναζε ἐλθεῖν, καὶ μὴ σπουδάσαι γνωσθῆναι, δόξης καταφρονῶν· καὶ εἰδέναι μὲν Σωκράτην, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ. Ἦλθον γὰρ (φησὶν) εἰς Ἀθήνας, καὶ οὔτις με ἔγνωκεν. Εἴπερ οἱ ἀντερασταὶ Πλάτωνός εἰσι, (φησὶ Θράσυλλος) οὗτος ἂν εἴη ὁ παραγενόμενος ἀνώνυμος, τῶν περὶ Οἰνοπίδην καὶ Ἀναξαγόραν ἕτερος, ἐν τῇ πρὸς Σωκράτην ὁμιλίᾳ διαλεγόμενος περὶ φιλοσοφίας ᾧ (φησὶν) ὁ φιλόσοφος ὡς πεντάθλῳ ἔοικε. καὶ ἦν ὡς ἀληθῶς ἐν φιλοσοφίᾳ πένταθλος. τὰ γὰρ φυσικὰ, καὶ τὰ ἠθικὰ, ἀλλὰ καὶ τὰ μαθηματικὰ, καὶ τοὺς ἐγκυκλίους λόγους, καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν. τούτου ἐστὶ καὶ τὸ, Λόγος ἔργου σκιή. Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇ Σωκράτους ἀπολογίᾳ, μηδὲ ἐλθεῖν φησιν αὐτὸν εἰς Ἀθήνας. τοῦτο δὲ καὶ μεῖζον, εἴγε τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τόπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τόπῳ δόξαν περιθεῖναι προελόμενος. δῆλον δὲ κἀκ τῶν συγγραμμάτων, οἷος ἦν. δοκεῖ δὲ (φησὶν ὁ Θράσυλλος) ζηλωτὴς γεγονέναι καὶ τῶν Πυθαγορικῶν. ἀλλὰ καὶ αὐτοῦ τοῦ Πυθαγόρου μέμνηται, θαυμάζων αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι. πάντα δὲ δοκεῖν παρὰ τούτου λαβεῖν, καὶ αὐτοῦ δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὰ τῶν χρόνων ἐμάχετο. πάντως μέντοι τῶν Πυθαγορικῶν τινὰς ἀκοῦσαι φησὶν αὐτὸν Γλαῦκος ὁ Ῥηγῖνος, κατὰ τοὺς αὐτοὺς χρόνους αὐτῷ γεγονώς. φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς, Φιλολάῳ αὐτὸν συγγεγονέναι. ἤσκει δὲ (φησὶν ὁ Ἀντισθένης) καὶ ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρημάζων ἐνίοτε, καὶ τοῖς τάφοις ἐνδιατρίβων. ἐλθόντα δέ φησιν αὐτὸν ἐκ τῆς ἀποδημίας, ταπεινότατα διάγειν, ἅτε πᾶσαν τὴν οὐσίαν καταναλωκότα· τρέφεσθαί τε διὰ τὴν ἀπορίαν ὑπὸ τἀδελφοῦ Δαμάσου. ὡς δὲ προειπών τινα τῶν μελλόντων εὐδοκι-

κησε· λοιπὸν ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη. ὅμου δὲ ὄντος τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν, μὴ ἀξιοῦσθαι ταφῆς ἐν τῇ πατρίδι, φησὶν ὁ Ἀντισθένης, ...ωέντα, μὴ ὑπεύθυνος γένηθείη πρός τινων φθονούντων καὶ συκοφαντούντων, ἀναγνῶναι αὐτοῖς τὸν μέγαν Διάκοσμον, ὃς ἁπάντων τῶν αὐτοῦ συγγραμμάτων προέχει· καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι. μὴ μόνον δὲ, ἀλλὰ καὶ χαλκαῖς εἰκόσι. καὶ τελευτήσαντα αὐτὸν, δημοσίᾳ ταφῆναι· βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. ὁ δὲ Δημήτριος τοὺς συγγενεῖς αὐτοῦ φησὶν ἀναγνῶναι τὸν μέγαν Διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι. ταῦτα δὲ καὶ Ἱππόβοτός φησιν. Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασι φησὶ Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου συγγράμματα, ὁπόσα ἠδύνηθη συναγαγεῖν· Ἀμύκλαν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλῦσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος· παρὰ πολλοῖς γὰρ εἶναι τὰ βιβλία ἤδη. καὶ δῆλον δέ· πάντων γὰρ σχεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων, οὐδαμοῦ Δημοκρίτου διαμνημονεύει, ἀλλ' οὐδὲ ἔνθα ἀντειπεῖν τι αὐτῷ δέοι· δῆλον εἰδὼς ὡς πρὸς τὸν ἄριστον οὕτω τῶν φιλοσόφων ἔσοιτο, ὅν γε καὶ Τίμων ...τον ἐπαινέσας τὸν τρόπον ἔχει,

Οἷον Δημόκριτόν τε περίφρονα, ποιμένα μύθων,
Ἀμφίνοον λέσχην, ἐν πρώτοισιν ἀνέγνων.

...γονε δὲ τοῖς χρόνοις (ὡς αὐτός φησιν ἐν τῷ μικρῷ Διακόσμῳ) νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος τετταράκοντα. συντετάχθαι δέ φησι τὸν μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις. γεγόνοι δ' ἄν (ὡς μὲν Ἀπολλόδωρος ἐν χρονικοῖς) κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· ὡς δὲ Θρασύλλος ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων, κατὰ τὸ τρίτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἐνιαυτῷ (φησὶ) πρεσβύτερος ὢν

Σωκράτους. εἴη ἂν οὖν κατ' Ἀρχέλαον τὸν Ἀναξαγόρου μαθητήν, καὶ τοὺς περὶ Οἰνοπίδην. καὶ γὰρ τούτου μέμνηται. μέμνηται δὲ καὶ περὶ τῆς τοῦ ἑνὸς δόξης τῶν περὶ Παρμενίδην καὶ Ζήνωνα, ὡς κατ' αὐτὸν μάλιστα διαβεβοημένων· καὶ Πρωταγόρα τοῦ Αὐδηρίτου, ὃς ὁμολογεῖται κατὰ Σωκράτην γεγονέναι. φησὶ δὲ Ἀθηνόδωρος ἐν η περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτόν, κελεῦσαι κομισθῆναι γάλα· καὶ θεασάμενον τὸ γάλα, εἰπεῖν, καὶ αἰγὸς πρωτοτόκου καὶ μελαίνης. ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω, Χαῖρε κόρη· τῇ δ' ἐχομένῃ, Χαῖρε γύναι. καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. τελευτῆσαι δὲ τὸν Δημόκριτον φησὶν Ἕρμιππος τοῦτον τὸν τρόπον· ἤδη ὑπέργηρων ὄντα, πρὸς τῷ καταστρέφειν εἶναι. τὴν οὖν ἀδελφὴν λυπεῖσθαι ὅτι ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ μέλλοι τεθνήξεσθαι, καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴν οὐ πινήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. τούτους δὴ ταῖς ῥισὶ προσφέρων, διεκράτησεν αὐτὸν τὴν ἑορτήν. ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι, (τρεῖς δὲ ἦσαν) ἀλυπότατα τὸν βίον προήκατο, (ὥς φησιν Ἵππαρχος) ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιούς. ἡμεῖς τε εἰς αὐτὸν ἐν τῇ παμμέτρῳ τοῦτον ἐπιήσαμεν τὸν τρόπον,

Καὶ τίς ἔφυ σοφὸς ὧδε, τίς ἔργον ἔρεξε τοσοῦτον,
Ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
Ὃς θάνατον παρεόντα τρί' ἤματα δώμασιν ἔσχε,
Καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισε.

Τοιοῦτος μὲν ὁ βίος τἀνδρός. δοκεῖ δὲ αὐτῷ τάδε· Ἀρχὰ εἶναι τῶν ὅλων ἀτόμους, καὶ κενόν· τὰ δ' ἄλλα πάντα νενομ σθαι δοξάζεσθαι. ἀπείρους τε εἶναι κόσμους, καὶ γεννητοὺς καὶ φθαρτούς. μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέ

γεθος καὶ πλῆθος· φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν. εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα· ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων δινῶν καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣν καὶ νοῦν, ταὐτὸν εἶναι. ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις. πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, (ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο) ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ, καὶ πολλοῖς ἄλλοις ὀνόμασι. ποιητὰ δὲ νόμιμα εἶναι· φύσει δ' ἄτομα καὶ κενόν. καὶ ταῦτα μὲν αὐτῷ ἐδόκει. τὰ δὲ βιβλία αὐτοῦ καὶ Θράσυλλος ἀναγέγραφε κατὰ τάξιν οὕτως, ὥσπερεὶ καὶ τὰ Πλάτωνος, κατὰ τετραλογίαν. ἔστι δ' ἠθικὰ μὲν, τάδε· Πυθαγόρης, Περὶ τῆς τοῦ σοφοῦ διαθέσεως, Περὶ τῶν ἐν ᾅδῃ, Τριτογένεια, (τοῦτο δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα συνέχει) Περὶ ἀνδραγαθίας, ἢ Περὶ ἀρετῆς, Ἀμαλθείας κέρας, Περὶ εὐθυμίας, Ὑπομνημάτων ἢ οἴκων. ἡ γὰρ εὐεστὼ οὐχ εὑρίσκεται. καὶ ταῦτα μὲν τὰ ἠθικά. φυσικὰ δὲ, τάδε· Μέγας Διάκοσμος, ὃν οἱ περὶ Θεόφραστον, Λευκίππου φασὶν εἶναι· Μικρὸς Διάκοσμος, Κοσμογραφίη, Περὶ τῶν πλανήτων, Περὶ φύσεως πρῶτον, Περὶ ἀνθρώπου φύσεως, ἢ Περὶ σαρκὸς, α΄· Περὶ νοῦ, Περὶ αἰσθήσεων. ταῦτά τινες ὁμοῦ γράφοντες, Περὶ ψυχῆς ἐπιγράφουσι, Περὶ χυμῶν, Περὶ χροῶν, Περὶ τῶν διαφερόντων ῥυσμῶν, Περὶ ἀμειψιρυσμιῶν, Κρατυντήρια, ὅπερ ἐστὶν ἐπικρατικὰ τῶν προειρημένων, Περὶ εἰδώλου, ἢ Περὶ προνοίας, Περὶ λοιμῶν κανὼν, α΄, β΄, γ΄· Ἀπορρημάτων. ταῦτα καὶ περὶ φύσεως. τὰ δὲ

ἀσύντακτα, ἔστι τάδε· Αἰτίαι οὐράνιαι, Αἰτίαι ἀέριοι, Αἰτίαι ἐπίπεδοι, Αἰτίαι περὶ πυρὸς καὶ τῶν ἐν πυρὶ, Αἰτίαι περὶ φωνῶν, Αἰτίαι περὶ σπερμάτων, καὶ φυτῶν, καὶ καρπῶν· Αἰτίαι περὶ ζώων, γ΄· Αἰτίαι σύμμικτοι, Περὶ τῆς λίθου. ταῦτα καὶ τὰ ἀσύντακτα. μαθηματικὰ δὲ τάδε· Περὶ διαφορᾶς γνώμης, ἢ Περὶ ψαύσεως κύκλου καὶ σφαίρας, Περὶ γεωμετρίας, Γεωμετρικὸν, Ἀριθμοὶ, Περὶ ἀλόγων γραμμῶν καὶ ναστῶν, β΄· Ἐκπετάσματα, Μέγας ἐνιαυτὸς, ἢ ἀστρονομίη, Παράπηγμα, Ἅμιλλα κλεψύδρας, Οὐρανογραφίη, Γεωγραφίη, Πολογραφίη, Ἀκτινογραφίη. τοσαῦτα καὶ τὰ μαθηματικά. μουσικὰ δὲ τάδε· Περὶ ῥυθμῶν καὶ ἁρμονίης, Περὶ ποιήσεως, Περὶ καλλοσύνης ἐπέων, Περὶ εὐφώνων καὶ δυσφώνων πραγμάτων, Περὶ Ὁμήρου, ἢ ὀρθοεπείης, καὶ γλώσσεων, Περὶ ἀοιδῆς, Περὶ ῥημάτων Ὀνομαστικόν. τοσαῦτα καὶ τὰ μουσικά. τεχνικὰ δὲ τάδε, Πρόγνωσις, Περὶ διαίτης, ἢ Διαιτητικὸν, ἢ ἰατρικὴ γνώμη, Αἰτίαι περὶ ἀκαιριῶν καὶ ἐπικαιριῶν, Περὶ γεωργίης, ἢ Γεωμετρικὸν, Περὶ ζωγραφίης, Τακτικὸν, καὶ Ὁπλομαχικόν. τοσαῦτα καὶ τάδε. τάττουσι δέ τινες κατ᾽ ἰδίαν ἐκ τῶν ὑπομνημάτων, καὶ ταῦτα, τὸ Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων, Περὶ τῶν ἐν Μερόῃ ἱερῶν γραμμάτων, Περὶ ἱστορίης, Χαλδαϊκὸς λόγος, Φρύγιος λόγος, Περὶ πυρετοῦ, καὶ τῶν ἀπὸ νόσου βησσόντων, Νομικὰ αἴτια, Χερνικὰ, ἢ Προβλήματα. τὰ δ᾽ ἄλλα ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτὸν, τὰ μὲν ἐκ τῶν αὐτοῦ διεσκεύασται, τὰ δ᾽ ὁμολογουμένως ἐστὶν ἀλλότρια. ταῦτα καὶ περὶ τῶν βιβλίων αὐτοῦ καὶ τοσαῦτα. γεγόνασι δὲ Δημόκριτοι, ἕξ· πρῶτος, αὐτὸς οὗτος· δεύτερος, Χῖος μουσικὸς, κατὰ τὸν αὐτὸν χρόνον· τρίτος, ἀνδριαντοποιὸς, οὗ μέμνηται Ἀντίγονος· τέταρτος, περὶ τοῦ ἱεροῦ τοῦ ἐν Ἐφέσῳ γεγραφὼς, καὶ τῆς πόλεως Σαμοθράκης· πέμπτος, ποιητὴς ἐπιγραμμάτων σαφὴς καὶ ἀνθηρός· ἕκτος, Περγαμηνὸς, ἀπὸ ῥητορικῶν λόγων.

## ΠΡΩΤΑΓΟΡΑΣ.

Πρωταγόρας Ἀρτέμωνος, ἢ (ὡς Ἀπολλόδωρος καὶ Δίων ἐν Περσικοῖς) Μαιανδρίου, Αὐδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων· (ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν) ὡς δ' Εὔπολις ἐν κόλαξι, Τήϊος. φησὶ γάρ,

Ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήϊος. οὗτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησὶ βαρύφωνον εἶναι τὸν Πρόδικον. διήκουσε δὲ ὁ Πρωταγόρας Δημοκρίτου. ἐκαλεῖτό τε Σοφία, ὥς φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ. πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις. οἷς καὶ συνηρώτα, πρῶτος τοῦτο πράξας. ἀλλὰ καὶ ἤρξατό που τοῦτον τὸν τρόπον· Πάντων χρημάτων μέτρον, ἄνθρωπος· τῶν μὲν ὄντων, ὡς ἔστι· τῶν δὲ οὐκ ὄντων, ὡς οὐκ ἔστιν. ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις (καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ) καὶ πάντα εἶναι ἀληθῆ. καὶ ἀλλαχοῦ δὲ τοῦτον ἤρξατο τὸν τρόπον, Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι, εἴθ' ὡς εἰσίν, εἴθ' ὡς οὐκ εἰσίν. πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης, καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου. διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ, ὑπὸ κήρυκα ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων. οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη χρόνου διώρισε, καὶ καιροῦ δύναμιν ἐξέθετο, καὶ λόγων ἀγῶνας ἐθεάσατο, καὶ σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφείς, πρὸς τοὔνομα διελέχθη, καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν. ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ,

Πρωταγόρης τ' ἐπίμικτος ἐριζέμεναι εὖ εἰδώς.

οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνησε, καὶ τὸν Ἀντισθένους λόγον τὸν πειρώμενον ἀποδει-

κινεῖν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ. καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις, ὥς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῷ πρὸς Χρύσιππον. καὶ πρῶτος τὴν καλουμένην τύλην, ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ παιδείας. φορμοφόρος γὰρ ἦν, ὡς καὶ Ἐπίκουρός που φησί. καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημόκριτον, ξύλα δεδωκὼς ὀφθείς. διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. οἱ δὲ, εἰς ἑπτά, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἀπαγγελίαν, εὐχωλήν, κλῆσιν, οὓς καὶ πυθμένας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησὶ, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν περὶ θεῶν, οὗ τὴν ἀρχὴν ἄνω παρεθέμεθα. ἀνέγνω δὲ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ, ἢ (ὥς τινες) ἐν τῇ Μεγακλείδου· ἄλλοι, ἐν Λυκείῳ, μαθητοῦ τὴν φωνὴν αὐτῷ χρήσαντος Ἀρχαγόρου τοῦ Θεοδότου. κατηγόρησε δὲ αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων. Ἀριστοτέλης δ' Εὔαθλον φησίν. ἔστι δὲ τὰ σωζόμενα αὐτοῦ βιβλία τάδε· Τέχνη ἐριστικῶν, Περὶ πάλης, Περὶ τῶν μαθημάτων, Περὶ πολιτείας, Περὶ φιλοτιμίας, Περὶ ἀρετῶν, Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως, Περὶ τῶν ἐν ᾅδου, Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ἀνθρώποις πρασσομένων, Προστακτικὸς, Δίκη ὑπὲρ μισθοῦ, Ἀντιλογιῶν δύο. καὶ ταῦτα μὲν αὐτῷ τὰ βιβλία. γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον. φησὶ δὲ Φιλόχορος, πλέοντος αὐτοῦ ἐς Σικελίαν, τὴν ναῦν καταποντωθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι. ἔνιοι κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐτὸν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα. Ἀπολλόδωρος δέ φησι σοφιστεῦσαι αὐτὸν τεσσαράκοντα ἔτη, καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἔστι καὶ εἰς τοῦτον ἡμῶν οὕτως ἔχον,

Καὶ σὲ Πρωταγόρη φάτιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
Ἔκ ποτ' ἰὼν, καθ' ὁδὸν, πρέσβυς ἐὼν, ἔθανες.
Εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις. ἀλλὰ σὺ μέν που
Παλλάδος ἄστυ φύγες, Πλουτέα δ' οὐκ ἔφυγες.

λέγεται δέ ποτε αὐτὸν ἀπαιτοῦντα τὸν μισθὸν Εὔαθλον τὸν μαθητὴν, ἐκείνου εἰπόντος, Ἀλλ' οὐδέ πω νενίκηκα, εἰπεῖν, Ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σὺ, ὅ,τι σύ. γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας, ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων ἐπικήδειον ἔγραψε· καὶ τρίτος, Στωϊκὸς φιλόσοφος.

## ΔΙΟΓΕΝΗΣ Ο ΑΠΟΛ-λωνιάτης.

Διογένης, Ἀπολλοθέμιδος, Ἀπολλωνιάτης, ἀνὴρ φυσικὸς καὶ ἄγαν ἐλλόγιμος. ἤκουσε δὲ (φησὶν Ἀντισθένης) Ἀναξιμένους. ἦν δὲ ἐν τοῖς χρόνοις κατ' Ἀναξαγόραν. τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ, διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν. ἐδόκει δὲ αὐτῷ τάδε· Στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους, καὶ κενὸν ἄπειρον. τόν τε ἀέρα, πυκνούμενον καὶ ἀραιούμενον, γεννητικὸν εἶναι τῶν κόσμων. οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. τὴν γῆν, στρογγύλην, ἠρεισμένην ἐν τῷ μέσῳ, τὴν σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν, καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ. ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος, ἥδε, Λόγου παντὸς ἀρχόμενον, δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι· τὴν δὲ ἑρμηνείαν, ἁπλῆν καὶ σεμνήν.

## ΑΝΑΞΑΡΧΟΣ.

Ἀνάξαρχος, Ἀβδηρίτης. οὗτος διήκουσε Διομένους τοῦ Σμυρναίου· οἱ δὲ, Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε μηδὲ

αὐτὸ τοῦτο εἰδέναι ὅτι οὐδὲν οἶδε. Μητρόδωρος δὲ, Νασσᾶ τοῦ Χίου· οἱ δὲ Δημοκρίτου φασὶν ἀκοῦσαι. ὁ δ' οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρῳ συνῆν, καὶ ἤκμαζε κατὰ τὴν δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα. καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα τὸν Κύπρου τύραννον· καί ποτε ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ δεῖπνον· εἰπεῖν φασὶν, Ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι· ἀπορρίπτων πρὸς τὸν Νικοκρέοντα. ὁ δὲ, μνησικακήσας, μετὰ τὴν τελευτὴν τοῦ βασιλέως, ὅτε πλέων ἀκουσίως προσηνέχθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν, ἐκέλευσε σιδηροῖς ὑπέροις τύπτεσθαι. τὸν δὲ, οὐ φροντίσαντα τῆς τιμωρίας, εἰπεῖν ἐκεῖνο δὴ τὸ περιφερόμενον, Πτύσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις. κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποτραγόντα ἐμπτύσαι αὐτῷ. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως,

Πτύσσετε μᾶλλον ἔτι καὶ μᾶλλον· θύλακός ἐστι·
Πτύσσετ'· Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι.
Καί σε διαστείλας ὀλίγον τὰ διςνεφῆ τάδε λέξει
Ῥήματα Φερσεφόνη ἔρεε μελωθρὲ κακή.

οὗτος διὰ τὴν ἀπάθειαν καὶ εὐκολίαν τοῦ βίου, Εὐδαιμονικὸς ἐκαλεῖτο· καὶ ἦν ἐκ τοῦ ῥᾴστου δυνατὸς σωφρονίζειν. τὸν γοῦν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν ἐπέτρεψεν. ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῷ καταρρέον αἷμα, δείξας τῇ χειρὶ πρὸς αὐτὸν φησὶ,

Τουτὶ μὲν αἷμα, καὶ οὐχ ἰχὼρ
-οἷός περ τε ῥέει μακάρεσσι θεοῖσι.

Πλούταρχος δὲ αὐτὸν Ἀλέξανδρον τοῦτο λέξαι πρὸς τοὺς φίλους φησίν. ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον, δεῖξαι τὴν κύλικα, καὶ εἰπεῖν,

Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.

# ΠΥΡΡΩΝ.

Πύρρων, Ἠλεῖος, Πλειστάρχου μὲν ἦν υἱός, καθὰ καὶ Διοκλῆς ἱστορεῖ· ὥς φησι δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς, πρότερον ἦν ζωγράφος, καὶ ἤκουσε Δρύσωνος τοῦ Στίλπωνος, ὡς Ἀλέξανδρος ἐν Διαδοχαῖς. εἶτα Ἀναξάρχῳ ξυνακολουθῶν πανταχοῦ, ὡς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμίξαι, καὶ τοῖς Μάγοις. ὅθεν γενναιότατα δοκεῖ φιλοσοφῆσαι, τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσαγαγών, ὡς Ἀσκάνιος ὁ Ἀβδηρίτης φησίν. οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν, οὔτε αἰσχρὸν, οὔτε δίκαιον, οὔτε ἄδικον. καὶ ὁμοίως ἐπὶ πάντων, μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον. ἀκόλουθος δ' ἦν καὶ τῷ βίῳ, μηδὲν ἐκτρεπόμενος μηδὲ φυλαττόμενος, ἅπαντα ὑφιστάμενος, ἁμάξας, εἰ τύχοι, καὶ κρημνοὺς, καὶ κύνας, καὶ ὅσα τοιαῦτα, μηδὲν ταῖς αἰσθήσεσιν ἐπιτρέπων. σώζεσθαι μέντοι (καθά φασιν οἱ περὶ τὸν Καρύστιον Ἀντίγονον) ὑπὸ τῶν γνωρίμων παρακολουθούντων. Αἰνεσίδημος δέ φησι φιλοσοφεῖν μὲν αὐτὸν κατὰ τὸν τῆς ἐποχῆς λόγον, μὴ μέντοι γε ἀπροοράτως ἕκαστα πράττειν. ὁ δὲ πρὸς τὰ ἐνενήκοντα ἔτη κατεβίω. Ἀντίγονος δέ φησιν ὁ Καρύστιος ἐν τῷ περὶ Πύρρωνος τάδε περὶ αὐτοῦ, ὅτι τὴν ἀρχὴν ἄδοξός τε ἦν καὶ πένης καὶ ζωγράφος· σώζεσθαί τε αὐτοῦ ἐν Ἤλιδι ἐν τῷ γυμνασίῳ λαμπαδιστὰς μετρίως ἔχοντας. ἐκπατεῖν τε αὐτὸν, καὶ ἐρημάζειν, σπανίως ποτὲ ἐπιφαινόμενον τοῖς οἴκοι. τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἰνδοῦ τινος ὀνειδίζοντος Ἀναξάρχῳ, ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι οὗτος ἀγαθὸν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. ἀεί τε εἶναι ἐν τῷ αὐτῷ καταστήματι· ὥστε εἰ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτὸν διαπεραίνειν τὸν λόγον· καίτοι κεκινημένον ὄντα ἐν νεότητι. πολλάκις (φησὶ) καὶ ἀπεδήμει, μηδενὶ προειπὼν, καὶ συνεπορεύετο οἷς τισιν ἤθελεν. καὶ

ποτε Ἀναξάρχου ἐς τέλμα ἐμπεσόντος, παρῆλθεν οὐ βοηθήσας. τινῶν δὲ αἰτιωμένων, αὐτὸς Ἀνάξαρχος ἐπῄνει τὸ ἀδιάφορον καὶ ἄστοργον αὐτοῦ. καταληφθεὶς δέ ποτε καὶ ἑαυτῷ λαλῶν, καὶ ἐρωτηθεὶς τὴν αἰτίαν, ἔφη μελετᾶν χρηστὸς εἶναι. ἔν τε ταῖς ζητήσεσιν ὑπ' οὐδενὸς κατεφρονεῖτο, διὰ τὸ ἐξοδικῶς λέγειν καὶ πρὸς ἐρώτησιν. ὅθεν καὶ Ναυσιφάνην ἤδη νεανίσκον ὄντα, θηραθῆναι. ἔφασκεν γοῦν γίνεσθαι δεῖν τῆς μὲν διαθέσεως τῆς Πυρρωνείου, τῶν δὲ λόγων, τῶν ἑαυτοῦ. ἔλεγέ τε πολλάκις καὶ Ἐπίκουρον θαυμάζοντα τὴν Πύρρωνος ἀναστροφήν, συνεχὲς αὐτοῦ πυνθάνεσθαι περὶ αὐτοῦ. οὕτω δὲ αὐτὸν ὑπὸ τῆς πατρίδος τιμηθῆναι, ὥστε καὶ ἀρχιερέα καταστῆσαι αὐτόν, καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλειαν ψηφίσασθαι. καὶ δὴ καὶ ζηλωτὰς εἶχε πολλοὺς τῆς ἀπραγμοσύνης. ὅθεν καὶ ὁ Τίμων περὶ αὐτοῦ φησὶν οὕτως ἐν τῷ Π θωνι, καὶ ἐν τοῖς Σίλλοις,

Ὦ γέρον, ὦ Πύρρων, πῶς ἢ πόθεν ἔκδυσιν εὗρες
Λαβείης, δοξῶν τε κενοφροσύνης τε σοφιστῶν,
Καὶ πάσης ἀπάτης πειθοῦς τ' ἀπελύσαο δεσμά.
Οὐδὲ μέλει σοι ταῦτα μεταλλῆσαι τίνες αὖραι
Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅ,τι κυρεῖ ἕκαστα;

καὶ πάλιν ἐν τοῖς Ἰνδαλμοῖς.

Τοῦτό μοι ὦ Πύρρων ἱμείρεται ἦτορ ἀκοῦσαι,
Πῶς ποτ' ἀνὴρ ἔτ' ἄγεις ῥᾷστα μεθ' ἡσυχίας,
Μοῦνος ἐν ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύων.

Ἀθηναῖοι δὲ καὶ πολιτείᾳ αὐτὸν ἐτίμησαν, (καθά φησ Διοκλῆς) ἐπὶ τῷ Κότυν τὸν Θρᾷκα διαχρήσασθαι. εὐσεβῶς δὲ καὶ τῇ ἀδελφῇ συνεβίω μαίᾳ οὔσῃ, καθά φησιν Ἐρατοσθένης ἐν τῷ περὶ πλούτου καὶ πενίας, ὅτι καὶ αὐτὸς φέρων ἐς τ ἀγορὰν ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια· καὶ τὰ ἐπὶ τῆς οἰκίας καθαίροι ἀδιαφόρως. λέγεται δὲ καὶ δέλφακα λούειν αὐτὸς ὑπὸ ἀδιαφορίας. καὶ χολήσας τι περὶ τῆ

ἀδελφῆς, (Φιλίστα δ' ἐκαλεῖτο) πρὸς τὸν λαβόμενον εἰπεῖν ὡς οὐκ ἐν γυναίῳ ἡ ἐπίδειξις τῆς ἀδιαφορίας. καὶ κυνός ποτε ἐπενεχθέντος διασοβηθέντα, εἰπεῖν πρὸς τὸν αἰτιασάμενον, ὡς χαλεπὸν εἴη ὁλοσχερῶς ἐκδῦναι ἄνθρωπον· διαγωνίζεσθαι δέ, ὡς οἷόν τε, πρῶτον μὲν τοῖς ἔργοις πρὸς τὰ πράγματα· εἰ δὲ μή, τῷ γε λόγῳ. φασὶ δὲ καὶ σηπτικῶν φαρμάκων καὶ τομῶν καὶ καύσεων ἐπί τινος ἕλκους αὐτῷ προσενεχθέντων, μηδὲ τὰς ὀφρῦς συναγαγεῖν. καὶ ὁ Τίμων δὲ διασαφεῖ τὴν διάθεσιν αὐτοῦ, ἐν οἷς πρὸς Πύθωνα διέξεισιν. ἀλλὰ καὶ Φίλων ὁ Ἀθηναῖος, γνώριμος αὐτοῦ γεγονώς, ἔλεγεν ὡς ἐμέμνητο μάλιστα μὲν Δημοκρίτου, εἶτα δὲ καὶ Ὁμήρου, θαυμάζων αὐτὸν, καὶ συνεχὲς λέγων,

Οἵη περ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν.

καὶ ὅτι φησὶ καὶ μυίαις καὶ ὀρνέοις εἴκαζε τοὺς ἀνθρώπους. προσφέρεσθαι δὲ καὶ ταῦτα,

Ἀλλὰ φίλος θάνε· καὶ σὺ τί δὴ ὀλοφύρεαι αὔτως;
Κάτθανε καὶ Πάτροκλος, ὅσπερ σέο πολλὸν ἀμείνων.

καὶ ὅσα συντείνει εἰς τὸ ἀβέβαιον, καὶ κενόσπουδον ἅμα καὶ παιδαριώδες τῶν ἀνθρώπων. Ποσειδώνιος δὲ καὶ τοιοῦτό τι διέξεισι περὶ αὐτοῦ. τῶν γὰρ ἐμπλεόντων ἐσκυθρωπακότων ὑπὸ χειμῶνος, αὐτὸς γαληνὸς ὢν ἀνέρρωσε τὴν ψυχήν, δείξας ἐν τῷ πλοίῳ χοιρίδιον ἐσθίον, καὶ εἰπὼν ὡς χρὴ τὸν σοφὸν ἐν τοιαύτῃ καθεστάναι ἀταραξίᾳ. μόνος δὲ Νουμήνιος καὶ δογματίσαι φησὶν αὐτόν. τούτου πρὸς τοῖς ἄλλοις καὶ μαθηταὶ γεγόνασιν ἐλλόγιμοι, ὧν Εὐρύλοχος· οὗ φέρεται ἐλάττωμα τόδε. φασὶ γὰρ ὡς οὕτω παρωξύνθη ποτέ, ὥστε τὸν ὀβελίσκον ἄρας μετὰ τῶν κρεῶν, ἕως τῆς ἀγορᾶς ἐδίωκε τὸν μάγειρον. καὶ ἐν Ἤλιδι καταπονούμενος ὑπὸ τῶν ζητούντων ἐν τοῖς λόγοις, ἀπορρίψας θοιμάτιον, διενήξατο τὸν Ἀλφειόν. ἦν οὖν πολεμιώτατος τοῖς σοφισταῖς, ὡς καὶ Τίμων φησίν. ὁ δὲ Φίλων τὰ πλεῖστα διελέγετο· ὅθεν καὶ περὶ τούτου φησὶν οὕτως,

Ἢ τὸν ἀπ' ἀνθρώπων ἀπόσχολον, αὐτολαλητὴν,

Οὐκ ἐμπαζόμενον δόξης ἐρίδων τε Φίλωνα.

πρὸς τούτοις, διήκουε τοῦ Πύῤῥωνος Ἑκαταῖός τε ὁ Αὐδηρίτης, καὶ Τίμων ὁ Φλιάσιος ὁ τοὺς σίλλους πεποιηκὼς, περὶ οὗ λέξομεν· ἔτι τε Ναυσιφάνης Τήϊος, οὗ φασί τινες ἀκοῦσαι Ἐπίκουρον. οὗτοι πάντες, Πυῤῥώνειοι μὲν ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοὶ δὲ καὶ σκεπτικοὶ, καὶ ἐφεκτικοὶ, καὶ ζητητικοὶ, ἀπὸ τοῦ οἷον δόγματος προσηγορεύοντο. ζητητικὴ μὲν οὖν φιλοσοφία, ἀπὸ τοῦ πάντοτε ζητεῖν τὴν ἀλήθειαν· σκεπτικὴ δὲ, ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ, καὶ μηδέποτε εὑρίσκειν· ἐφεκτικὴ δὲ, ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους· λέγω δὲ τὴν ἐποχήν· ἀπορητικὴ δὲ, ἀπὸ τοῦ τοὺς δογματικοὺς ἀπορεῖν καὶ αὐτούς. Πυῤῥώνειοι δὲ, ἀπὸ Πύῤῥωνος. Θεοδόσιος δὲ ἐν τοῖς σκεπτικοῖς κεφαλαίοις, οὔ φησι δεῖν Πυῤῥώνειον καλεῖσθαι τὴν σκεπτικήν. εἰ γὰρ τὸ καθ' ἑκάτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύῤῥωνος διάθεσιν. μὴ εἰδότες δὲ, οὐ Πυῤῥώνειοι καλοίμεθ' ἄν. πρὸς τῷ μηδὲ πρῶτον εὑρηκέναι τὴν σκεπτικὴν Πύῤῥωνα, μηδὲ ἔχειν τι δόγμα. λέγοιτο δ' ἂν Πυῤῥώνειος ὁμοτρόπως. ταύτης δὲ τῆς αἱρέσεως ἔνιοι φασὶν Ὅμηρον κατάρξαι. ἐπεὶ περὶ τῶν αὐτῶν πραγμάτων παρ' ὅντιν' ἄλλοτε ἄλλως ἀποφαίνεται, καὶ οὐδὲν ὁρικῶς δογματίζει περὶ τὴν ἀπόφασιν. ἐπεὶ καὶ τὰ τῶν ἑπτὰ σοφῶν σκεπτικὰ εἶναι, οἷον τὸ Μηδὲν ἄγαν· καὶ, Ἐγγύα, πάρα δ' ἄτα. δηλοῦσθαι τὸ βεβαίως καὶ πεπεισμένως διεγγυωμένῳ ἐπακολουθεῖν ἄτην. ἀλλὰ καὶ Ἀρχίλοχον καὶ Εὐριπίδην σκεπτικῶς ἔχειν, ἐν οἷς Ἀρχίλοχος μέν φησι,

Τοῖος ἀνθρώποισι νοῦς, Γλαῦκε Λεπτίνεω παῖ,
Γίνεται θνητοῖς ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγει.

Εὐριπίδης δὲ,

Τί δῆτα τοὺς ταλαιπώρους βροτοὺς
Φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
Δρῶμέν τε τοιαῦθ' ἃ σύ γε τυγχάνῃς θέλων.

οὐ μὴν

ου μὴν ἀλλὰ καὶ Ξενοφάνης, καὶ Ζήνων ὁ Ἐλεάτης, καὶ Δημόκριτος, κατ᾽ αὐτοὺς σκεπτικοὶ τυγχάνουσιν. ἐν οἷς Ξενοφάνης μέν φησι,

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν, οὐδέ τις ἔσται
Εἰδώς.

Ζήνων δὲ τὴν κίνησιν ἀναιρεῖ, λέγων, Τὸ κινούμενον οὔτε ἐν ᾧ ἐστι τόπῳ κινεῖται, οὔτε ἐν ᾧ μή ἐστι. Δημόκριτος δὲ τὰς ποιότητας ἐκβαλών· ἵνα φησί, Νόμῳ ψυχρόν, νόμῳ θερμόν· αἰτίῃ δὲ ἄτομα, καὶ κενόν. καὶ πάλιν, ...ίτίῃ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια. καὶ Πλάτωνα τὸ μὲν ἀληθὲς θεοῖς τε καὶ θεῶν παισὶν ἐκχωρεῖν, τὸν δὲ εἰκότα λόγον ζητεῖν. καὶ Εὐριπίδην λέγειν,

Τίς δ᾽ οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν νομίζεται βροτοῖς;

Ἀλλὰ καὶ Ἐμπεδοκλέα οὕτως - ἐπεὶ οὐδ᾽ ἐρκτὰ τάδ᾽ ἀνδράσιν, οὔτ᾽ ἐπακουστά, Οὔτε νόῳ περιληπτά. καὶ ἐπάνω, Αὐτὸ μόνον πεισθὲν τῷ προσέκυρσεν ἕκαστος. ἔτι μὴν Ἡράκλειτον, Μὴ εἰκῆ περὶ τῶν μεγίστων συμβαλώμεθα. καὶ Ἱπποκράτην ἔπειτα ἐνδοιαστῶς καὶ ἀνθρωπίνως ἀποφαίνεσθαι. καὶ πρὶν Ὅμηρον,

Στρεπτὴ δὲ γλῶσσ᾽ ἐστὶ βροτῶν, πολέες δ᾽ ἔνι μῦθοι.

καί,

-- ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

καί,

Ὁπποῖόν κ᾽ εἴπῃσθα ἔπος, τοῖόν κ᾽ ἐπακούσαις.

τὴν ἰσοσθένειαν λέγων καὶ ἀντίθεσιν τῶν λόγων. διετέλουν δὴ οἱ σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες, αὐτοὶ δὲ οὐδὲν ἀποφαίνοντες δογματικῶς. ἕως δὲ τοῦ προφέρεσθαι τὰ τῶν ἄλλων, καὶ διηγεῖσθαι, μηδὲν ὁρίζοντες, μηδ᾽ αὐτὸ τοῦτο. ὥστε καὶ τὸ μὴ ὁρίζειν ἀνῄρουν, λέγοντες οἷον, Οὐδὲν ὁρίζομεν, (ἐπεὶ ὥριζον ἄν) προφερόμεθα δὲ (φασὶ) τὰς ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας. ὡς εἰ καὶ νεύσαντας τοῦτο, ἐνεδέχετο δηλῶσαι. διὰ τοῦ οὖν

Οὐδὲν ὁρίζομεν, φωνῆς, τὸ τῆς ἀρρεψίας πάθος δηλούσα. ὁμοίως δὲ καὶ διὰ τῆς Οὐδὲν μᾶλλον, καὶ τῆς Παντὶ λ γῳ λόγος ἀντίκειται, καὶ ταῖς ὁμοίαις. λέγεται δὲ · Οὐδὲν μᾶλλον, καὶ θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων. οἷ Οὐθὲν μᾶλλον ὁ πειρατής κακός ἐστιν ἢ ὁ ψεύστης. ὑπὸ τῶν σκεπτικῶν οὐ θετικῶς ἀλλ' ἀναιρετικῶς λέγεται. ὡ ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ λέγοντος, Οὐ μᾶλλον ἡ Σκύλ λα γέγονεν ἢ ἡ Χίμαιρα. αὐτὸ δὲ τὸ μᾶλλον, ποτὲ μ συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν, Μᾶλλον τὸ μέλ γλυκὺ ἢ τὴν σταφίδα· ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς ὡς ὅταν φῶμεν, Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει. σ μαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. ἀναιρο σι δὲ οἱ σκεπτικοὶ καὶ αὐτὴν τὴν Οὐδὲν μᾶλλον φωνήν. ο γὰρ οὐ μᾶλλόν ἐστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ Οὐδ μᾶλλον, οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. σημαίνει οὖν ἡ φωνή, (κ θά φησι καὶ Τίμων ἐν τῷ Πύθωνι) τὸ μηδὲν ὁρίζειν, ἀλ ἀπροσθετεῖν. ἡ δὲ Παντὶ λόγῳ φωνὴ καὶ αὕτη συνά τὴν ἐποχήν. τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τ δὲ λόγων ἰσοσθενούντων, ἀγνωσία τῆς ἀληθείας ἐπακ λουθεῖ· καὶ αὐτῷ δὲ τούτῳ τῷ λόγῳ λόγος ἀντίκειται· καὶ οὗτος μετὰ τὸ ἀνελεῖν τοὺς ἄλλους, αὐτὸς ὑφ' ἑαυτοῦ τ ειστραπεὶς ἀπόλλυται· κατ' ἴσον τοῖς καθαρτικοῖς, ἃ τ ὕλην προεκκρίναντα, καὶ αὐτὰ ὑπεκκρίνεται καὶ διε πόλλυται. πρὸς ὅ φασιν οἱ δογματικοί, μὴ αἴρειν τὸν λ γον, ἀλλὰ προσεπισχυρίζειν. μόνον οὖν διακόνοις ἐχρῶ το τοῖς λόγοις. οὐ γὰρ οἷόν τε ἦν μὴ λόγῳ λόγον ἀνελέ καθ' ὃν τρόπον εἰώθαμεν λέγειν τόπον μὴ εἶναι, καὶ δεῖ π τως τὸν τόπον εἰπεῖν, ἀλλ' οὐ δογματικῶς, ἀποδεικτικ δέ. καὶ μηδὲν γίνεσθαι κατ' ἀνάγκην, καὶ δεῖ τὴν ἀνά κην εἰπεῖν. τοιούτῳ τινὶ τρόπῳ τῆς ἑρμηνείας ἐχρῶντο· ο γὰρ φαίνεται τὰ πράγματα, μὴ τοιαῦτα εἶναι τῇ φύσει, ἀλ μόνον φαίνεσθαι. ζητεῖν τε ἔλεγον οὐχ ἅπερ νοοῦσιν(

γὰρ νοεῖται, δῆλον) ἀλλ' ὧν ταῖς αἰσθήσεσι μετέχουσιν. ἔστιν οὖν ὁ Πυῤῥώνειος λόγος, μνήμη τις τῶν φαινομένων ἢ τῶν ὁπωσοῦν νοουμένων, καθ' ἣν πάντα πᾶσι συμβάλλεται, καὶ συγκρινόμενα, πολλὴν ἀνωφέλειαν καὶ ταραχὴν ἔχοντα εὑρίσκεται, καθά φησιν Αἰνεσίδημος ἐν τῇ εἰς τὰ Πυῤῥώνεια ὑποτυπώσει. πρὸς δὲ τὰς ἐν ταῖς σκέψεσιν ἀντιθέσεις, προαποδεικνύντες καθ' οὓς τρόπους πείθει τὰ πράγματα, κατὰ τοὺς αὐτοὺς ἀνῄρουν τὴν περὶ αὐτῶν πίστιν. πείθειν γὰρ τά δὲ κατ' αἴσθησιν συμφώνως ἔχοντα, καὶ τὰ μηδέποτε ἢ σπανίως γοῦν μεταπίπτοντα, τά τε συνήθη καὶ τὰ νόμοις διεσταλμένα καὶ τέρποντα, καὶ τὰ θαυμαζόμενα. ἐδείκνυσαν οὖν ἀπὸ τῶν ἐναντίων τοῖς πείθουσιν, ἴσας τὰς πιθανότητας. αἱ δ' ἀπορίαι κατὰ τὰς συμφωνίας τῶν φαινομένων ἢ νοουμένων, ἃς ἀπεδίδοσαν, ἦσαν κατὰ δέκα τρόπους, καθ' οὓς τὰ ὑποκείμενα παραλλάττοντα ἐφαίνετο. τούτους δὲ τοὺς δέκα τρόπους καθ' οὓς τίθησιν, ἓν πρῶτον, ὁ παρὰ τὰς διαφορὰς τῶν ζώων πρὸς ἡδονὴν καὶ ἀλγηδόνα, καὶ βλάβην καὶ ὠφέλειαν. συνάγεται δὲ δι' αὐτοῦ, τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν προσπίπτειν φαντασίας, καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. τῶν γὰρ ζώων τὰ μὲν χωρὶς μίξεως γίνεσθαι, ὡς τὰ πυρίβια, καὶ ὁ Ἀράβιος φοῖνιξ, καὶ εὐλαί· τὰ δ' ἐξ ἐπιπλοκῆς, ὡς ἄνθρωποι, καὶ τὰ ἄλλα. καὶ τὰ μὲν, οὕτως, τὰ δ' οὕτως συγκέκριται. διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν, ὀξύτατοι· κύνες δὲ, ὀσφρητικώτατοι. εὔλογον οὖν τοῖς διαφόροις τοὺς ὀφθαλμοὺς διάφορα καὶ τὰ φαντάσματα προσπίπτειν· καὶ τῇ μὲν αἰγὶ τὸν θαλλὸν εἶναι ἐδώδιμον, ἀνθρώπῳ δὲ πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν τρόφιμον, ἀνθρώπῳ δὲ θανάσιμον· καὶ ὁ ἀπόπατος, ὑῒ μὲν ἐδώδιμος, ἵππῳ δὲ οὔ. δεύτερος, ὁ παρὰ τὰς τῶν ἀνθρώπων φύσεις, κατὰ ἔθνη καὶ συγκρίσεις. Δημοφῶν γοῦν ὁ Ἀλεξάνδρου τραπεζοκόμος, ἐν σκιᾷ ἐθάλπετο, ἐν ἡλίῳ δὲ ἐρρίγου,

Ἄνδρων δὲ ὁ Ἄργιος (ὥς φησιν Ἀριστοτέλης) διὰ τῆς ἀνύδρου Λιβύης ὥδευεν ἄποτος. καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ γεωργίας, ἄλλος ἐμπορείας ὀρέγεται· καὶ ταῦτα οἷς μὲν βλάπτει, οἷς δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον. τρίτος ὁ παρὰ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. τὸ γοῦν μῆλον, ὁράσει μὲν ὠχρὸν, γεύσει δὲ γλυκὺ, ὀσφρήσει δὲ εὐῶδες ὑποπίπτει. καὶ ἡ αὐτὴ δὲ μορφὴ παρὰ τὰς διαφορὰς τῶν κατόπτρων ἀλλοία θεωρεῖται. ἀκολουθεῖ οὖν μὴ μᾶλλον εἶναι τοῖον τὸ φαινόμενον ἢ ἀλλοῖον. τέταρτος, ὁ παρὰ τὰς διαθέσεις καὶ κοινῶς παραλλαγάς· οἷον, ὑγίειαν, νόσον, ὕπνον, ἐγρήγορσιν, χαρὰν, λύπην, νεότητα, γῆρας, θάρσος, φόβον, ἔνδειαν, πλήρωσιν, μῖσος, φιλίαν, θερμασίαν, ψύξιν· παρὰ τὸ πνεῖν, παρὰ τὸ πεφράχθαι τοὺς πόρους. ἀλλοῖα οὖν φαίνεται τὰ προσπίπτοντα παρὰ τὰς ποιὰς διαθέσεις. οὐδὲ γὰρ οἱ μαινόμενοι παρὰ φύσιν ἔχουσι. τί γὰρ μᾶλλον ἐκεῖνοι ἢ ἡμεῖς; καὶ γὰρ ἡμεῖς τὸν ἥλιον ὡς ἑστῶτα βλέπομεν. Θέων δὲ ὁ Τιθορεὺς ὁ Στωϊκὸς, κοιμώμενος περιεπάτει ἐν τῷ ὕπνῳ, καὶ Περικλέους δοῦλος ἐπὶ τοῦ τέγους ἄκρου. πέμπτος, ὁ παρὰ τὰς ἀγωγὰς, καὶ τοὺς νόμους, καὶ τὰς μυθικὰς πίστεις, καὶ τεχνικὰς συνθήκας, καὶ δογματικὰς ὑπολήψεις. ἐν τούτῳ περιέχεται τὰ περὶ καλῶν καὶ αἰσχρῶν, περὶ ἀληθῶν καὶ ψευδῶν, περὶ τῶν ἀγαθῶν καὶ κακῶν, περὶ θεῶν καὶ γενέσεως καὶ φθορᾶς τῶν φαινομένων πάντων. τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθὸν, ἄλλοις δὲ κακόν. Πέρσαι μὲν γὰρ οὐκ ἄτοπον ἡγοῦνται, θυγατρὶ μίγνυσθαι· Ἕλληνες δὲ, ἔκθεσμον. καὶ Μασσαγέται μὲν (ὥς φησι καὶ Εὔδοξος ἐν τῇ πρώτῃ τῆς περιόδου) κοινὰς ἔχουσι τὰς γυναῖκας· Ἕλληνες δὲ, οὔ. Κίλικές τε λῃστείᾳ ἔχαιρον, ἀλλ' οὐχ Ἕλληνες. θεούς τε ἄλλοι ἄλλοις ἡγοῦνται· καὶ οἱ μὲν προνοεῖσθαι, οἱ δ' οὔ. θάπτουσι δὲ Αἰγύπτιοι μὲν, ταριχεύοντες· Ῥωμαῖοι δὲ, καίοντες· Παίονες δὲ, εἰς τὰς λίμνας ῥιπτοῦντες. ὅθεν περὶ τἀληθοῦς ἡ ἐ

ποχή. ἕκτος, ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὐτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτὶ, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. ἡ γοῦν πορφύρα διάφορον ὑποφαίνει χρῶμα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ λύχνῳ. καὶ τὸ ἡμέτερον χρῶμα, ἀλλοῖον ὑπὸ τῇ μεσημβρίᾳ φαίνεται, καὶ ὁ ἥλιος, καὶ ὁ ἐν ἀέρι ὑπὸ δυοῖν κουφιζόμενος λίθος, ἐν ὕδατι ῥαδίως μετατίθεται· ἤτοι βαρὺς ὢν καὶ ὑπὸ τοῦ ὕδατος κουφιζόμενος, ἢ ἐλαφρὸς ὢν καὶ ὑπὸ τοῦ ἀέρος βαρυνόμενος. ἀγνοοῦμεν οὖν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ. ἕβδομος, ὁ παρὰ τὰς ἀποστάσεις, καὶ ποιὰς θέσεις, καὶ τοὺς τόπους, καὶ τὰ ἐν τοῖς τόποις. κατὰ τοῦτον τὸν τρόπον τὰ δοκοῦντα εἶναι μεγάλα, μικρὰ φαίνεται· τὰ τετράγωνα, στρογγύλα· τὰ ὁμαλὰ, ἐξοχὰς ἔχοντα· τὰ ὀρθὰ, κεκλασμένα· τὰ ὠχρὰ, ἑτερόχροα. ὁ γοῦν ἥλιος παρὰ τὸ διάστημα πόρρωθεν φαίνεται· καὶ τὰ ὄρη πόρρωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν δὲ τραχέα. ἔτι ὁ ἥλιος ἀνίσχων μὲν, ἀλλοῖος· μεσουρανῶν δὲ, οὐχ ὅμοιος. καὶ τὸ αὐτὸ σῶμα ἐν μὲν ἄλσει, ἀλλοῖον· ἐν δὲ ψιλῇ γῇ ἕτερον. καὶ ἡ εἰκὼν, παρὰ τὴν ποιὰν θέσιν· ὅ, τε τῆς περιστερᾶς τράχηλος, παρὰ τὴν στροφήν. ἐπεὶ οὖν οὐκ ἔνι ἔξω τόπων καὶ θέσεων ταῦτα κατανοῆσαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν. ὄγδοος, ὁ παρὰ τὰς ποσότητας αὐτῶν ἢ θερμότητας ἢ ψυχρότητας, ἢ ταχύτητας ἢ βραδύτητας, ἢ ὠχρότητας, ἢ ἑτερ[…]ιότητας. ὁ γοῦν οἶνος, μέτριος μὲν ληφθεὶς, ῥώννυσι· πλείων δὲ, παρίησιν· ὁμοίως καὶ ἡ τροφὴ, καὶ τὰ ὅμοια. ἔννατος, ὁ παρὰ τὸ ἐνδελεχὲς, ἢ ξένον, ἢ σπάνιον. οἱ γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται, οὐ θαυμάζονται· οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται. τὸν ἔνατον Φαβωρῖνος η΄· Σέξτος δὲ καὶ Αἰνεσίδημος, ι΄. ἀλλὰ καὶ τὸν ι΄ Σέξτος η΄ φησὶ, Φαβωρῖνος δὲ, θ΄. δέκατος, ὁ κατὰ τὴν πρὸς ἄλληλα σύμβλησιν· καθάπερ τὸ κοῦφον, παρὰ τὸ βαρύ· τὸ

A. iii.

ἰσχυρόν, παρὰ τὸ ἀσθενές· τὸ μεῖζον, παρὰ τὸ ἔλαττον· τὸ ἄνω, παρὰ τὸ κάτω. τὸ γοῦν δεξιόν, φύσει μὲν οὐκ ἔστι δεξιόν, κατὰ δὲ τὴν ὡς πρὸς τὸ ἕτερον σχέσιν νοεῖται. μετατεθέντος γοῦν ἐκείνου, οὐκ ἔσται δεξιόν. ὁμοίως καὶ πατὴρ καὶ ἀδελφός, ὡς πρός τι, καὶ ἡμέρα, ὡς πρὸς τὸν ἥλιον· καὶ πάντα ὡς πρὸς τὴν διάνοιαν. ἄγνωστα οὖν τὰ πρός τι ὡς καθ' ἑαυτά. καὶ οὗτοι μὲν οἱ δέκα τρόποι.

Οἱ δὲ περὶ Ἀγρίππαν τούτοις ἄλλους πέντε προσεισάγουσι· τόν τε ἀπὸ τῆς διαφωνίας, καὶ τὸν εἰς ἄπειρον ἐκβάλλοντα, καὶ τὸν πρός τι, καὶ τὸν ἐξ ὑποθέσεως, καὶ τὸν δι' ἀλλήλων. ὁ μὲν οὖν ἀπὸ τῆς διαφωνίας, ὃ ἂν προτεθῇ ζήτημα παρὰ τοῖς φιλοσόφοις ἢ τῇ συνηθείᾳ, πλείστης μάχης καὶ ταραχῆς πλῆρες ἀποδείκνυσι· ὁ δὲ εἰς ἄπειρον ἐκβάλλων, οὐκ ἐᾷ βεβαιοῦσθαι τὸ ζητούμενον, διὰ τὸ ἄλλο ἀπ' ἄλλου τὴν πίστιν λαμβάνειν, καὶ οὕτως εἰς ἄπειρον· ὁ δὲ πρός τι, οὐδέν φησι καθ' ἑαυτὸ λαμβάνεσθαι, ἀλλὰ μεθ' ἑτέρου. ὅθεν ἄγνωστα εἶναι. ὁ δ' ἐξ ὑποθέσεως τρόπος συνίσταται, οἰομένων τινῶν τὰ πρῶτα τῶν πραγμάτων αὐτόθεν δεῖν λαμβάνειν ὡς πιστά, καὶ μὴ αἰτεῖσθαι· (ὃ ἔστι μάταιον· τὸ ἐναντίον γάρ τις ὑποθήσεται.) ὁ δὲ δι' ἀλλήλων τρόπος συνίσταται, ὅταν τὸ ὀφεῖλον τοῦ ζητουμένου πράγματος εἶναι βεβαιωτικόν, χρείαν ἔχῃ τῆς ἐκ τοῦ ζητουμένου πίστεως. οἷον, εἰ τὸ εἶναι πόρους τις βεβαιοῖ, διὰ τὸ ἀπορροίας γίνεσθαι, αὐτὸ παραλαμβάνει πρὸς βεβαίωσιν τὸ ἀπορροίας γίνεσθαι. ἀνῄρουν δ' οὗτοι καὶ πᾶσαν ἀπόδειξιν, καὶ κριτήριον, καὶ σημεῖον, καὶ αἴτιον, καὶ κίνησιν, καὶ μάθησιν, καὶ γένεσιν, καὶ τὸ φύσει τι εἶναι ἀγαθὸν ἢ κακόν. πᾶσα γὰρ ἀπόδειξις (φασὶν) ἢ ἐξ ἀποδεδειγμένων σύγκειται χρημάτων, ἢ ἐξ ἀναποδείκτων. εἰ μὲν οὖν ἐξ ἀποδεδειγμένων, κἀκεῖνα δεήσεταί τινος ἀποδείξεως, κἀντεῦθεν εἰς ἄπειρον· εἰ δὲ ἐξ ἀναποδείκτων, ἤτοι πάντων, ἢ τινῶν, καὶ ἑνὸς μόνου διστάζομένου, καὶ τὸ ὅλον εἶναι ἀναπόδεικτον. εἰ δοκεῖ (φασὶν) ὑπάρχειν τινά, μηδεμιᾶς ἀποδείξεως δεο

ῦμα, θαυμαστοὶ τῆς γνώμης, εἰ μὴ συνίασιν ὅτι εἰς αὐτὸ
ῦτο πρῶτον, ὡς ἄρα δεῖ αὐτὴν ἔχειν τὴν πίστιν, ἀποδείξεως
ρεία. οὐδὲ γὰρ τὸ τέτταρα εἶναι τὰ στοιχεῖα, ἐκ τοῦ τέτταρα
εἶναι τὰ στοιχεῖα, βεβαιωτέον. πρὸς τῷ, καὶ τῶν κατὰ μέρος
ποδείξεων ἀπιστουμένων ἄπιστον εἶναι καὶ τὴν γενικὴν ἀπό
δειξιν. ἵνα τε γνῶμεν ὅτι ἐστὶν ἀπόδειξις, κριτηρίου δεῖ καὶ
τι ἐστὶ κριτήριον, ἀποδείξεως δεῖ· ὅθεν ἑκάτερα ἀκατάλη
τα ἀναπεμπόμενα ἐπ᾽ ἄλληλα. πῶς ἂν οὖν καταλαμβά
νοιτο τὰ ἄδηλα, τῆς ἀποδείξεως ἀγνοουμένης; ζητεῖται δὲ
κ εἰ φαίνεται τοιαῦτα, ἀλλ᾽ εἰ καθ᾽ ὑπόστασιν οὕτως ἔ-
χει. εὐήθεις δὲ τοὺς δογματικοὺς ἀπέφαινον. τὸ γὰρ ἐξ ὑποθέ-
σεως περαινόμενον, οὐ σκέψεως ἀλλὰ θέσεως ἔχει λόγον.
τούτῳ δὲ λόγῳ καὶ ὑπὲρ ἀδυνάτων ἐστὶν ἐπιχειρεῖν. τοὺς
δὲ οἰομένους μὴ δεῖν ἐκ τῶν κατὰ περίστασιν κρίνειν τἀληθές,
μηδ᾽ ἐκ τῶν κατὰ φύσιν νομοθετεῖν, ἔλεγον αὐτοῖς μέτρα
τῶν πάντων ὁρίζειν, οὐχ ὁρῶντας ὅτι πᾶν τὸ φαινόμενον,
κατ᾽ ἀντιπερίστασιν καὶ διάθεσιν φαίνεται. ἤτοι γοῦν πάν-
τα ἀληθῆ ῥητέον, ἢ πάντα ψευδῆ. εἰ δ᾽ ἔνια ἐστὶν ἀληθῆ,
τίνι διακριτέον; οὔτε γὰρ αἰσθήσει τὰ κατὰ αἴσθησιν, πάντων ἴ-
σων αὐτῇ φαινομένων, οὔτε νοήσει, διὰ τὴν τοιαύτην αἰτίαν.
ἄλλη δὲ παρὰ ταύτας εἰς ἐπίκρισιν δύναμις οὐχ ὁρᾶ-
ται. ὁ οὖν (φασί) περί τινος διαβεβαιούμενος αἰσθητοῦ ἢ νοη
τοῦ, πρότερον ὀφείλει τὰς περὶ τούτων δόξας καταστῆσαι. οἱ
μὲν γὰρ ταῦτα, οἱ δὲ ταῦτα ἀνῃρήκασι.. δεῖ δὲ ἢ δι᾽ αἰσθητοῦ
ἢ νοητοῦ κριθῆναι. ἑκάτερα δὲ ἀμφισβητεῖται. οὐ τοίνυν δυ
νατὸν τὰς περὶ αἰσθητῶν ἢ νοητῶν ἐπικρῖναι δόξας, εἴτε διὰ
τὴν ἐν ταῖς νοήσεσι μάχην ἀπαιτητέον, πᾶσιν ἀναιρεθήσεται
τὸ μέτρον, ᾧ δοκεῖ τὰ πάντα διακριβοῦσθαι. πᾶν οὖν ἴ-
σον ἡγήσονται. ἔτι φησὶν ὁ συζητῶν ἡμῖν, Τὸ φαινόμενον
πιστόν ἐστιν, ἢ οὔ; εἰ μὲν οὖν πιστόν ἐστιν, οὐδὲν ἕξει λέγειν
πρὸς τὸν ᾧ φαίνεται τοὐναντίον· ὡς γὰρ αὐτὸς πιστὸς τὸ
φαινόμενον λέγων, οὕτω καὶ ὁ ἐναντίος. εἰ δ᾽ ἄπιστον.

καὶ αὐτὸς ἀπιστηθήσεται, τὸ φαινόμενον λέγων. τό, τε πεῖθον οὐχ ὑποληπτέον ἀληθὲς ὑπάρχειν. οὐ γὰρ πάντας τὸ αὐτὸ πείθειν, οὐδὲ τοὺς αὐτοὺς συνεχές. γίνεται δὲ καὶ παρὰ τὸ ἐκτὸς ἡ πιθανότης, παρὰ τὸ ἔνδοξον τοῦ λέγοντος, ἢ παρὰ τὸ φροντιστικόν, ἢ παρὰ τὸ αἱμύλον, ἢ παρὰ τὸ σύνηθες, ἢ παρὰ τὸ κεχαρισμένον. ἀνῄρουν δὲ καὶ τὸ κριτήριον, λόγῳ τοιῷδε· ἤτοι κέκριται καὶ τὸ κριτήριον, ἢ ἄκριτόν ἐστιν. ἀλλ' εἰ μὲν ἄκριτόν ἐστιν, ἄπιστον καθέστηκε, καὶ διημάρτηκε τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους· εἰ δὲ κέκριται, ἓν τῶν κατὰ μέρος γενήσεται κρινομένων· ὥστ' ἂν τὸ αὐτὸ καὶ κρίνειν καὶ κρίνεσθαι, καὶ τὸ κεκρικὸς τὸ κριτήριον ὑφ' ἑτέρου κριθήσεται, κἀκεῖνο ὑπὸ ἄλλου, καὶ οὕτως εἰς ἄπειρον. πρὸς τῷ καὶ διαφωνεῖσθαι τὸ κριτήριον· τῶν μὲν, τὸν ἄνθρωπον κριτήριον εἶναι λεγόντων, τῶν δὲ, τὰς αἰσθήσεις· ἄλλων, τὸν λόγον· ἐνίων, τὴν καταληπτικὴν φαντασίαν. καὶ ὁ μὲν ἄνθρωπος καὶ πρὸς αὑτὸν διαφωνεῖται καὶ πρὸς τοὺς ἄλλους· ὡς δῆλον ἐκ τῶν διαφόρων νόμων καὶ ἐθῶν. αἱ δὲ αἰσθήσεις ψεύδονται· ὁ δὲ λόγος, διάφωνος. ἡ δὲ καταληπτικὴ φαντασία ὑπὸ νοῦ κρίνεται, καὶ ὁ νοῦς ποικίλως τρέπεται. ἄγνωστον οὖν ἐστι τὸ κριτήριον, καὶ διὰ τοῦτο ἡ ἀλήθεια. σημεῖόν τε οὐκ εἶναι. εἰ γάρ ἐστι (φασὶ) σημεῖον, ἤτοι αἰσθητόν ἐστιν, ἢ νοητόν. αἰσθητὸν μὲν οὖν οὐκ ἔστιν· ἐπεὶ τὸ αἰσθητὸν κοινόν ἐστι· τὸ δὲ σημεῖον, ἴδιον. καὶ τὸ μὲν αἰσθητὸν κατὰ διαφοράν· τὸ δὲ σημεῖον, τῶν πρός τι. νοητὸν δὲ οὐκ ἔστιν· ἐπεὶ εἰ ἔστι νοητὸν, ἤτοι φαινόμενόν ἐστι φαινομένου, ἢ ἀφανὲς ἀφανοῦς, ἢ ἀφανὲς φαινομένου, ἢ φαινόμενον ἀφανοῦς. οὐδὲν δὲ τούτων ἐστίν· οὐκ ἄρα ἐστὶ σημεῖον. φαινόμενον μὲν οὖν φαινομένου οὐκ ἔστιν, ἐπεὶ τὸ φαινόμενον οὐ δεῖται σημείου· ἀφανὲς δὲ ἀφανοῦς οὐκ ἔστιν, ἐπειδὴ φαίνεσθαι τὸ ἐκκαλυπτόμενον ὑπό τινος. ἀφανὲς δὲ φαινομένου οὐ δύναται, καθότι δεῖ φαίνεσθαι τῷ ἑτέρῳ παρέξον ἀφορμὴν ἀποκαλύψεως. φαινόμενον δὲ ἀφανοῦς οὐκ ἔστιν, ὅτι τὸ σημεῖον, τῶν

πρός τι ὄν, συγκαταλαμβάνεσθαι ὀφείλει τῷ οὗ ἐστι σημεῖον· τὸ δὲ μὴ ἔστιν. οὐδὲν ἄρα τῶν ἀδήλων ἂν καταλαμβάνοιτο. διὰ γὰρ τῶν σημείων λέγεται τὰ ἄδηλα καταλαμβάνεσθαι. ἀναιροῦσι δὲ τὸ αἴτιον ὧδε· τὸ αἴτιον τῶν πρός τι ἐστί· πρὸς γὰρ τῷ αἰτιατῷ ἐστι. τὰ δὲ πρός τι ἐπινοεῖται μόνον, ὑπάρχει δὲ οὔ. καὶ τὸ αἴτιον οὖν ἐπινοοῖτο ἂν μόνον. ἐπεὶ εἴπερ ἐστὶν αἴτιον, ὀφείλει ἔχειν τὸ οὗ λέγεται αἴτιον, ἐπεὶ οὐκ ἔσται αἴτιον. καὶ ὥσπερ ὁ πατήρ, μὴ παρόντος τοῦ πρὸς ὃ λέγεται πατήρ, οὐκ ἂν εἴη πατήρ, οὕτω δὴ καὶ τὸ αἴτιον. οὐ πάρεστι δὲ πρὸς ὃ νοεῖται τὸ αἴτιον· (οὔτε γὰρ γένεσις, οὔτε φθορά, οὔτε ἄλλο τι) οὐκ ἄρα ἐστὶν αἴτιον. καὶ μὴν εἰ ἔστιν αἴτιον, ἤτοι σῶμα σώματός ἐστιν αἴτιον, ἢ ἀσώματον ἀσωμάτου· οὐδὲν δὲ τούτων· οὐκ ἄρα ἐστὶν αἴτιον. σῶμα μὲν οὖν σώματος οὐκ ἂν εἴη αἴτιον, ἐπείπερ ἀμφότερα τὴν αὐτὴν ἔχει φύσιν. καὶ εἰ τὸ ἕτερον αἴτιον λέγεται, παρ' ὅσον ἐστὶ σῶμα, καὶ τὸ λοιπὸν σῶμα ὄν, αἴτιον γενήσεται. κοινῶς δὲ ἀμφοτέρων αἰτίων ὄντων, οὐδὲν ἔσται τὸ πάσχον. ἀσώματον δὲ ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον, διὰ τὸν αὐτὸν λόγον. ἀσώματον δὲ σώματος οὐκ ἔστιν αἴτιον· ἐπεὶ οὐδὲν ἀσώματον ποιεῖ σῶμα. σῶμα δὲ ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον· ὅτι τὸ γενόμενον, τῆς πασχούσης ὕλης ὀφείλει εἶναι· μηδὲν δὲ πάσχον, διὰ τὸ ἀσώματον εἶναι, οὐδ' ἂν ὑπό τινος γένοιτο. οὐκ ἔστι τοίνυν αἴτιον. ᾧ συνεισάγεται τὸ ἀνυποστάτους εἶναι τὰς τῶν ὅλων ἀρχάς. δεῖ γὰρ εἶναί τι τὸ ποιοῦν καὶ δρῶν. ἀλλὰ μὴν οὐδὲ κίνησίς ἐστι. τὸ γὰρ κινούμενον, ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται, ἢ ἐν ᾧ μὴ ἔστιν. καὶ ἐν ᾧ μὲν ἐστι τόπῳ, οὐ κινεῖται· ἐν ᾧ δὲ οὐκ ἔστιν, οὐδὲ κινεῖται. οὐκ ἔστιν οὖν κίνησις. ἀνῄρουν δὲ καὶ μάθησιν. εἴπερ (φασὶ) διδάσκεταί τι, ἤτοι τὸ ὂν τῷ εἶναι διδάσκεται· ἢ τὸ μὴ ὄν, τῷ μὴ εἶναι. οὔτε δὲ τὸ ὂν τῷ εἶναι διδάσκεται (ἡ γὰρ τῶν ὄντων φύσις πᾶσι φαίνεται καὶ γινώσκεται) οὔτε τὸ μὴ ὄν, τῷ μὴ ὄντι· τῷ γὰρ μὴ ὄντι οὐδὲν συμβέβηκεν) ὥστε οὔτε τὸ

διδάσκεσθαι. οὐδὲ μὴν γένεσιν εἶναι (φασὶν) οὔτε γὰρ τὸ ὂν γίνεται (ἔστι γὰρ) οὔτε τὸ μὴ ὄν· (οὐδὲ γὰρ ὑφέστηκε) τὸ δὲ μὴ ὑφεστώς, μηδὲ ὄν, οὐδὲ τὸ γίνεσθαι ἀτυχεῖ. φύσει τε μὴ εἶναι ἀγαθὸν ἢ κακόν. εἰ γάρ τι ἐστὶ φύσει ἀγαθὸν καὶ κακόν, πᾶσιν ὀφείλει ἀγαθὸν ἢ κακὸν ὑπάρχειν, ὥσπερ ἡ χιὼν πᾶσι ψυχρόν· κοινὸν δὲ οὐδὲν πάντων ἀγαθὸν ἢ κακόν ἐστιν. οὐκ ἄρα ἐστὶ φύσει ἀγαθὸν ἢ κακόν. ἤτοι γὰρ πᾶν τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθόν, ἢ οὐ πᾶν. καὶ πᾶν μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ ὑφ᾽ οὗ μὲν δοξάζεται ἀγαθόν, ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου· ὑφ᾽ οὗ δὲ κακόν, ὑπὸ Ἀντισθένους. συμβήσεται τοίνυν τὸ αὐτό, ἀγαθόν τε εἶναι καὶ κακόν. εἰ δ᾽ οὐ πᾶν λέγομεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθόν, δεήσει ἡμᾶς διακρίνειν τὰς δόξας. ὅπερ οὐκ ἐνδεχόμενόν ἐστι, διὰ τὴν ἰσοσθένειαν τῶν λόγων. ἄγνωστον οὖν τὸ φύσει ἀγαθόν. ἔστι δὲ καὶ τὸν ὅλον τῆς συναγωγῆς αὐτῶν τρόπον συνιδεῖν ἐκ τῶν ἀπολειφθεισῶν συντάξεων. αὐτὸς μὲν γὰρ ὁ Πύρρων οὐδὲν ἀπέλιπεν, οἱ μέντοι συνήθεις αὐτοῦ, Τίμων καὶ Αἰνεσίδημος καὶ Νουμήνιος καὶ Ναυσιφάνης, καὶ ἄλλοι τοιοῦτοι. οἷς ἀντιλέγοντες οἱ δογματικοί φασιν αὐτοὺς καταλαμβάνεσθαι καὶ δογματίζειν· ἐν ᾧ γὰρ δοκοῦσι διελέγχειν, καταλαμβάνονται. καὶ γὰρ ἐν τῷ αὐτῷ κρατύνουσι καὶ δογματίζουσι. καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν, καὶ παντὶ λόγῳ λόγον ἀντικεῖσθαι, αὐτὰ ταῦτα καὶ ὁρίζονται καὶ δογματίζουσι. πρὸς οὓς ἀποκρίνονται, περὶ μὲν ὧν ὡς ἄνθρωποι πάσχομεν, ὁμολογοῦμεν. καὶ γὰρ ὅτι ἡμέρα ἐστί, καὶ ὅτι ζῶμεν, καὶ ἄλλα πολλὰ τῶν ἐν τῷ βίῳ φαινομένων διαγινώσκομεν· περὶ δὲ ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατειλῆφθαι, ἐπέχομεν περὶ τούτων ὡς ἀδήλων· μόνα δὲ τὰ πάθη γινώσκομεν. τὸ μὲν γὰρ ὅτι ὁρῶμεν, ὁμολογοῦμεν, καὶ τὸ ὅτι τόδε νοοῦμεν, γινώσκομεν· πῶς δὲ ὁρῶμεν, ἢ πῶς νοοῦμεν, ἀγνοοῦμεν. καὶ ὅτι τόδε λευκὸν φαίνεται, διηγηματικῶς λέγομεν, οὐ διαβεβαι-

ὑμένοι εἰ καὶ ὄντως ἐστί. περὶ δὲ τῆς Οὐδὲν ὁρίζω φωνῆς καὶ τῶν ὁμοίων λέγομεν ὡς οὐ δογμάτων· οὐ γάρ εἰσιν ὅμοια τῷ λέγειν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. ἀλλὰ γὰρ τὸ μὲν, ἄδηλον, αἱ δὲ ἐξομολογήσεις εἰσί. ἐν ᾧ οὖν λέγομεν μηδὲν ὁρίζειν, οὐδ' αὐτὸ τοῦτο ὁριζόμεθα. πάλιν οἱ δογματικοί φασι καὶ τὸν βίον αὐτοὺς ἀναιρεῖν, ἐν ᾧ πάντα ἐκβάλλουσιν ἐξ ὧν ὁ βίος συνέστηκεν. οἱ δὲ ψεύδεσθαί φασιν αὐτούς. οὐ γὰρ τὸ ὁρᾶν ἀναιρεῖν, ἀλλὰ τὸ πῶς ὁρᾶ ἀγνοεῖν. καὶ γὰρ τὸ φαινόμενον τιθέμεθα, οὐχ ὡς καὶ τοιοῦτον ὄν. καὶ ὅτι πῦρ καίει αἰσθανόμεθα· εἰ δὲ φύσιν ἔχει καυστικὴν, ἐπέχομεν. καὶ ὅτι κινεῖταί τις βλέπομεν, καὶ ὅτι φθείρεται· πῶς δὲ ταῦτα γίνεται, οὐκ ἴσμεν. μόνον οὖν (φασὶν) ἀνθιστάμεθα πρὸς τὰ παρυφιστάμενα τοῖς φαινομένοις ἄδηλα. καὶ γὰρ ὅτε τὴν εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν, τὸ φαινόμενον διασαφοῦμεν· ὅταν δὲ εἴπωμεν μὴ ἔχειν αὐτὴν ἐξοχὰς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν. ὅθεν καὶ ὁ Τίμων ἐν τῷ Πύθωνι φησὶ μὴ ἐκβεβηκέναι τὴν συνήθειαν. καὶ ἐν τοῖς ἰνδαλμοῖς οὕτω λέγει,

Ἀλλὰ τὸ φαινόμενον παντὶ σθένει οὗπερ ἂν ἔλθῃ.

καὶ ἐν τοῖς περὶ αἰσθήσεων φησὶ, τὸ μὲν ὅτι ἐστὶ γλυκὺ, οὐ τίθημι· τὸ δὲ ὅτι φαίνεται, ὁμολογῶ. καὶ Αἰνεσίδημος ἐν τῷ πρώτῳ τῶν Πυρρωνείων λόγων, οὐδέν φησιν ὁρίζειν τὸν Πύρρωνα δογματικῶς, διὰ τὴν ἀντιλογίαν, τοῖς δὲ φαινομένοις ἀκολουθεῖν. ταῦτα δὲ λέγει κἀν τῷ κατὰ σοφίας, κἀν τῷ περὶ ζητήσεως. ἀλλὰ καὶ Ζεῦξις ὁ Αἰνεσιδήμου γνώριμος ἐν τῷ περὶ διττῶν λόγων, καὶ Ἀντίοχος ὁ Λαοδικεὺς, καὶ Ἀπελλᾶς ἐν τῷ Ἀγρίππᾳ, τιθέασι τὰ φαινόμενα μόνα. ἔστιν οὖν κριτήριον κατὰ τοὺς σκεπτικοὺς τὸ φαινόμενον, ὡς καὶ Αἰνεσίδημος φησίν. οὕτω δὲ καὶ Ἐπίκουρος. Δημόκριτος δὲ, μηδὲν εἶναι τῶν φαινομένων· τὰ δὲ, μὴ εἶναι. πρὸς τοῦτο τὸ κριτήριον τῶν φαινομένων οἱ δογματικοί φασιν, ὅτι ὅτε ἀπὸ τῶν αὐτῶν διάφοροι προσπίπτουσι φαντασίαι ὡς ἀπὸ τοῦ πύργου ἢ στρογγύλου, ἢ τετραγώνου,

ὁ σκεπτικὸς εἰ οὐδετέραν προκρίνῃ, ἀπρακτήσει· εἰ δὲ τῇ ἑτέρᾳ κατακολουθήσῃ, οὐκέτι τὸ ἰσοσθενὲς (φασὶ) τοῖς φαινομένοις ἀποδώσει. πρὸς οὓς οἱ σκεπτικοί φασιν, ὁπότε προσπίπτοιεν ἀλλοῖαι φαντασίαι, ἑκατέρας ἐροῦμεν φαίνεσθαι· καὶ διὰ τοῦτο τὰ φαινόμενα τιθέναι ὅτι φαίνεται. τέλος δὲ οἱ σκεπτικοί φασι τὴν ἐποχήν, ᾗ σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία, ὥς φασιν οἵ τε περὶ τὸν Τίμωνα καὶ Αἰνεσίδημον. οὔτε γὰρ τάδε ἑλοίμεθα, ἢ ταῦτα φευξοίμεθα ὅσα περὶ ἡμᾶς ἐστι. τὰ δὲ ὅσα περὶ ἡμᾶς οὐκ ἔστιν, ἀλλὰ κατ' ἀνάγκην, οὐ δυνάμεθα φεύγειν· ὡς τὸ πεινῆν, διψῆν, ἀλγεῖν· οὐκ ἔστι γὰρ λόγῳ περιελεῖν ταῦτα. λεγόντων δὲ τῶν δογματικῶν ὡς δυνήσεται βιοῦν ὁ σκεπτικὸς μὴ φεύγων τό, εἰ κελευσθείη, κρεουργεῖν τὸν πατέρα· φασὶν οἱ σκεπτικοὶ περὶ τῶν δογματικῶν, πῶς δυνήσεται βιοῦν ζητήσεων ἀπέχων, οὐ περὶ τῶν βιωτικῶν καὶ τηρητικῶν. ὥστε καὶ αἱρούμεθά τι κατὰ τὴν συνήθειαν καὶ φεύγομεν, καὶ νόμοις χρώμεθα. τινὲς δέ, καὶ τὴν ἀπάθειαν· ἄλλοι δὲ τὴν πραότητα τέλος εἰπεῖν φασι τοὺς σκεπτικούς.

## ΤΙΜΩΝ.

Σίμων Ἀπολλωνίδης ὁ Νικαεύς, ὁ παρ' ἡμῶν, ἐν τῷ πρώτῳ τῶν εἰς τοὺς Σίλλους ὑπομνημάτων, ἃ προσφωνεῖ Τιβερίῳ Καίσαρι, φησὶ τὸν Τίμωνα εἶναι παῖδα μὲν Τιμάρχου, Φλιάσιον δὲ τὸ γένος· νέον δὲ καταλειφθέντα χορεύειν, ἔπειτα καταγνόντα, ἀποδημῆσαι εἰς Μέγαρα πρὸς Σπίλπωνα· κἀκείνῳ συνδιατρίψαντα, αὖθις ἐπανελθεῖν οἴκαδε καὶ γῆμαι. εἶτα πρὸς Πύρρωνα εἰς Ἦλιν ἀποδημῆσαι μετὰ γυναικός, κἀκεῖ διατρίβειν, ἕως αὐτῷ παῖδες ἐγένοντο· ὧν τὸν μὲν πρεσβύτερον, Ξάνθον ἐκάλεσε, καὶ ἰατρικὴν ἐδίδαξε, καὶ διάδοχον τοῦ βίου κατέλιπε. ὁ δὲ ἐλλόγιμος ἦν, ὡς καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ φησίν.

πορῶν μέντοι τροφῶν, ἀπῆρεν εἰς τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα· ἐν Χαλκηδόνι τε σοφιστεύων ἐπὶ πλέον ἀποδοχῆς ἠξιώθη. ἐντεῦθεν τε περιστάμενος, ἀπῆρεν εἰς Ἀθήνας· κἀκεῖ διέτριβε μέχρι καὶ τελευτῆς, ὀλίγον χρόνον εἰς Θήβας διαδραμών. ἐγνώσθη δὲ καὶ Ἀντιγόνῳ τῷ βασιλεῖ καὶ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ὡς αὐτὸς ἐν τοῖς ἰάμβοις ὑπομαρτυρεῖ. ἦν δὲ (φησὶν Ἀντίγονος) καὶ φιλοπότης, καὶ ἀπὸ τῶν φιλοσόφων ἐσχόλαζε. καὶ γὰρ ποιήματα συνέγραφε, καὶ ἔπη, καὶ τραγῳδίας, καὶ σατύρους, καὶ δράματα κωμικὰ τριάκοντα, τραγικὰ δὲ ἑξήκοντα, Σίλλους τε καὶ κιναίδους. φέρεται δὲ αὐτοῦ καὶ καταλογάδην βιβλία, εἰς ἐπῶν τείνοντα μυριάδας δύο, ὧν καὶ Ἀντίγονος ὁ Καρύστιος μέμνηται, ἀναγράφων αὐτοῦ καὶ αὐτὸς τὸν βίον. τῶν Σίλλων τρία ἐστὶν· ἐν οἷς, ὡς ἂν σκεπτικὸς ὤν, πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικούς, ἐν παρῳδίας εἴδει. ὧν τὸ μὲν πρῶτον αὐτοδιήγητον ἔχει τὴν ἑρμηνείαν· τὸ δὲ δεύτερον καὶ τρίτον ἐν διαλόγου σχήματι. φαίνεται γοῦν ἀνακρίνων Ξενοφάνην τὸν Κολοφώνιον περὶ ἑκάστων· ὁ δὲ, αὐτῷ διηγούμενός ἐστι. καὶ ἐν μὲν τῷ δευτέρῳ, περὶ τῶν ἀρχαιοτέρων· ἐν δὲ τῷ τρίτῳ, περὶ τῶν ὑστέρων. ὅθεν δὴ αὐτῷ τινὲς καὶ ἐπίλογον ἐπέγραψαν. τὸ δὲ πρῶτον ταῦτα περιέχει πράγματα, πλὴν ὅτι μονοπρόσωπός ἐστιν ἡ ποίησις. ἀρχὴ δὲ αὐτῷ ἥδε,

Ἔσπετε νῦν μοι ὅσοι πολυπράγμονες ἐστὲ σοφισταί.

τελεύτησε δὲ ἐγγὺς ἐτῶν ἐνενήκοντα, ὥς φησιν ὁ Ἀντίγονος καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ. τοῦτον ἐγὼ καὶ ἑτερόφθαλμον ἤκουσα, ἐπεὶ καὶ αὐτὸς αὑτὸν Κύκλωπα ἐκάλει. γέγονε δὲ καὶ ἕτερος Τίμων, ὁ μισάνθρωπος. ὁ δ᾽ οὖν φιλόσοφος, καὶ φιλόκηπος ἦν σφόδρα καὶ ἰδιοπράγμων, ὡς καὶ Ἀντίγονός φησι. λόγος γοῦν εἰπεῖν Ἱερώνυμον τὸν περιπατητικὸν ἐπ᾽ αὐτοῦ, ὡς παρὰ τοῖς Σκύθαις καὶ οἱ φεύγοντες τοξεύουσι καὶ οἱ διώκοντες· οὕτω τῶν φιλοσόφων οἱ μὲν διώκοντες

θηρῶσι τοὺς μαθητάς, οἱ δὲ, φεύγοντες, καθάπερ καὶ ὁ Τίμων. ἦν δὲ καὶ ἱξὺς νοῆσαι, καὶ διαμυκτηρίσαι φιλογράμματός τε, καὶ τοῖς ποιηταῖς μύθους γράψαι ἱκανὸς, καὶ δράματα συνδιαθεῖναι. μετεδίδου δὲ τῶν τραγῳδιῶν Ἀλεξάνδρῳ καὶ Ὁμήρῳ. θορυβούμενός τε ὑπὸ τῶν θεραπαινῶν καὶ κυνῶν, ἐποίει μηδὲν, σπουδάζων περὶ τὸ ἠρέμα ζῆν. φασὶ δὲ καὶ Ἄρατον πυθέσθαι αὐτοῦ πῶς τὴν Ὁμήρου ποίησιν ἀσφαλῶς κτήσαιτο. τὸν δὲ εἰπεῖν, Εἰ τοῖς ἀρχαίοις ἀντιγράφοις ἐντυγχάνοι, καὶ μὴ τοῖς ἤδη διωρθωμένοις. εἰκῆ τε αὐτῷ ἔκειτο τὰ ποιήματα, ἐνίοτε ἡμίβρωτα. ὥστε καὶ Ζωπύρῳ τῷ ῥήτορι ἀναγινώσκοντα ἐπιτυλίττειν, καὶ κατὰ τὸ ἐπελθὸν διεξιέναι. ἐλθόντα τε ἐφ' ἡμισείας, οὕτως εὑρεῖν τὸ ἀπόσπασμα, τέως ἀγνοοῦντα. τοσοῦτον ἦν ἀδιάφορος. ἀλλὰ καὶ εὔρους, ὡς μηδὲ ἀριστᾶν συγχωρεῖν. φασὶ δὲ αὐτὸν Ἀρκεσίλαον θεασάμενον διὰ τῶν Κερκώπων ἰόντα, εἰπεῖν, Τί σὺ δεῦρο, ἔνθαπερ ἡμεῖς οἱ ἐλεύθεροι; συνεχές τε ἐπιλέγειν εἰώθει πρὸς τοὺς τὰς αἰσθήσεις μετ' ἐπιμαρτυροῦντος τοῦ νοῦ ἐγκρίνοντας, Συνῆλθεν Ἀτταγᾶς τε καὶ Νουμήνιος. εἰώθει δὲ καὶ παίζειν τοιαῦτα. πρὸς οὖν τὸν θαυμάζοντα πάντα ἔφη, Τί δ' οὐ θαυμάζεις ὅτι τρεῖς ὄντες τέτταρας ἔχομεν ὀφθαλμούς. ἦν δὲ αὐτὸς ἑτερόφθαλμος, καὶ ὁ Διοσκουρίδης μαθητὴς αὐτοῦ καὶ ὁ πρὸς ὃν ἔλεγεν, ὑγιής. ἐρωτηθεὶς δέ ποτε ὑπὸ Ἀρκεσιλάου διὰ τί παρείη ἐκ Θηβῶν ἔφη, Ἵνα ὑμᾶς ἀναπεπταμένους ὁρῶν γελῶ. ὅμως δὲ καθαπτόμενος Ἀρκεσιλάου ἐν τοῖς Σίλλοις ἐπῄνεσεν τῷ ἐπιγραφομένῳ Ἀρκεσιλάου περιδείπνῳ. τούτου διάδοχος (ὡς μὲν Μηνόδοτός φησι) γέγονεν οὐδείς· ἀλλὰ διέλιπεν ἡ ἀγωγὴ, ἕως αὐτὴν Πτολεμαῖος ὁ Κυρηναῖος ἀνεκτήσατο· ὡς δὲ Ἱππόβοτός φησι καὶ Σωτίων, διήκουσαν αὐτοῦ Διοσκουρίδης Κύπριος καὶ Νικόλοχος Ῥόδιος, καὶ Εὐφράνωρ Σελευκεύς, Πραΰλος τε ἀπὸ Τρωάδος. ὃς οὕτω καρτερικὸς ἐγένετο, (καθά φησι Φύλαρχος ἱστορῶν) ὥστε ἀδίκως

ὑπομεῖναι ὡς ἐπὶ προδοσίᾳ κολασθῆναι, μηδὲ λόγου τοὺς πολίτας καταξιώσας. Εὐφράνορος δὲ διήκουσεν Εὔβουλος Ἀλεξανδρεύς· οὗ Πτολεμαῖος, οὗ Σαρπηδὼν, καὶ Ἡρακλείδης. Ἡρακλείδου δὲ Αἰνεσίδημος Κνώσσιος, ὃς καὶ Πυρρωνείων λόγων ὀκτὼ συνέγραψε βιβλία· οὗ Ζεύξιππος ὁ Πολίτης, οὗ Ζεῦξις ὁ Γωνιόπους, οὗ Ἀντίγονος Λαοδικεὺς ἀπὸ Λύκου. τούτου δὲ Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός, καὶ Θειώδας Λαοδικεύς. Μηνοδότου δὲ, Ἡρόδοτος Ἀρείως Ταρσεύς· Ἡροδότου δὲ διήκουσε Σέξτος ὁ ἐμπειρικός, οὗ καὶ τὰ δέκα τῶν σκεπτικῶν, καὶ ἄλλα κάλλιστα. Σέξτου δὲ διήκουσε Σατορνῖνος ὁ Κυθηνᾶς, ἐμπειρικὸς καὶ αὐτός.

# ΔΙΟΓΕ'ΝΟΥΣ ΛΑΕΡτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, ΒΙΒΛΙΟΝ ιʹ τὸ τ.

## ἘΠΊΚΟΥΡΟΣ.

ἘΠΊΚΟΥΡΟΣ Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, τὸν δῆμον Γαργήττιος, γένους τοῦ τῶν Φιλαϊδῶν, ὥς φησι Μητρόδωρος ἐν τῷ περὶ εὐγενείας. τοῦτόν φασιν ἄλλοι τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ, κληρουχησάντων Ἀθηναίων τὴν Σάμον, ἐκεῖ τραφῆναι. ὀκτωκαίδεκα ἔτη δ' ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν Ἀκαδημίᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος. τελευτήσαντος Ἀλεξάνδρου τοῦ Μακεδόνος, καὶ τῶν Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκου, μετελθεῖν εἰς Κολοφῶνα πρὸς τὸν πατέρα. χρόνον δέ τινα διατρίψαντα αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα, πάλιν ἐπανελθεῖν εἰς Ἀθήνας, ἐπὶ Ἀναξικράτους· καὶ μέχρι μέν τινος κατ' ἐπιμιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ πως τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσαντα. ἐφάψασθαί τε φιλοσοφίας αὐτός φησιν, ἔτη γεγονὼς τέτταρα καὶ δέκα. Ἀπολλόδωρος δ' Ἐπικούρειος ἐν τῷ πρώτῳ περὶ τοῦ Ἐπικούρου βίου, φησὶν ἐλθεῖν αὐτὸν ἐπὶ φιλοσοφίαν καταγνόντα τῶν σοφιστῶν καὶ γραμματιστῶν, ἐπειδὴ μὴ ἐδυνήθησαν ἑρμηνεῦσαι αὐτῷ

τὰ περὶ

τὰ περὶ τοῦ παρ' Ἡσιόδῳ χάους. φησὶ δ' Ἕρμιππος γραμματοδιδάσκαλον αὐτὸν γεγενῆσθαι· ἔπειτα μέντοι περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις, ἐπὶ φιλοσοφίαν ᾆξαι. διὸ καὶ τὸν Τίμωνα φάσκειν περὶ αὐτοῦ,

Ὕστατος αὖ φυσικῶν καὶ κύντατος ἐκ Σάμου ἐλθὼν,
Γραμμοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

συνεφιλοσόφουν δ' αὐτῷ προτρεψαμένῳ καὶ οἱ ἀδελφοὶ τρεῖς ὄντες, Νεοκλῆς, Χαιρέδημος, Ἀριστόβουλος· καθά φησι Φιλόδημος ὁ Ἐπικούρειος ἐν τῷ δεκάτῳ τῆς τῶν φιλοσόφων συντάξεως. ἀλλὰ καὶ δοῦλος Μῦς ὄνομα, καθά φησι Μυρωνιανὸς ἐν τοῖς ἱστορικοῖς κεφαλαίοις. Διότιμος δ' ὁ Στωϊκὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν, πικρότατα αὐτὸν διαβέβληκεν, ἐπιστολὰς φέρων πεντήκοντα ἀσελγεῖς, ὡς Ἐπικούρου· καὶ τὰ εἰς Χρύσιππον ἀναφερόμενα ἐπιστόλια, ὡς Ἐπικούρου συντάξας. ἀλλὰ καὶ οἱ περὶ Ποσειδώνιον τὸν Στωϊκὸν, καὶ Νικόλαος, καὶ Σωτίων ἐν τοῖς δώδεκα τῶν ἐπιγραφομένων Διοκλείων ἐλέγχων, ἅ ἐστι περὶ τῆς κδ̄ · καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς. καὶ γὰρ σὺν τῇ μητρὶ περιιόντα αὐτὸν ἐς τὰ οἰκίδια, καθαρμοὺς ἀναγινώσκειν· καὶ σὺν τῷ πατρὶ γράμματα διδάσκειν λυπροῦ τινος μισθαρίου. ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν, Λεοντίᾳ τε συνεῖναι τῇ ἑταίρᾳ. τὰ δὲ Δημοκρίτου περὶ τῶν ἀτόμων, καὶ Ἀριστίππου περὶ τῆς ἡδονῆς, ὡς ἴδια λέγειν. μὴ εἶναί τε γνησίως ἀστὸν, ὡς Τιμοκράτης φησὶ καὶ Ἡρόδοτος ἐν τῷ περὶ Ἐπικούρου ἐφηβείας. Μίθρην τε αἰσχρῶς κολακεύειν τὸν Λυσιμάχου διοικητὴν, ἐν ταῖς ἐπιστολαῖς Παιᾶνα καὶ ἄνακτα καλοῦντα. ἀλλὰ καὶ Ἰδομενέα καὶ Ἡρόδοτον καὶ Τιμοκράτην, τοὺς ἔκπυστα αὐτοῦ τὰ κρύφια ποιήσαντας, ἐγκωμιάζειν καὶ κολακεύειν αὐτῷ τούτῳ. ἔν τε ταῖς ἐπιστολαῖς, πρὸς μὲν Λεοντίαν, Παιὰν ἄναξ, φίλον Λεοντάριον, οἵου κροτοθορύβου ἡμᾶς ἐνέπλησεν ἀναγνόντας σου τὸ ἐπιστόλιον. πρὸς δὲ Θε-

μίσαν τὴν Λέοντος γυναῖκα, Οἷός τε (φησὶν) εἰμί, ἐὰν μὴ ὑμεῖς πρός με ἀφίκησθε, αὐτὸς τρικύλιστος ὅπου ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε ὠθεῖσθαι. πρὸς δὲ Πυθοκλέα ὡραῖον ὄντα, Καθεδοῦμαι (φησὶ) προσδοκῶν τὴν ἱμερτὴν καὶ ἰσόθεόν σου εἴσοδον. καὶ πάλιν πρὸς Θεμίσταν γράφων, νομίζει αὐτῇ παραινεῖν, καθά φησι Θεόδοτος, ὡς ἐν τῷ τετάρτῳ τῶν πρὸς Ἐπίκουρον. καὶ ἄλλαις δὲ πολλαῖς ἑτέραις γράφειν, καὶ μάλιστα Λεοντίᾳ, ἧς καὶ Μητρόδωρον ἐρασθῆναι. ἔν τε τῷ περὶ τέλους γράφειν οὕτως, Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, καὶ τὰς δι' ἀκροαμάτων, καὶ τὰς διὰ μορφάς. ἔν τε τῇ πρὸς Πυθοκλέα ἐπιστολῇ γράφειν, Παιδείαν δὲ πᾶσαν μακάριοι φεύγετε. Ἐπίκτητός τε κιναιδολόγον αὐτὸν καλεῖ, καὶ τὰ μάλιστα λοιδορεῖ. καὶ μὴν καὶ Τιμοκράτης ἐν τοῖς ἐπιγραφομένοις Εὐφραντοῖς, ὁ Μητροδώρου μὲν ἀδελφός, μαθητὴς δὲ αὐτοῦ τῆς σχολῆς ἐκφοιτήσας, φησὶν αὐτὸν δὶς τῆς ἡμέρας ἐμεῖν ἀπὸ τρυφῆς. ἑαυτόν τε διηγεῖται μόγις ἐκφυγεῖν ἰσχῦσαι τὰς νυκτερινὰς ἐκείνας φιλοσοφίας, καὶ τὴν μυστικὴν ἐκείνην συναγωγήν. τόν τε Ἐπίκουρον πολλὰ κατὰ τὸν λόγον ἠγνοηκέναι, καὶ πολὺ μᾶλλον κατὰ τὸν βίον, τό,τε σῶμα ἐλεεινῶς διακεῖσθαι, ὡς πολλῶν ἐτῶν μὴ δύνασθαι ἀπὸ τοῦ φορείου διαναστῆναι· μνᾶν τε ἀναλίσκειν ἡμερησίαν εἰς τὴν τράπεζαν, ὡς αὐτὸς ἐν τῇ πρὸς Λεόντιον ἐπιστολῇ γράφει, καὶ ἐν ταῖς πρὸς τοὺς ἐν Μιτυλήνῃ φιλοσόφους. συνεῖναί τε αὐτῷ τε καὶ Μητροδώρῳ ἑταίρας καὶ ἄλλας Μαρμάριον καὶ Ἡδεῖαν, καὶ Ἐρώτιον, καὶ Νικίδιον. καὶ ἐν ταῖς ἑπτὰ καὶ τριάκοντα βίβλοις ταῖς περὶ φύσεως, τὰ πλεῖστα ταὐτὰ λέγειν καὶ ἀντιγράφειν ἐν αὐταῖς ἄλλαις τε καὶ Ναυσιφάνει τὰ πλεῖστα, καὶ αὐτῇ λέξει φάσκειν οὕτως, Ἀλλ' εἴ τις ἄλλος εἶχε, κἀκεῖνος, ὠδίνων τὴν ἀπὸ τοῦ στόματος καύχησιν τὴν σοφιστικήν, καθάπερ καὶ ἄλλοι πολλοὶ τῶν ἀνδραπόδων. καὶ αὐτὸν Ἐπίκουρον ἐν

τῇ ἐπιστολαῖς περὶ Ναυσιφάνους λέγειν ταῦτα. ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην ὥστε μὴ λοιδορεῖσθαι, καὶ ἀποκαλεῖν διδάσκαλον. πλεύμονά τε αὐτὸν ἐκάλει, καὶ ἀγράμματον, καὶ ἀπατεῶνα, καὶ πόρνον· τούς τε περὶ Πλάτωνα, Διονυσοκόλακας, καὶ αὐτὸν Πλάτωνα, χρυσοῦν· ὃ Ἀριστοτέλην, ἄσωτον, καταφαγόντα τὴν πατρῴαν οὐσίαν, στρατεύεσθαι καὶ φαρμακοπωλεῖν· φορμοφόρον τε Πρωταγόραν, καὶ γραφέα Δημόκριτον, καὶ ἐν κώμαις γράμματα διδάσκειν· Ἡράκλειτόν τε, κυκητήν· καὶ Δημόκριτον, Ληρόκριτον· καὶ Ἀντίδωρον, Σαννίδωρον· τούς τε Κυζικηνούς, ἐχθροὺς τῆς Ἑλλάδος· καὶ τοὺς διαλεκτικούς, πολυφθόνερους· Πύῤῥωνα δὲ, ἀμαθῆ καὶ ἀπαίδευτον. μεμήνασι δὲ οὗτοι. τοῦ γὰρ ἀνδρὸς μάρτυρες ἱκανοὶ τῆς ἀνυπερβλήτου πρὸς πάντας εὐγνωμοσύνης, ἥ τε πατρὶς χαλκαῖς εἰκόσι τιμήσασα, οἵ τε φίλοι, τοσοῦτοι τὸ πλῆθος ὡς μηδ' ἂν πόλεσιν ὅλαις μετρεῖσθαι δύνασθαι. οἵ τε γνώριμοι πάντες, ταῖς δογματικαῖς αὐτοῦ σειρῆσι προσκατασχεθέντες, πλὴν Μητροδώρου τοῦ Στρατονικέως πρὸς Καρνεάδην ἀποχωρήσαντος, τάχα βαρυνθέντος ταῖς ἀνυπερβλήτοις αὐτοῦ χρηστότησιν· ἥτε διαδοχὴ, πασῶν σχεδὸν ἐκλιπουσῶν τῶν ἄλλων, ἐσαεὶ διαμένουσα, καὶ ἀνηρίθμους ἀρχὰς ἀπολύουσα ἄλλην ἐξ ἄλλης τῶν γνωρίμων· ἥ τε πρὸς τοὺς γονέας εὐχαριστία, καὶ ἡ πρὸς τοὺς ἀδελφοὺς εὐποιΐα, πρός τε τοὺς οἰκέτας ἡμερότης, ὡς δῆλον κἀκ τῶν διαθηκῶν αὐτοῦ· καὶ ὅτι αὐτοὶ συνεφιλοσόφουν αὐτῷ, ὧν ἦν ἐνδοξότατος ὁ προειρημένος Μῦς. καθόλου δὲ ἡ πρὸς πάντας αὐτοῦ φιλανθρωπία. τῆς μὲν γὰρ πρὸς θεοὺς ὁσιότητος καὶ πρὸς πατρίδα φιλίας ἄλεκτος ἡ διάθεσις. ὑπερβολῇ γὰρ ἐπιεικείας, οὐδὲ πολιτείας ἥψατο· καὶ χαλεπωτάτων δὲ καιρῶν κατασχόντων τηνικαῦτα τὴν Ἑλλάδα, αὐτόθι καταβιῶναι, δὶς ἢ καὶ τρὶς τοὺς περὶ τὴν Ἰωνίαν τόπους διαδραμόντα πρὸς τοὺς φίλους, οἳ καὶ

πανταχόθεν πρὸς αὐτὸν ἀφικνοῦντο, καὶ συνεβίουν αὐτῷ ἐν τῷ κήπῳ, καθά φησι καὶ Ἀπολλόδωρος· ὃν καὶ ὀγδοήκοντα μνῶν πρίασθαι. Διοκλῆς δὲ ἐν τῇ τρίτῃ τῆς ἐπιδρομῆς φησὶν εὐτελέστατα καὶ λιτότατα διαιτώμενοι. κοτύλῃ γοῦν (φησὶν) οἰνιδίου ἠρκοῦντο· τὸ δὲ πᾶν ὕδωρ ἦν αὐτοῖς ποτόν. τόν τε Ἐπίκουρον μὴ ἀξιοῦν εἰς τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, καθάπερ τὸν Πυθαγόραν, κοινὰ τὰ φίλων λέγοντα. ἀπιστούντων γὰρ εἶναι τὸ τοιοῦτον· εἰ δ᾽ ἀπίστων, οὐδὲ φίλων. αὐτός τέ φησιν ἐν ταῖς ἐπιστολαῖς, ὕδατι μόνον ἀρκεῖσθαι, καὶ ἄρτῳ λιτῷ. Καὶ πέμψον μοι τυροῦ (φησὶ) κυθρίδιον, ἵν᾽ ὅταν βούλωμαι πολυτελέσασθαι δύνωμαι. τοιοῦτος ἦν ὁ τὴν ἡδονὴν εἶναι τέλος δογματίζων. ὃν καὶ Ἀθήναιος δι᾽ ἐπιγράμματος οὕτως ὑμνεῖ,

Ἄνθρωποι μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος
Ἄπληστον νεικέων ἄρχετε καὶ πολέμων;
Τᾶς φύσιος δ᾽ ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει·
Αἱ δὲ κεναὶ κρίσιες, τὰν ἀπέραντον ὁδόν.
Τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσῶν
Ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

εἰσόμεθα δὲ καὶ μᾶλλον προϊόντες, ἔκ τε τῶν δογμάτων ἔκ τε τῶν ῥημάτων αὐτοῦ. μάλιστα δὲ ἀπεδέχετο (φησὶ Διοκλῆς) τὸν ἀρχαῖον Ἀναξαγόραν, (καίτοι ἔν τισιν ἀντειρηκὼς αὐτῷ) καὶ Ἀρχέλαον τὸν Σωκράτους διδάσκαλον. ἐγύμναζε δὲ (φησὶ) τοὺς γνωρίμους, καὶ διὰ μνήμης ἔχειν τὰ ἑαυτοῦ συγγράμματα. τοῦτον Ἀπολλόδωρος ἐν χρονικοῖς Ναυσιφάνοις ἀκοῦσαι φησὶ καὶ Πραξιφάνοις· αὐτὸς δὲ οὔ φησιν, ἀλλ᾽ ἑαυτοῦ, ἐν τῇ πρὸς Εὐρύδικον ἐπιστολῇ. ἀλλ᾽ οὐδὲ Λεύκιππόν τινα γεγενῆσθαι φιλόσοφον, οὔτ᾽ αὐτὸς, οὔτε Ἕρμαρχος. ὃν ἔνιοι φασὶ, καὶ Ἀπολλόδωρος ὁ Ἐπικούρειος, διδάσκαλον Δημοκρίτου γεγενῆσθαι. Δημήτριος δέ φησιν ὁ Μάγνης, καὶ Ξενοκράτους αὐτὸν ἀκοῦσαι. κέχρηται δὲ λέξει κυρίᾳ κατὰ τῶν πραγμάτων, ἣν, ὅτι ἰδιωτάτη

ἐστὶν, Ἀριστοφάνης ὁ γραμματικὸς αἰτιᾶται. σαφὴς δ' ἦν οὕτως, ὡς καὶ ἐν τῷ περὶ τῆς ῥητορικῆς ἀξιοῖ μηδὲν ἄλλο ἢ σαφήνειαν ἀπαιτεῖν. καὶ ἐν ταῖς ἐπιστολαῖς ἀντὶ τοῦ Χαίρειν, Εὖ πράττειν· καὶ, Σπουδαίως ζῆν ἄριστον. οἱ δέ φασιν ἐν τῷ Ἐπικούρου βίῳ τὸν κανόνα γράψαι αὐτὸν ἐκ τοῦ Ναυσιφάνους τρίποδος, οὗ καὶ ἀκοῦσαι φησὶν αὐτόν. ἀλλὰ καὶ Παμφίλου τοῦ Πλατωνικοῦ ἐν Σάμῳ. ἄρξασθαί τε φιλοσοφεῖν ἐτῶν ὑπάρχοντα δυοκαίδεκα· ἀφηγήσασθαι δὲ τῆς σχολῆς, ἐτῶν ὄντα δύο πρὸς τοῖς τριάκοντα. ἐγεννήθη δὲ (φησὶν Ἀπολλόδωρος ἐν χρονικοῖς) κατὰ τὸ τρίτον ἔτος τῆς θ καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ Σωσιγένους ἄρχοντος, μηνὸς Γαμηλιῶνος ἑβδόμης, ἔτεσιν ὕστερον τῆς Πλάτωνος τελευτῆς ἑπτά. ὑπάρχοντα δὲ αὐτὸν ἐτῶν δύο καὶ τριάκοντα, ἐν Μιτυλήνῃ καὶ Λαμψάκῳ, πρῶτον συστήσασθαι σχολὴν ἐπὶ ἔτη πέντε· ἔπειθ' οὕτως εἰς Ἀθήνας μετελθεῖν, καὶ τελευτῆσαι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Πυθαράτου, ἔτη βιώσαντα δύο πρὸς τοῖς ἑβδομήκοντα· τήν τε σχολὴν διαδέξασθαι Ἕρμαχον Ἀγεμάρχου Μιτυληναῖον. τελευτῆσαι δ' αὐτὸν λίθῳ τῶν οὔρων ἐπισχεθέντων, (ὥς φησι καὶ Ἕρμαχος ἐν ἐπιστολαῖς) ἡμέρας νοσήσαντα τετταρεσκαίδεκα. ὅτε καί φησιν Ἕρμιππος ἐμβάντα αὐτὸν εἰς πύελον χαλκῆν, κεκραμένην ὕδατι θερμῷ, καὶ αἰτήσαντα ἄκρατον ῥοφῆσαι· τοῖς τε φίλοις παραγγείλαντα τῶν δογμάτων μεμνῆσθαι, οὕτω τελευτῆσαι. καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτω,

Χαίρετε, καὶ μέμνησθε τὰ δόγματα. τοῦτ' Ἐπίκουρος
 Ὕστατον εἶπε φίλοις οἷσιν ἀποφθίμενος.
Θερμὴν ἐς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρατον
 Ἔσπασεν, εἶτ' αἴδην ψυχρὸν ἐπεσπάσατο.

οὗτος μὲν ὁ βίος τἀνδρὸς, ἥδε δ' ἡ τελευτή. καὶ διέθετο ὧδε· Κατὰ τάδε δίδωμι τὰ ἐμαυτοῦ πάντα Ἀμυνομάχῳ

Φιλοκράτους Βατῆθεν, καὶ Τιμοκράτει Δημητρίου Ποταμίῳ, κατὰ τὴν ἐν τῷ Μητρῴῳ ἀναγεγραμμένην ἑκατέρῳ δόσιν, ἐφ' ᾧ τε τὸν μὲν κῆπον καὶ τὰ προσόντα αὐτῷ παρέξουσιν Ἑρμάχῳ Ἀγεμόρχου Μιτυληναίῳ, καὶ τοῖς συμφιλοσοφοῦσιν αὐτῷ, καὶ οἷς ἂν Ἕρμαχος καταλίπῃ διαδόχοις τῆς φιλοσοφίας, ἐνδιατρίβειν κατὰ φιλοσοφίαν. καὶ ἀεὶ δὲ τοῖς φιλοσοφοῦσιν ἀπὸ ἡμῶν, ὅπως ἂν συνδιασώσωσιν Ἀμυνομάχῳ καὶ Τιμοκράτει κατὰ τὸ δυνατὸν τὴν ἐν τῷ κήπῳ διατριβὴν, παρακατατίθεμαι· τοῖς τ' αὐτῶν κληρονόμοις, ἐν ᾧ ἂν τρόπῳ ἀσφαλέστατον ᾖ, ὅπως ἂν κἀκεῖνοι διατηροῖεν τὸν κῆπον, καθάπερ καὶ αὐτοὶ, οἷς ἂν οἱ ἀπὸ ἡμῶν φιλοσοφοῦντες παραδιδῶσι. τὴν δὲ οἰκίαν τὴν ἐν Μελίτῃ παρεχέτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐνοικεῖν Ἑρμάχῳ καὶ τοῖς μετ' αὐτοῦ φιλοσοφοῦσιν, ἕως ἂν Ἕρμαχος ζῇ. ἐκ δὲ τῶν γινομένων προσόδων τῶν δεδομένων ἀφ' ἡμῶν Ἀμυνομάχῳ καὶ Τιμοκράτει, κατὰ τὸ δυνατὸν μεριζέσθωσαν μεθ' Ἑρμάχου σκοπούμενοι, εἴς τε τὰ ἐναγίσματα τῷ τε πατρὶ καὶ τῇ μητρὶ, καὶ τοῖς ἀδελφοῖς, καὶ ἡμῖν εἰς τὴν εἰθισμένην ἄγεσθαι γενέθλιον ἡμέραν, ἑκάστου ἔτους τῇ προτέρᾳ δεκάτῃ τοῦ Γαμηλιῶνος. ὥστε καὶ εἰς τὴν γινομένην σύνοδον ἑκάστου μηνὸς ταῖς εἰκάσι, τῶν συμφιλοσοφούντων ἡμῖν, εἰς τὴν ἡμῶν τε καὶ Μητροδώρου κατατεταγμένην. συντελείτωσαν δὲ καὶ τὴν τῶν ἀδελφῶν ἡμέραν τοῦ Ποσειδεῶνος, καθάπερ καὶ ἡμεῖς. συντελείτωσαν δὲ καὶ τὴν Πολυαίνου, τοῦ Μεταγειτνιῶνος. ἐπιμελείσθω δὲ καὶ Ἀμυνόμαχος καὶ Τιμοκράτης τοῦ υἱοῦ τοῦ Μητροδώρου Ἐπικούρου, καὶ τοῦ υἱοῦ τοῦ Πολυαίνου, φιλοσοφούντων αὐτῶν, καὶ συζώντων μεθ' Ἑρμάχου. ὡσαύτως δὲ τῆς θυγατρὸς τῆς Μητροδώρου τὴν ἐπιμέλειαν ποιείσθωσαν· καὶ εἰς ἡλικίαν ἐλθοῦσαν ἐκδότωσαν ᾧ ἂν Ἕρμαχος ἕληται τῶν φιλοσοφούντων μετ' αὐτοῦ, οὔσης αὐτῆς εὐτάκτου, καὶ πει-

ὑπαρχούσης Ἑρμάχῳ. διδότωσαν δὲ Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐκ τῶν ὑπαρχουσῶν ἡμῖν προσόδων, εἰς σοφίαν τούτοις, ὅ,τι ἂν αὐτοῖς κατ' ἐνιαυτὸν ἐπιδέχεσθαι δοκῇ, σκοπούμενοις μεθ' Ἑρμάχου. ποιείσθωσαν δὲ μεθ' ἑαυτῶν καὶ Ἕρμαχον κύριον τῶν προσόδων, ἵνα μετὰ τοῦ συγκαταγεγηρακότος ἡμῖν ἐν φιλοσοφίᾳ, καὶ καταλελειμμένου ἡγεμόνος τῶν συμφιλοσοφούντων ἡμῖν, ἕκαστα γένηται. τὴν δὲ προῖκα τῷ θήλει παιδίῳ, ἐπειδὰν εἰς ἡλικίαν ἔλθῃ, μεριζέτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης, ὅσον ἂν ἐπιδέχηται ἀπὸ τῶν ὑπαρχόντων ἀφαιροῦντες μετὰ τῆς Ἑρμάχου γνώμης. ἐπιμελείσθωσαν δὲ καὶ Νικάνορος, καθάπερ καὶ ἡμεῖς, ἵν' ὅσοι τῶν συμφιλοσοφούντων ἡμῖν χρείαν ἐν τοῖς ἰδίοις παρεσχημένοι, καὶ τὴν πᾶσαν οἰκειότητα ἐνδεδειγμένοι, συγκαταγηράσκειν μεθ' ἡμῶν προείλοντο ἐν φιλοσοφίᾳ, μηδενὸς τῶν ἀναγκαίων ἐνδεεῖς καθεστήκωσιν ἐπὶ τὴν ἡμετέραν δύναμιν. δοῦναι δὲ τὰ βιβλία τὰ ὑπάρχοντα ἡμῖν πάντα, Ἑρμάχῳ. ἐὰν δέ τι τῶν ἀνθρωπίνων περὶ Ἕρμαχον γίνηται, πρὸ τοῦ τὰ Μητροδώρου παιδία εἰς ἡλικίαν ἐλθεῖν, δοῦναι Ἀμυνόμαχον καὶ Τιμοκράτην, ὅπως ἂν εὐτακτούντων αὐτῶν ἕκαστα γίνηται τῶν ἀναγκαίων, κατὰ τὸ δυνατὸν, ἀπὸ τῶν καταλελειμμένων ὑφ' ἡμῶν προσόδων. καὶ τῶν λοιπῶν ἁπάντων ὧν συντετάχαμεν ἐπιμελείσθωσαν, ὅπως δὴ κατὰ τὸ ἐνδεχόμενον ἕκαστα γίγνηται. ἀφίημι δὲ τῶν παίδων ἐλεύθερον Μῦν, Νικίαν, Λύκωνα. ἀφίημι δὲ καὶ Φαίδριον ἐλευθέραν. ἤδη δὲ τελευτῶν γράφει πρὸς Ἰδομενέα τήνδε ἐπιστολήν, Τὴν μακαρίαν ἄγοντες καὶ ἅμα τελευτῶντες ἡμέραν τοῦ βίου, ἐγράφομεν ὑμῖν ταυτί. στραγγουρία τε παρηκολουθήκει, καὶ δυσεντερικὰ πάθη, ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους. ἀντιπαρετάττετο δὲ πᾶσι τούτοις τὸ κατὰ ψυχὴν χαῖρον ἐπὶ τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ. σὺ δὲ ἀξίως τῆς

ἐκ μειρακίου παραστάσεως πρὸς ἐμὲ καὶ φιλοσοφίαν, ἐπιμελοῦ τῶν παίδων Μητροδώρου. καὶ διέθετο μὲν ὧδε. μαθητὰς δ' ἔσχε πολλοὺς μὲν, σφόδρα δὲ ἐλλογίμους, Μητρόδωρον Ἀθηναῖον, καὶ Τιμοκράτην, καὶ Σάνδην Λαμψακηνόν· ὃς ἀφ' οὗ τὸν ἄνδρα ἔγνω, οὐκ ἀπέστη ἀπ' αὐτοῦ πλὴν ἐξ μηνῶν εἰς τὴν οἰκίαν· ἔπειτα ἐπανῆλθε. γέγονε δὲ ἀγαθὸς κατὰ πάντα, καθὰ καὶ Ἐπίκουρος ἐν προηγουμέναις γράφει· μαρτυρεῖ δὲ καὶ ἐν τῷ τρίτῳ Τιμοκράτης. τοιοῦτος δὲ ὢν, καὶ τὴν ἀδελφὴν Βατίδα ἐξέδοτο Ἰδομενεῖ, καὶ Λεόντιον τὴν Ἀττικὴν ἑταίραν ἀναλαβὼν, εἶχε παλλακήν. ἦν δὲ καὶ ἀκατάπληκτος πρός τε τὰς ὀχλήσεις καὶ τὸν θάνατον, ὡς Ἐπίκουρος ἐν τῷ πρώτῳ φησί. Μητρόδωρον δέ φασι καὶ πρὸ ἑπτὰ ἐτῶν αὐτοῦ τελευτῆσαι, πεντηκοστὸν τρίτον ἔτος ἄγοντος. καὶ αὐτὸς Ἐπίκουρος ἐν ταῖς προειρημέναις διαθήκαις, ὡς προαποθανόντος αὐτοῦ δηλονότι, ἐπισκήπτει περὶ τῆς ἐπιμελείας αὐτοῦ τῶν παίδων. ἔσχε δὲ καὶ τὸν προειρημένον εἰκαῖόν τινα ἀδελφὸν τοῦ Μητροδώρου Τιμοκράτην. βιβλία δ' ἐστὶ τοῦ Μητροδώρου τάδε· Πρὸς τοὺς ἰατροὺς, τρία· Περὶ αἰσθήσεων, πρὸς Τιμοκράτην, Περὶ μεγαλοψυχίας, Περὶ τῆς Ἐπικούρου ἀρρωστίας· Πρὸς τοὺς διαλεκτικούς· Πρὸς τοὺς σοφιστὰς, ἐννέα· Περὶ τῆς ἐπὶ σοφίαν πορείας, Περὶ τῆς μεταβολῆς, Περὶ πλούτου, πρὸς Δημόκριτον, Περὶ εὐγενείας. ἦν καὶ Πολύαινος Ἀθηνοδώρου Λαμψακηνὸς ἐπιεικὴς καὶ φιλικὸς, ὡς οἱ περὶ Φιλόδημόν φασι. καὶ ὁ διαδεξάμενος αὐτὸν Ἕρμαρχος Ἀγεμάρχου, Μιτυληναῖος ἀνὴρ, πατρὸς μὲν πένητος, τὰς δ' ἀρχὰς προσέχων ῥητορικοῖς. φέρεται καὶ τούτου βιβλία κάλλιστα τάδε· Ἐπιστολικὰ περὶ Ἐμπεδοκλέους, κβ΄· Περὶ τῶν μαθητῶν, πρὸς Πλάτωνα, πρὸς Ἀριστοτέλην. ἐτελεύτα δὲ παρὰ Λυσίᾳ, γινόμενος ἱκανὸς ἀνήρ. Λεοντεύς τε Λαμψακηνὸς ὁμοίως, καὶ ἡ τούτου γυνὴ Θεμίστα, πρὸς ἣν καὶ γέγραφεν ὁ Ἐπίκουρος. ἔτι

τε Κολώτης, καὶ Ἰδομενεὺς, καὶ αὐτοὶ Λαμψακηνοί. καὶ οὗτοι μὲν ἐλλόγιμοι, ὧν ἦν καὶ Πολίστρατος ὁ διαδεξάμενος Ἕρμαχον· ὃν διεδέξατο Διονύσιος, ὃν Βασιλίδης. καὶ Ἀπολλόδωρος δὲ ὁ Κηποτύραννος γέγονεν ἐλλόγιμος, ὃς ὑπὲρ τετρακόσια συνέγραψε βιβλία· δύο τε Πτολεμαῖοι Ἀλεξανδρεῖς, ὅ, τε Μέλας καὶ ὁ Λευκός· Ζήνων τε ὁ Σιδώνιος ἀκροατὴς Ἀπολλοδώρου, πολυγράφος ἀνήρ· καὶ Δημήτριος ὁ ἐπικληθεὶς Λάκων· Διογένης τε ὁ Ταρσεὺς, ὁ τὰς ἐπιλέκτους σχολὰς συγγράψας, καὶ Ὠρίων, καὶ ἄλλοι οὓς οἱ γνήσιοι Ἐπικούρειοι σοφιστὰς ἀποκαλοῦσιν. ἦσαν δὲ καὶ ἄλλοι Ἐπίκουροι τρεῖς, ὅ, τε Λεοντέως υἱὸς καὶ Θεμίστας· ἕτερος, Μάγνης· τέταρτος, ὁπλομάχος. γέγονε δὲ πολυγραφώτατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων. κύλινδροι μὲν γὰρ πρὸς τοὺς τριακοσίους εἰσί. γέγραπται δὲ μαρτύριον ἔξωθεν ἐν αὐτοῖς οὐδέν· ἀλλ' αὐταί εἰσιν Ἐπικούρου φωναί. ἐζήλου δὲ αὐτὸν Χρύσιππος ἐν πολυγραφίᾳ καθά φησι Καρνεάδης, παράσιτον αὐτὸν τῶν βιβλίων ἀποκαλῶν. εἰ γάρ τι γράψαι ὁ Ἐπίκουρος, φιλονεικεῖ τοσοῦτο γράψαι ὁ Χρύσιππος. καὶ διὰ τοῦτο καὶ πολλάκις ταὐτὰ γέγραφε· καὶ τὸ ἐπελθὸν καὶ ἀδιόρθωτον εἷλκε τῷ ἐπείγεσθαι. καὶ τὰ μαρτύρια τοσαῦτα ἐστὶν ὡς ἐκείνων μόνων γέμειν τὰ βιβλία· καθάπερ καὶ παρὰ Ζήνωνι ἐστὶν εὑρεῖν καὶ παρὰ Ἀριστοτέλει. καὶ τὰ συγγράμματα μὲν Ἐπικούρῳ τοσαῦτα καὶ τηλικαῦτα, ὧν τὰ βέλτιστα ἐστὶ τάδε· Περὶ φύσεως, λζ΄. Περὶ ἀτόμων καὶ κενοῦ, Περὶ ἔρωτος, Ἐπιτομὴ τῶν πρὸς τοὺς φυσικοὺς, Πρὸς τοὺς Μεγαρικοὺς διαπορίαι, Κύριαι δόξαι, Περὶ αἱρέσεων, Περὶ φυτῶν, Περὶ τέλους, Περὶ κριτηρίου, ἢ κανὼν, Χαιρέδημος, ἢ Περὶ θεῶν, Περὶ ὁσιότητος, ἢ Ἡγησιάναξ, Περὶ βίων δ΄· Περὶ δικαιοπραγίας, Νεοκλῆς πρὸς Θεμίσταν, Συμπόσιον, Εὐρύλοχος, Πρὸς Μητρόδωρον, Περὶ τοῦ ὁρᾶν, Περὶ τῆς ἐν τῇ ἀτόμῳ γωνίας, Περὶ ἁφῆς, Περὶ εἱμαρμένης,

Περὶ παθῶν δόξαι πρὸς Τιμοκράτην, Προγνωστικόν, Προτρεπτικός, Περὶ εἰδώλων, Περὶ φαντασίας, Ἀρισόβουλος, Περὶ μουσικῆς, Περὶ δικαιοσύνης, καὶ τῶν ἄλλων ἀρετῶν, Περὶ δώρων καὶ χάριτος, Πολυμήδης, Τιμοκράτης, γ΄. Μητρόδωρος, ε΄. Ἀντίδωρος, β΄. Περὶ νότων δόξαι, πρὸς Μίθρην, Καλλισόλας, Περὶ βασιλείας, Ἀναξιμένης, Ἐπισολαί. μίαν δὲ αὐτῶν, εἰ δοκεῖ, ἐκθέσθαι πειράσομαι, τρεῖς ἐπισολὰς αὐτοῦ παραθέμενος, ἐν αἷς πᾶσαν τὴν ἑαυτοῦ φιλοσοφίαν ἐπιτέμνει. θήσομαι δὲ καὶ τὰς κυρίας αὐτοῦ δόξας, καὶ εἴ τι ἔδοξεν ἐκλογῆς ἀξίως ἀνεφθέγχθαι. ὥς τέ σε πανταχόθεν καταμαθεῖν τὸν ἄνδρα, κἀμὲ κρίνειν, εἰ οἶδα κρίνειν. τὴν μὲν οὖν πρώτην ἐπισολὴν γράφει πρὸς Ἡρόδοτον, περὶ τῶν φυσικῶν· δευτέραν, πρὸς Πυθοκλέα, ἥτις ἐστὶ περὶ μεταρσίων· τὴν τρίτην, πρὸς Μενοικέα. ἔστιν δ᾽ ἐν αὐτῇ τὰ περὶ βίων. ἀρκτέον δὴ ἀπὸ τῆς πρώτης, ὀλίγα προειπόντα περὶ τῆς διαιρέσεως τῆς κατ᾽ αὐτὸν φιλοσοφίας. διαιρεῖται τοίνυν εἰς τρία· τό, τε κανονικόν, καὶ φυσικόν, καὶ ἠθικόν. τὸ μὲν οὖν κανονικὸν ἐφόδους ἐπὶ τὴν πραγματείαν ἔχει, καὶ ἔστιν ἐν ἑνὶ τῷ ἐπιγραφομένῳ κανών· τὸ δὲ φυσικόν, τὴν περὶ φύσεως θεωρίαν πᾶσαν, καὶ ἔστιν ἐν ταῖς περὶ φύσεως βιβλοις λζ΄, καὶ ταῖς ἐπισολαῖς κατὰ σοιχεῖον· τὸ δὲ ἠθικόν, τὰ περὶ αἱρέσεως καὶ φυγῆς. ἔστι δὲ καὶ ἐν ταῖς περὶ βίων βίβλοις, καὶ ἐπισολαῖς, καὶ τὸ περὶ τέλους. εἰώθασι μέντοι τὸ κανονικὸν ὁμοῦ τῷ φυσικῷ συντάττειν. καλοῦσι δὲ αὐτὸ Περὶ κριτηρίου καὶ ἀρχῆς, καὶ σοιχειωτικόν· τὸ δὲ φυσικόν, Περὶ γενέσεως, καὶ φθορᾶς, καὶ περὶ φύσεως· τὸ δὲ ἠθικόν, Περὶ αἱρετῶν καὶ φευκτῶν, καὶ Περὶ βίων καὶ τέλους. τὴν διαλεκτικὴν ὡς παρέλκουσαν ἀποδοκιμάζουσι. ἀρκεῖν γὰρ τοὺς φυσικοὺς χωρεῖν κατὰ τοὺς τῶν πραγμάτων φθόγγους. ἐν τοίνυν τῷ κανόν-

λέγει ὁ Ἐπίκουρος κριτήρια τῆς ἀληθείας εἶναι τὰς αἰσθήσεις, καὶ προλήψεις, καὶ τὰ πάθη· οἱ δ' Ἐπικούρειοι, καὶ τὰς φανταστικὰς ἐπιβολὰς τῆς διανοίας. λέγει δὲ καὶ ἐν τῇ πρὸς Ἡρόδοτον ἐπιτομῇ, καὶ ἐν ταῖς κυρίαις δόξαις, Πᾶσα γὰρ (φησὶν) αἴσθησις, ἄλογός ἐστι, καὶ μνήμης οὐδεμιᾶς δεκτική. οὔτε γὰρ ὑφ' αὑτῆς κινεῖται, οὔτε ὑφ' ἑτέρου κινηθεῖσα δύναταί τι προσθεῖναι ἢ ἀφελεῖν, οὐδ' ἔστι τὸ δυνάμενον αὐτὰς διελέγξαι. οὔτε γὰρ ὁμογενὴς τὴν ὁμογενῆ διὰ τὴν ἰσοσθένειαν, οὔθ' ἡ ἀνομοιογενὴς τὴν ἀνομοιογενῆ. οὐ γὰρ τῶν αὐτῶν εἰσὶ κριτικαί. οὔτε μὴν λόγος· πᾶς γὰρ λόγος ἀπὸ τῶν αἰσθήσεων ἤρτηται. οὔθ' ἡ ἑτέρα τὴν ἑτέραν· πάσαις γὰρ προσέχομεν. καὶ τὸ τὰ ἐπαισθήματα δ' ὑφεστάναι, πιστοῦται τὴν τῶν αἰσθήσεων ἀλήθειαν. ὑφέστηκε δὲ τό, τε ὁρᾶν ἡμᾶς καὶ ἀκούειν, ὥσπερ τὸ ἀλγεῖν. ὅθεν καὶ περὶ τῶν ἀδήλων ἀπὸ τῶν φαινομένων χρὴ σημειοῦσθαι. καὶ γὰρ καὶ ἐπίνοιαι πᾶσαι ἀπὸ τῶν αἰσθήσεων γεγόνασι κατά τε περίπτωσιν καὶ ἀναλογίαν, καὶ ὁμοιότητα, καὶ σύνθεσιν, συμβαλλομένου τι καὶ τοῦ λογισμοῦ. τά τε τῶν μαινομένων φαντάσματα, καὶ κατ' ὄναρ ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὄν, οὐ κινεῖ. τὴν δὲ πρόληψιν λέγουσιν οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθήν, ἢ ἔννοιαν, ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος. οἷον τό, Τοιοῦτόν ἐστιν ἄνθρωπος. ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ἐπιτεταγμένον, ἐναργές ἐστι· καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό. οἷον, Τὸ πόρρω ἑστώς, ἵππος ἐστὶν ἢ βοῦς. δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. οὐδ' ἂν ὠνομάσαμέν τι, μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις· καὶ τὸ δοξαστόν, ἀπὸ προτέρου τινὸς

ἐναργοῦς ἤρτηται. ἐφ' ὃ ἀναφέροντες λέγομεν· οἷον, Πόθεν ἴσμεν εἰ τοῦτό ἐστιν ἄνθρωπος; τὴν δὲ δόξαν, καὶ ὑπόληψιν λέγουσιν. ἀληθῆ τέ φασι καὶ ψευδῆ· ἂν μὲν γὰρ ἐπιμαρτυρῆται, ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ἐπιμαρτυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ τυγχάνειν. ὅθεν προσμένον εἰσήχθη· οἷον, τὸ προσμεῖναι καὶ ἐγγὺς γενέσθαι τῷ πύργῳ, καὶ μαθεῖν ὁποῖος ἐγγὺς φαίνεται. πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα· ἱστάμενα περὶ πᾶν ζῷον. καὶ τὴν μὲν, οἰκεῖον· τὴν δὲ, ἀλλότριον· δι' ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς. τῶν τε ζητήσεων εἶναι τὰς μὲν περὶ τῶν πραγμάτων, τὰς δὲ, περὶ ψιλὴν τὴν φωνήν. καὶ ταῦτα δὲ περὶ τῆς διαιρέσεως, καὶ τοῦ κριτηρίου στοιχειωδῶς. ἀνιτέον δὲ ἐπὶ τὴν ἐπιστολήν.

Ἐπίκουρος Ἡροδότῳ χαίρειν.

Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε ἕκαστα τῶν περὶ φύσεως ἡμῖν ἀναγεγραμμένων ἐξακριβοῦν, μηδὲ τὰς μείζους τῶν συντεταγμένων βίβλους διαθρεῖν, ἐπιτομὴν τῆς ὅλης πραγματείας, εἰς τὸ κατασχεῖν τῶν ὁλοσχερωτάτων δοξῶν τὴν μνήμην, ἱκανῶς αὐτοῖς παρεσκεύασα· ἵνα παρ' ἑκάστους τῶν καιρῶν ἐν τοῖς κυριωτάτοις βοηθεῖν αὑτοῖς δύνωνται, καθ' ὅσον ἂν ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. καὶ τοὺς προβεβηκότας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει, τὸν τύπον τῆς ὅλης πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν. τῆς γὰρ ἀθρόας ἐπιβολῆς πυκνὸν δεόμεθα· τῆς δὲ κατὰ μέρος, οὐχ ὁμοίως. βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα, καὶ συνεχῶς ἐν τῇ μνήμῃ ποιητέον. ἀφ' οὗ ἥ τε κυριωτάτη ἐπιβολὴ ἐπὶ τὰ πράγματα ἔσται, καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκρίβωμα πᾶν ἐξευρήσεται, τῶν ὁλοσχερωτάτων τύπων ἐμπεριειλημμένων, καὶ μνημονευομένων· ἐπεὶ καὶ τοῦ τετελεσιουργημένου τοῦτο κυριώτατον τοῦ παντὸς ἀκριβώματος γίνεται, τὸ ταῖς ἐπιβολαῖς ὀξέως δύνασθαι χρῆσθαι, καὶ πρὸς ἁπλᾶ στοιχειω-

ματα καὶ φωνὰς συναγομένων. οὐ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἰδέναι, μὴ δυνάμενον διὰ βραχέων φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὑτῷ τὸ καὶ κατὰ μέρος ἂν ἐξακριβωθέν. ὅθεν δὴ πᾶσι χρησίμης οὔσης τοῖς ᾠκειωμένοις φυσιολογίᾳ τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶν τὸ συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ, καὶ τῷ τούτων μάλιστα ἐγγαληνίζοντων βίῳ, ποιήσασθαι καὶ τοιαύτην τινὰ ἐπιτομὴν καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν. πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις (ὦ Ἡρόδοτε) δεῖ εἰληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα, ἢ ζητούμενα, ἢ ἀπορούμενα ἔχωμεν εἰς ὃ ἀνάγοντες ἐπικρίνειν, καὶ μὴ ἄκριτα πάντα ἡμῖν εἰς ἄπειρον ἀποδεικνύουσιν, ἢ κενοὺς φθόγγους ἔχωμεν. ἀνάγκη γὰρ τὸ πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι, καὶ μηθὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἕξομεν τὸ ζητούμενον, ἢ ἀπορούμενον, καὶ δοξαζόμενον ἐφ' ὃ ἀνάξομεν. εἶτε κατὰ τὰς αἰσθήσεις δεῖ πάντα τηρεῖν, καὶ ἁπλῶς τὰς παρούσας ἐπιβολάς, εἴτε διανοίας, εἴθ' ὁπουδήποτε τῶν κριτηρίων. ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη· ὅπως ἂν καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα. ταῦτα δὲ διαλαβόντας συνορᾶν ἤδη περὶ τῶν ἀδήλων. πρῶτον μὲν, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μὴ ὄντος. πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἄν, σπερμάτων γε οὐδὲν προσδεόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν ἀπολώλει τὰ πράγματα, οὐκ ὄντων τῶν εἰς ἃ διελύετο. καὶ μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νῦν ἐστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβάλλει. παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν, ὃ ἂν εἰσελθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο. ἀλλὰ μὴν καὶ τοῦτο καὶ ἐν τῇ μεγάλῃ ἐπιτομῇ φησὶ κατ' ἀρχήν. καὶ ἐν τῇ πρώτῃ περὶ φύσεως τὸ πᾶν ἐστι σῶμα. τὰ μὲν σώματα ὡς ἔστι, καὶ αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον τὸ πρόσθεν·

εἰ μὴ ἦν ὃ κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν, οὐδὲ δι' οὗ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα. παρὰ δὲ ταῦτα οὐθὲν οὔτ' ἐπινοηθῆναι δύναται, οὔτε περιληπτῶς, οὔτε ἀναλόγως τοῖς περιληπτοῖς, ὡς καθ' ὅλας φύσεις λαμβανόμενα, καὶ μὴ ὡς τὰ τούτων συμπτώματα, ἢ συμβεβηκότα λεγόμενα. καὶ μὴν καὶ ταὐτὴν τούτῳ καὶ ἐν τῇ πρώτῃ περὶ φύσεως, καὶ τῇ τεσσαρεσκαιδεκάτῃ καὶ πεντεκαιδεκάτῃ καὶ τῇ μεγάλῃ ἐπιτομῇ. τῶν σωμάτων τὰ μέν ἐστι συγκρίσεις, τὰ δ' ἐξ ὧν αἱ συγκρίσεις πεποίηνται. ταῦτα δέ ἐστιν ἄτομα καὶ ἀμετάβλητα, εἴπερ μὴ μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι· ἀλλ' ἰσχύοντα ὑπομένειν, ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων, πλήρη τὴν φύσιν, ὄντα οὐκ ἔχοντα ὅπῃ ἢ ὅπως διαλυθήσεται. ὥστε τὰς ἀρχὰς ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις. ἀλλὰ μὴν καὶ τὸ πᾶν, ἄπειρόν ἐστι. τὸ γὰρ πεπερασμένον, ἄκρον ἔχει· τὸ δὲ ἄκρον, παρ' ἕτερόν τι θεωρεῖται· ὥστε τὸ οὐκ ἔχον ἄκρον, πέρας οὐκ ἔχει· πέρας δὲ οὐκ ἔχον, ἄπειρον ἂν εἴη, καὶ οὐ πεπερασμένον. καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων ἄπειρόν ἐστι τὸ πᾶν, καὶ τῷ μεγέθει τοῦ κενοῦ. εἴτε γὰρ ἦν τὸ κενὸν ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐδαμοῦ ἂν ἔμενε τὰ σώματα, ἀλλ' ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρμένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα κατὰ τὰς ἀνακοπάς. εἴτε τὸ κενὸν ἦν ὡρισμένον, οὐκ ἂν εἶχε τὰ ἄπειρα σώματα ὅπου ἐνέστη. πρός τε τούτοις, τὰ ἄτομα τῶν σωμάτων καὶ μεστά, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται, καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων. οὐ γὰρ δυνατὸν γενέσθαι τὰς τοσαύτας διαφορὰς ἐκ τῶν αὐτῶν σχημάτων περιειλημμένων. καὶ καθ' ἑκάστην δὲ σχημάτισιν ἁπλῶς ἄπειροι εἰσιν αἱ ὅμοιαι. ταῖς δὲ διαφοραῖς οὐχ ἁπλῶς ἄπειροι, ἀλλὰ μόνον ἀπερίληπτοι. οὐδὲ γάρ φησιν ἐνδοτέρω εἰς ἄπει-

τὴν τούτων τυγχάνειν. λέγει δὲ, ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται, εἰ μέλλει τις μὴ καὶ τοῖς μεγέθεσιν ἁπλῶς εἰς ἄπειρον αὐτὰς ἐκβάλλειν. κινοῦνταί τε συνεχῶς αἱ ἄτομοι. φησὶ δὲ ἐνδοτέρω καὶ ἰσοταχῶς αὐτὰς κινεῖσθαι τοῦ κενοῦ, τὴν εἶξιν ὁμοίαν παρεχομένου καὶ τῇ κουφοτάτῃ καὶ τῇ βαρυτάτῃ εἰς τὸν αἰῶνα. καὶ αἱ μὲν, εἰς μακρὰν ἀπ' ἀλλήλων διϊστάμεναι· αἱ δὲ, αὐτὸν τὸν παλμὸν ἴσχουσιν, ὅταν τύχωσι τὴν περιπλοκὴν κεκλιμέναι, ἢ στεγαζόμεναι παρὰ τῶν πλεκτικῶν. ἥ τε γὰρ τοῦ κενοῦ φύσις, ἡ διορίζουσα ἑκάστην αὐτὴν, τοῦτο παρασκευάζει, τὴν ὑπέρεισιν οὐχ οἵα τε οὖσα ποιεῖσθαι· ἥ τε στερεότης ἡ ὑπάρχουσα αὐταῖς κατὰ σύγκρουσιν, τὸν ἀποπαλμὸν ποιεῖ, ἐφ' ὁπόσον ἂν ἡ περιπλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρούσεως διδῷ. ἀρχὴ δὲ τούτων οὐκ ἔστιν, αἰτίων τῶν ἀτόμων οὐσῶν καὶ τοῦ κενοῦ. φησὶ δ' ἐνδοτέρω μηδὲ ποιότητά τινα περὶ τὰς ἀτόμους εἶναι, πλὴν σχήματος καὶ μεγέθους καὶ βάρους· τὸ δὲ χρῶμα παρὰ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεσθαι ἐν ταῖς δώδεκα στοιχειώσεσι φησί. πᾶν τε μέγεθος μὴ εἶναι περὶ αὐτάς· οὐδέποτε γοῦν ἄτομος ὤφθη αἰσθήσει. αὕτη δ' ἡ φωνὴ, τούτων πάντων μνημονευομένων τὸν ἱκανὸν τύπον ὑποβάλλει τῆς τῶν ὄντων φύσεως ἐπινοίαις.

ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροι εἰσὶν, εἴθ' ὅμοιοι τούτῳ, εἴτ' ἀνόμοιοι. αἵ τε γὰρ ἄτομοι ἄπειροι οὖσαι, (ὡς ἄρτι ἀπεδείχθη) φέρονται καὶ πορρωτάτω. οὐ γὰρ κατανήλωνται αἱ τοιαῦται ἄτομοι ἐξ ὧν ἂν γένοιτο κόσμος, ἢ ὑφ' ὧν ἂν ποιηθείη, οὔθ' εἰς ἕνα, οὔτ' εἰς πεπερασμένους, οὔθ' ὅσοι τοιοῦτοι, οὔθ' ὅσοι διάφοροι τούτοις. ὥστε οὐδὲν τὸ ἐμποδίζον ἐστὶ πρὸς τὴν ἀπειρίαν τῶν τοιούτων κόσμων. καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσὶ, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. οὔτε γὰρ ἀποστάσεις ἀδυνατοῦσιν ἐν τῷ περιέχοντι γίνεσθαι τοιαῦται, οὔτε ἐπιτηδειότητες, τὰς κατεργασίας τῶν κοιλωμάτων

καὶ λεπτοτήτων γίνεσθαι, οὔτε ἀπόρροιαι τὴν ἑξῆς θέσιν καὶ
βάσιν διατηροῦσαι, ἥν περ καὶ ἐν τοῖς στερεμνίοις εἶχον.
τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν. καὶ μὴν
καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀν-
τικοψάντων γινομένη, πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοή-
τῳ χρόνῳ συντελεῖ. βραδύτητος γὰρ καὶ τάχους ἀντικοπὴ
καὶ οὐκ ἀντικοπὴ ὁμοίωμα λαμβάνει. οὐ μὴν οὐδὲ ἅμα
κατὰ τοὺς διὰ λόγου θεωρητοὺς χρόνους κατὰ τὸ φερόμενον σῶ-
μα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται. ἀδιανόητον γὰρ κα
τοῦτο, συναφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅθεν δή ποθεν το
ἀπείρου, οὐκ ἐξ οὗ ἂν περιλάβωμεν τὴν φορὰν τόπου ἔστα
ἀφιστάμενον. ἀντικοπῇ γὰρ ὅμοιον ἔσται, κἂν μέχρι τούτου τ
τάχος τῆς φορᾶς μὴ ἀντικοπέον καταλίπωμεν. χρήσι-
μον δὴ καὶ τοῦτο κατασχεῖν τὸ στοιχεῖον, εἶτ' ὅτι τὰ χρηστὰ εἴ-
δωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται. ὅθεν ἀν
μαρτυρεῖ τῶν φαινομένων, ἣ ὅθεν καὶ τάχη ἀνυπέρβλητα ἐ
χει, πάντα πόρον σύμμετρον ἔχοντα πρὸς τῷ ἀπείρῳ αὐτῶ
μηθὲν ἀντικόπτειν, ἢ ὀλίγα ἀντικόπτειν, πολλαῖς δὲ καὶ ἀ
πείροις εὐθὺς ἀντικόπτειν τι. πρός τε τούτοις, ὅτι ἡ γένε
σις τῶν εἰδώλων ἅμα νοήματι συμβαίνει. καὶ γὰρ ῥεῦσ
ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχὴς οὐκ ἐπίδηλος σ
μειώσει, διὰ τὴν ἀνταναπλήρωσιν σώζουσα τὴν ἐπὶ τοῦ
ρεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων, ἐπὶ πολὺν χρόνον
καὶ ἐνίοτε συγχεομένη ὑπάρχει. καὶ συστάσεις ἐν τῷ περι
έχοντι ὀξεῖαι, διὰ τὸ μὴ δεῖν κατὰ βάθος τὸ συμπλήρωμ
γίνεσθαι. καὶ ἄλλοι δὲ τρόποι τινὲς γεννητικοὶ τῶν τοι
των φύσεων εἰσίν. οὐθὲν γὰρ τούτων ἀντιμαρτυρεῖ ταῖς αἰ
σθήσεσιν, ἂν βλέπῃ τις τινὰ τρόπον τὰς ἐνεργείας ἵνα καὶ τ
συμπαθείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς ἀνοίσῃ. δεῖ δὲ κ
νομίζειν, ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν, τὰς μορφὰς
ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι. οὐ γὰρ ἂν ἀποσφραγίσαιτο
ἔξω τὴν ἑαυτῶν φύσιν, τοῦ τε χρώματος καὶ τῆς μορφῆς, δ

τοῦ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀκείνων, οὐδὲ διὰ τῶν ἀκτίνων, ἢ οἱωνδήποτε ῥευμάτων ἀφ' ἡμῶν πρὸς ἐκεῖνα παραγινομένων, οὕτως ὡς τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων, ἀπὸ χροῶν τε καὶ ὁμοιομόρφων, κατὰ τὸ ἐναρμόττον μέγεθος, εἰς τὴν ὄψιν ἢ τὴν διάνοιαν ὠκέως ταῖς φοραῖς χρωμένων. εἶτα διὰ ταύτην τὴν αἰτίαν τοῦ ἑνὸς καὶ συνεχοῦς τὴν φαντασίαν ἀποδιδόντες, καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου σώζοντος κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν, ἐκ τῆς κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πλάσεως, καὶ ἣν ἂν λάβωμεν φαντασίαν, ἐπιβλητικῶς τῇ διανοίᾳ ἢ τοῖς αἰσθητηρίοις, εἴτε μορφῆς, εἴτε συμβεβηκότων, μορφή ἐστιν αὕτη τοῦ στερεμνίου, γινομένη κατὰ τὸ ἑξῆς πύκνωμα, ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου· τὸ δὲ ψεῦδος καὶ τὸ διημαρτημένον, ἐν τῷ προσδοξαζομένῳ ἀεὶ ἐστὶν ἐπιμαρτυρηθήσεσθαι. εἶτ' οὐκ ἐπιμαρτυρουμένου κατὰ τὴν ἀκίνητον ἐν ἡμῖν. αὐτοῖς συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἐχούσῃ καθ' ἣν τὸ ψεῦδος γίνεται. ἥ τε γὰρ ὁμοιότης τῶν φαντασμῶν οἱονεὶ ἐν εἰκόνι λαμβανομένων, ἢ καθ' ὕπνους γινομένων, ἢ κατ' ἄλλας τινὰς ἐπιβολὰς τῆς διανοίας, ἢ τῶν λοιπῶν κριτηρίων, οὐκ ἄν ποτε ὑπῆρχε τοῖς οὖσί τε καὶ ἀληθέσι προσαγορευομένοις, εἰ μὴ ἦν τινα καὶ ταῦτα πρὸς ὃ βάλλομεν. τὸ δὲ διημαρτημένον οὐκ ἂν ὑπῆρχεν εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μὲν, διάλειψιν δὲ ἔχουσαν. κατὰ δὲ ταύτην τὴν συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάλειψιν δὲ ἔχουσαν, ἐὰν μὲν μὴ ἐπιμαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δὲ ἐπιμαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές. καὶ ταύτην οὖν σφόδρα γε δεῖ τὴν δόξαν κατέχειν, ἵνα μήτε τὰ κριτήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐνεργείας, μήτε τὸ διημαρτημένον ὁμοίως βεβαιούμενον πάντα

συνταραχθῇ. ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται πνεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος ἢ ἠχοῦντος ἢ ψοφοῦντος, ἢ ὅπως δή ποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς ὄγκους διασπείρεται, ἅμα τινὰ διασώζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ ἑνότητα ἰδιότροπον διατείνουσαν πρὸς τὸ ἀποστεῖλαν καὶ τὴν ἐπαίσθησιν τὴν ἀπ' ἐκείνου ὡς τὰ πολλὰ ποιοῦσαν· εἰ δὲ μή γε, τὸ ἔξωθεν μόνον ἔνδηλον παρασκευάζουσαν. ἄνευ γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας, οὐκ ἂν γένοιτο ἡ τοιαύτη ἐπαίσθησις. οὐκ αὐτὸν οὖν δεῖ νομίζειν τὸν ἀέρα ὑπὸ τῆς προϊεμένης φωνῆς, ἢ καὶ τῶν ὁμογενῶν σχηματίζεσθαι. πολλὴν γὰρ ἔνδειαν ἕξει τοῦτο πάσχων ὑπ' ἐκείνης· ἀλλ' εὐθὺς τὴν γινομένην πληγὴν ἐν ἡμῖν ἵνα φωνὴν ἀφιῶμεν, τοιαύτην ἔκ τινων ὄγκων ῥεύματι πνευματώδους ἀποτελεστικῶν ποιεῖσθαι, ἢ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν παρασκευάζει. καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥσπερ καὶ τὴν ἀκοὴν, οὐκ ἄν ποτε πάθος οὐθὲν ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι, σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν· οἱ μὲν τοῖοι, τεταραγμένως καὶ ἀλλοτρίως· οἱ δὲ τοῖοι, ἀταράχως καὶ οἰκείως ἔχοντες. καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον, μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι, πλὴν σχήματος καὶ βάρους καὶ μεγέθους, καὶ ὅσα ἐξ ἀνάγκης σχήματος συμφυῆ ἐστι. ποιότης γὰρ πᾶσα μεταβάλλει· αἱ δὲ ἄτομοι, οὐδὲν μεταβάλλουσιν. ἐπειδήπερ ἀεί τι ὑπομένει ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων στερεὸν καὶ ἀδιάλυτον, ὃ τὰς μεταβολὰς οὐκ εἰς τὸ μὴ ὂν ποιήσεται, οὐδ' ἐκ τοῦ μὴ ὄντος, ἀλλὰ κατὰ μεταθέσεις ἐν πολλοῖς, τινῶν δὲ καὶ προσόδους καὶ ἀφόδους. ὅθεν ἀναγκαῖον τὰ μὴ μετατιθέμενα ἄφθαρτα εἶναι, καὶ τὴν τοῦ μεταβάλλοντος φύσιν οὐκ ἔχοντα, ὄγκους δὲ καὶ σχηματισμοὺς ἰδίους· ταῦτα γὰρ καὶ ἀναγκαῖον ὑπομένει

καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν μετασχηματιζομένοις κατὰ τὴν περιαίρεσιν τὸ σχῆμα ἐνυπάρχον λαμβάνεται· αἱ δὲ ποιότητες οὐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ὥσπερ ἐκεῖνο καταλείπεται, ἀλλ' ἐξ ὅλου τοῦ σώματος ἀπολλύμεναι. ἱκανὰ οὖν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκρίσεων διαφορὰς ποιεῖν· ἐπειδή περ ὑπολείπεσθαί γε τινα ἀναγκαῖον, καὶ εἰς τὸ μὴ ὂν φθείρεσθαι. ἀλλὰ μηδὲ ἀεὶ νομίζειν πᾶν μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ. παραλλαγὰς δέ τινας μεγεθῶν νομιστέον εἶναι· βέλτιον γάρ. καὶ τούτου προσόντος, τὰ κατὰ τὰ πάθη καὶ τὰς αἰσθήσεις γινόμενα ἀποδοθήσεται. πᾶν δὲ μέγεθος ὑπάρχον, οὔτε χρήσιμόν ἐστι πρὸς τὰς τῶν ποιοτήτων διαφορὰς, ἀφῖχθαί τε ἀμέλει καὶ πρὸς ἡμᾶς ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον, οὔθ' ὅπως ἂν γένοιτο ὁρατὴ ἄτομος ἐστὶν ἐπινοῆσαι. πρὸς δὲ τούτοις οὐ δεῖ νομίζειν ἐν τῷ ὡρισμένῳ σώματι ἀπείρους ὄγκους εἶναι, οὐδ' ὁπηλικουσοιοῦν. ὥστε οὐ μόνον τὴν εἰς ἄπειρον τομὴν ἐπὶ τοὔλαττον ἀναιρετέον, ἵνα μὴ πάντα ἀσθενῆ ποιῶμεν, καὶ ταῖς περιλήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα, τὰ ὄντα θλίβοντες, καταναλίσκειν. ἀλλὰ καὶ τὴν μετάβασιν μὴ νομιστέον γίνεσθαι ἐν τοῖς ὡρισμένοις εἰς ἄπειρον, μηδὲ τοὔλαττον. οὔτε γὰρ ὅπως ἐπειδὰν ἅπαξ τις εἴπῃ ὅτι ἄπειροι ὄγκοι ἔν τινι ὑπάρχουσιν, ἢ ὁπηλικοιοῦν, ἔστι νοῆσαι πῶς τ' ἂν ἔτι πεπερασμένον τοῦτο εἴη τὸ μέγεθος. πηλίκοι γάρ τινες, δῆλον ὡς ἄπειροί εἰσιν ὄγκοι· καὶ ὅτι ἐξ ὧν ὁπηλίκοι ἄν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος, ἄκρον τε ἔχοντες τὸ ὑποπεπερασμένον διαληπτόν. εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητέον, οὐκ ἔστι μὴ καὶ τὸ ἑξῆς τούτου τοιοῦτον νοεῖν. καὶ οὕτω κατὰ τὸ ἑξῆς εἰς τὸ ἔμπροσθεν βαδίζοντα, εἰς τὸ ἄπειρον ὑπάρχειν κατὰ τοιοῦτον ἀφικνεῖσθαι τῇ ἐννοίᾳ. τό τε ἐλάχιστον τὸ ἐν τῇ αἰσθήσει δεῖ

καταvοεῖν, ὅτι οὔτε τοιοῦτόν ἐστιν οἷον τὸ τὰς μεταβάσεις ἔ
χον, οὔτε πάντῃ πάντων ἀνόμοιον, ἀλλ᾽ ἔχον μέν τινα κοιν
τητα τῶν μεταβαίνων, διάληψιν δὲ μερῶν οὐκ ἔχον. ἀλλ᾽
ὅτε διὰ τὴν τῆς κοινότητος προσεμφέρειαν οἰηθῶμεν δια
λήψεσθαί τι αὐτοῦ, τὸ μὲν ἐπὶ τάδε, τὸ δὲ ἐπ᾽ ἐκεῖνα, τὸ ἴ
σον ἡμῖν δεῖ προσπίπτειν. ἑξῆς τε θεωροῦμεν ταῦτα ἀπ
τοῦ πρώτου καταρχόμενοι· καὶ οὐκ ἐν τῷ αὐτῷ, οὐδὲ μέ
ρεσι μερῶν ἁπτόμενα, ἀλλὰ ἐν τῇ ἰδιότητι τῇ ἑαυτῶν, τ
μεγέθη καταμετροῦντα, τὰ πλείω πλεῖον, καὶ τὰ ἐλάττ
ἔλαττον. ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ τὸ ἐν τῇ ἀτό
μῳ ἐλάχιστον κεχρῆσθαι. μικρότητι γὰρ ἐκεῖνο δῆλον ὡς δι
φέρει τοῦ κατὰ τὴν αἴσθησιν θεωρουμένου, ἀναλογίᾳ δὲ τ
αὐτῇ κεχρῆσθαι. ἐπείπερ καὶ ὅτι μέγεθος ἔχει ἡ ἄτομος κ
τὴν ἐνταῦθα ἀναλογίαν κατηγορήσαμεν, μικρόν τι μόνο
μακρὸν ἐκβάλλοντες. ἔτι τε τὰ ἐλάχιστα καὶ ἀμιγῆ π
ρατα δεῖ νομίζειν τῶν μηκῶν τὸ καταμέτρημα, ἐξ αὐτ
πρῶτον τοῖς μείζοσι καὶ ἐλάττοσι παρασκευάζοντα τ
διαλόγου θεωρίᾳ ἐπὶ τῶν ἀοράτων. ἡ γὰρ κοινότης ἡ ὑπ
άρχουσα αὐτοῖς πρὸς τὰ ἀμετάβολα, ἱκανὴ τὸ μέχρι τ
του συντελέσαι. συμφόρησιν δὲ ἐκ τούτων κίνησιν ἐχόντ
οὐχ οἷόν τε γίνεσθαι. καὶ μὴν καὶ τοῦ ἀπείρου, ὡς μὲν ἀν
τάτω ἢ κατωτάτω, οὐ δεῖ κατηγορεῖν τὸ **ἄνω ἢ κάτω** μ
τοι τὸ ὑπὲρ κεφαλῆς. ὅθεν ἂν τὸ μὲν εἰς ἄπειρον ἄγειν ὅ
μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν· ἢ τὸ ὑποκάτω τοῦ νοηθέ
τος εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ αὐτ
τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. ὥστ᾽ ἔστι μίαν λαβεῖν φ
ρὰν, τὴν ἄνω νοουμένην εἰς ἄπειρον καὶ μίαν τὴν κάτω
ἂν καὶ μυριάκις πρὸς τοὺς πόδας τῶν ἐπάνω τὸ παρ᾽ ἡμῶ
φερόμενον τοῖς ὑπὲρ κεφαλῆς ἡμῶν τόποις ἀφικνῆται:
ἐπὶ τὴν κεφαλὴν τῶν ὑποκάτω τὸ παρ᾽ ἡμῶν κάτω φ
ρόμενον. ἡ γὰρ ὅλη φορὰ οὐθὲν ἧττον ἑκατέρα ἀντικειμέν
ἐπ᾽ ἄπειρον νοεῖται. καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγ

ον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται, μηθενὸς ἀντικόπτοντος. οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς· οὔτε τὰ μικρὰ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ, οὔθ' ἡ ἄνω, οὔθ' ἡ εἰς τὸ πλάγιον διὰ τῶν κρούσεων φορά, οὔθ' ἡ κάτω διὰ τῶν ἰδίων βαρῶν. ἐφ' ὁπόσον γὰρ ἂν κατίσχῃ ἑκατέρων, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσει, ἕως ἀντικόψῃ, ἢ ἔξωθεν, ἢ ἐκ τοῦ ἰδίου βάρους, πρὸς τὴν τοῦ πλήξαντος δύναμιν. ἀλλὰ μηδὲ κατὰ τὰς συγκρίσεις θάττων ἑτέρα ἑτέρας ῥηθήσεται τῶν ἀτόμων, ἰσοταχῶν οὐσῶν τῷ ἐφ' ἕνα τόπον φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους, καὶ κατὰ τῶν ἐλαχίστων συνεχῆ χρόνον, εἰ μὴ ἐφ' ἕνα κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους, ἀλλὰ πυκνὸν ἀντικόπτωσιν, ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γίνηται. τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου, ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἕξουσιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων· ἐπεὶ τό γε θεωρούμενον πᾶν, ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ, ἀληθές ἐστιν. μετὰ δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη. οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται, ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερές, παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον. προσεμφερέστατον δὲ πνεύματι θερμοῦ τινὰ κρᾶσιν ἔχοντι. καὶ πῇ μὲν τούτῳ προσεμφερές, πῇ δὲ τούτῳ. ἔστι δὲ τὸ μέρος πολλὴν παραλλαγὴν εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων. συμπαθὲς δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι. τοῦτο δὲ πᾶν αἱ δυνάμεις τῆς ψυχῆς δηλοῦσι, καὶ τὰ πάθη καὶ αἱ εὐκινησίαι, καὶ αἱ διανοήσεις, καὶ ὧν στερούμενοι θνήσκομεν. καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείστην αἰτίαν, δεῖ κατέχειν. οὐ μὴν εἰλήφει ἂν ταύτην, εἰ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα παρασκευάσαν

ἐκείνη τὴν αἰτίαν ταύτην, μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ' ἐκείνης, οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλλαγείσης τῆς ψυχῆς, οὐκ ἔχει τὴν αἴσθησιν. οὐ γὰρ αὐτὸ ἐν ἑαυτῷ ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγενημένῳ αὐτῷ παρεσκεύαζεν, ὃ διὰ τῆς συντελεσθείσης περὶ αὐτὸ δυνάμεως, κατὰ τὴν κίνησιν σύμπτωμα αἰσθητικὸν εὐθὺς ἀποτελοῦν ἑαυτῷ, ἀπεδίδου κατὰ τὴν ὁμούρησιν καὶ συμπάθειαν, καὶ ἐκείνῳ, καθάπερ εἶπον. διὸ δὴ καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε, ἄλλου τινὸς μέρους ἀπηλλαγμένου, ἀναισθησία· ἀλλὰ ἂν καὶ ταύτη ξυναπόληται τοῦ στεγάζοντος λυθέντος, εἴθ' ὅλου, εἴτε καὶ μέρους τινὸς, ἐάν περ διαμένῃ, ἕξει τὴν αἴσθησιν. τὸ δὲ λοιπὸν ἄθροισμα διαμένον καὶ ὅλον καὶ κατὰ μέρος, οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνου ἀπηλλαγμένου ὅσον ποτὲ ἐστὶ τὸ συντεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὴν τῆς ψυχῆς φύσιν· καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος, ἡ ψυχὴ διασπείρεται, καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις, οὐδὲ κινεῖται, ὥστε οὐδ' αἴσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν αὐτὸ αἰσθανόμενον, μὴ ἐν τούτῳ τῷ συστήματι ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις. ἀλλὰ μὴν καὶ τόδε λέγει ἐν ἄλλοις, καὶ ἐξ ἀτόμων αὐτὴν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν, ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. ὕπνον τε γίνεσθαι τῶν τῆς ψυχῆς μερῶν τῶν παρ' ὅλην τὴν σύγκρισιν παρεσπαρμένων, ἢ ἐγκατεχομένων, ἢ διαφορουμένων, εἶτα συμπιπτόντων τοῖς ἐσπαρμένοις. τό τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαί γε δεῖ προσκατανοεῖν ὅτι τὸ ἀσώματον. λέγει γὰρ κατὰ τὴν πλείστην ὁμιλίαν τοῦ ὀνόματος ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέντος ἄν· καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι

τὸ ἀσώματον, πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν, οὔτε ποιῆσαι, οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται· ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν, ματαιάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν, οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνει περὶ τὴν ψυχὴν τὰ συμπτώματα. ταῦτα οὖν πάντα τὰ διαλογίσματα περὶ ψυχῆς ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως. ἀλλὰ μὴν καὶ τὰ σχήματα, καὶ τὰ χρώματα, καὶ τὰ μεγέθη, καὶ τὰ βάρεα, ἢ καὶ ὅσα ἄλλα κατηγορεῖται σώματος, ὡς ἂν εἰς αὐτὰ βεβηκότα, ἢ πᾶσιν, ἢ τοῖς ὁρατοῖς καὶ κατὰ τὴν αἴσθησιν αὐτοῖς γνωστοῖς, οὔθ' ὡς καθ' ἑαυτάς εἰσι φύσεις, δοξαστέον· οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο, οὔτε ὅλως ὡς οὐκ εἰσὶν, ὡς οὔθ' ἕτερα τὰ προσυπάρχοντα τούτῳ ἀσώματα, οὔθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον σῶμα, καθ' ὅλου μὲν τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον, οὐχ οἷόν τ' εἶναι συμπεφορημένον· ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ, ἤτοι τῶν πρώτων ἢ τῶν τοῦ ὅλου μεγεθῶν, τοῦ δέ τινος ἐλαττόνων, ἀλλὰ μόνον (ὡς λέγω) ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον. καὶ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι καὶ διαλήψεις· συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου, καὶ οὐδαμῇ ἀποσχιζομένου, ἀλλὰ κατὰ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότος. καὶ μὴν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ οὐκ ἀΐδιον παρακολουθεῖν, οὔτ' ἐν τοῖς ἀοράτοις, καὶ οὔτε ἀσώματα. ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν, τούτῳ τῷ ὀνόματι χρώμενοι, φανερὰ ποιοῦμεν τὰ συμπτώματα οὔτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ὃ συλλαβόντες κατὰ τὸ ἀθρόον, σῶμα προσαγορεύομεν· οὔτε τὴν τῶν ἀϊδίων παρακολουθούντων, ὧν ἄνευ, σῶμα οὐ δυνατὸν νοεῖσθαι. κατ' ἐπιβολὰς δ' ἂν

τινας, παρακολουθοῦντος τοῦ ἀθρόου, ἕκαστα προσαγορευ-
θείη. ἀλλ' ὅτι δή ποτε ἕκαστα συμβαίνοντα θεωρεῖται,
οὐκ ἀιδίων τῶν συμπτωμάτων παρακολουθούντων, καὶ
οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ
ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει, ὃ δὴ καὶ σῶμα προσ-
αγορεύομεν, οὐδὲ τὴν τῶν ἀιδίων παρακολουθούντων, οὐδ'
αὖ καθ' αὑτὰ νομιστέον. οὐδὲ γὰρ τοῦτο διανοητέον, οὔτ' ἐπὶ
τούτων, οὔτ' ἐπὶ τῶν ἀιδίων συμβεβηκότων. ἀλλ' ὅπερ καὶ
φαίνεται, συμπτώματα πάντα τὰ σώματα νομιστέον, καὶ οὐκ
ἀίδιον παρακολουθοῦντα, οὐδ' αὖ φύσεως καθ' ἑαυτὰ
τάγμα ἔχοντα· ἀλλ' ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότη-
τα ποιεῖ θεωρεῖται. καὶ μὴν καὶ τό γε δὴ προσκατανοῆ-
σαι σφοδρῶς. τὸν γὰρ δὴ χρόνον οὐ ζητητέον, ὥσπερ καὶ τὰ
λοιπὰ ὅσα ἐν ὑποκειμένῳ ζητοῦμεν, ἀνάγοντες ἐπὶ τὰς
βλεπομένας παρ' ἡμῖν αὐτοῖς προλήψεις· ἀλλ' αὐτὸ τὸ ἐν-
άργημα, καθ' ὃ τὸν πολὺν ἢ ὀλίγον χρόνον ἀναφωνοῦμεν,
συγγενικῶς τοῦτο περιφέροντες, ἀναλογιστέον. καὶ οὔτε δια-
λέκτους, ὡς βελτίους, μεταληπτέον, ἀλλ' αὐταῖς ταῖς ὑπ-
αρχούσαις κατ' αὐτοῦ χρηστέον· οὔτε ἄλλο τι καθ' ἑαυτοῦ κα-
τηγορητέον, ὡς τὴν αὐτὴν οὐσίαν ἔχοντος τῷ ἰδιώματι
τούτῳ (καὶ γὰρ τοῦτο ποιοῦσί τινες) ἀλλὰ μόνον ὡς συμπλέ-
κομεν τὸ ἴδιον τοῦτο καὶ παραμετροῦμεν, μάλιστα ἐπιλο-
γιστέον. καὶ γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται, ἀλλ' ἐπι-
λογισμοῦ· ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν,
καὶ τοῖς τούτων μέρεσιν. ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ
ταῖς ἀπαθείαις, καὶ κινήσεσι, καὶ στάσεσιν, ἴδιόν τι σύμ-
πτωμα περὶ ταῦτα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες καθὸ χρό-
νον ὀνομάζομεν. φησὶ δὲ καὶ ἐν τῇ β΄ τοῦ περὶ φύσεως,
καὶ ἐν τῇ μεγάλῃ ἐπιτομῇ, ἐπί τε τοῖς προειρημένοις,
Τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένην, τὸ
ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγο-
νέναι ἀπὸ τοῦ ἀπείρου πάντων τούτων ἐκ συστροφῶν ἰδίων

ἀποκεκριμένων, καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν, θᾶττον, τὰ δὲ, βραδύτερον· καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ, ὑπὸ τῶν τοιῶνδε τοῦτο πάσχοντα. δῆλον οὖν ὡς καὶ ἀφθάρτους φησὶ τοὺς κόσμους, μεταβαλλόντων τῶν μερῶν· καὶ ἐν ἄλλοις τὴν γῆν τῷ ἀέρι ἐποχεῖσθαι. ἔτι δὲ καὶ τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχοντας, ἀλλὰ καὶ διαφόρους αὐτοὺς ἐν τῇ ιβ̄ περὶ τύπου φησίν. οὓς μὲν γὰρ, σφαιροειδεῖς, καὶ ᾠοειδεῖς ἄλλους, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν. οὐδὲ ζῷα εἶναι ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου. οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδεὶς, ὡς μὲν τῷ τοιούτῳ, καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα ἐξ ὧν ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα θεωρούμενα συνίσταται· ἐν δὲ τῷ τοιούτῳ, οὐκ ἂν ἐδυνήθη. ὡσαύτως δὲ καὶ ἐντραφῆναι, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον. ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ τῶν αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι· τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα, καὶ ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν, ἐν μὲν τισὶ θᾶττον, ἐν δὲ τισὶ βραδύτερον· καὶ ἐν μὲν τισὶ περιόδοις καὶ χρόνοις ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου, ἐν δὲ τισὶ κατ' ἐλάττους. ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη ἴδια πασχούσας πάθη καὶ ἴδια λαμβανούσας φαντάσματα, ἰδίως τὸν ἀέρα ἐκπέμπειν, στελλόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ εἴη. ὕστερον δὲ κοινῶς καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι, πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλαις, καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσφέροντας τοὺς συνειδότας παρεγγυῆσαι τινὰς φθόγγους τοὺς ἀναγκασθέντας ἀναφωνῆσαι· τοὺς δὲ, τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν, οὕτως

ἑρμηνεῦσαι. καὶ μὴν ἐν τοῖς μετεώροις, φορὰν καὶ τροπὴν, καὶ ἔκλειψιν, καὶ ἀνατολὴν, καὶ δύσιν, καὶ τὰ σύστοιχα τούτοις, μήτε λειτουργοῦντος τινὸς νομίζειν δεῖ γίνεσθαι, καὶ διατάττοντος, ἢ διατάξαντος, καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος, μετὰ ἀφθαρσίας· οὐ γὰρ συμφωνοῦσι πραγματεῖαι καὶ φροντίδες καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ' ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται. μήτε αὖ πῦρ ἅμα ὄντα συνεστραμμένα τὴν μακαριότητα κεκτημένα, κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν κατὰ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἐὰν μηδ' ὑπεναντίαι ἐξ αὐτῶν τῷ σεμνώματι δόξαι· εἰ δὲ μὴ, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὕτη ὑπεναντιότης παρασκευάσει. ὅθεν δὴ καὶ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν, καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι. καὶ μὴν καὶ τὴν ὑπὲρ τῶν κυριωτάτων αἰτίαν ἐξακριβῶσαι, φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐν τῇ περὶ τῶν μετεώρων γνώσει, ἐνταῦθα πεπτωκέναι. καὶ ἐν τῷ τινὲς φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα ταυτὶ, καὶ ὅσα συγγενῆ πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν. ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι, καὶ τὸ ἐνδεχομένως καὶ ἄλλως πως ἔχειν· ἀλλ' ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόντων, ἢ τάραχον μηθέν· καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ, ἔστιν ἁπλῶς εἶναι. τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατολῆς καὶ τροπῆς καὶ ἐκλείψεως, καὶ ὅσα συγγενῆ τούτοις, μηθὲν ἔτι πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν, ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα κατειδότας, τίνες δὲ αἱ φύσεις ἀγνοοῦντας καὶ τίνες αἱ κυριώταται αἰτίαι· καὶ εἰ μὴ προσῄδεισαν ταῦτα τὰ χαλεπὰ καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς

τούτων προσκατανοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν, καὶ τὴν περὶ τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ καὶ πλείους αἰτίας εὑρίσκομεν τροπῶν, καὶ δύσεων, καὶ ἀνατολῶν, καὶ ἐκλείψεων, καὶ τῶν τοιούτων τρόπων, ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις· ἢ οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων χρείαν, ἀκρίβειαν μὴ ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν συντείνει. ὥστε παραθεωροῦντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ παντὸς τοῦ ἀδήλου, καταφρονοῦντας τῶν οὐδὲ μοναχῶς ἔχον ἢ γινόμενον γνωριζόντων, οὔτε τὸ πλεοναχῶς συμβαῖνον τὴν ἐκ τῶν ἀποστημάτων φαντασίαν παραδιδόντων, ἔτι τε ἀγνοούντων καὶ ἐν ποίοις οὐκ ἔστιν ἀταρακτῆσαι. ἂν οὖν οἰώμεθα καὶ ὡδί πως ἐνδεχόμενον αὐτὸ γίνεσθαι, καὶ ἐφ' οἷοις ὁμοίως ἀταρακτῆσαι, αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες, ὥσπερ κἂν ὅτι ὡδί πως γίνεται εἰδῶμεν, ἀταρακτήσομεν. ἐπὶ δὲ τούτοις ὅλως ἅπασιν, ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ ταῦτα μακάριά τε δοξάζειν καὶ ἄφθαρτα, καὶ ὑπεναντίας ἔχειν τούτοις βουλήσεις ἅμα καὶ πράξεις, καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν καὶ προσδοκᾶν καὶ ὑποπτεύειν κατὰ τοὺς μύθους, εἴτε καὶ ταύτην τὴν ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους, ὥσπερ οὖσαν καὶ αὐτοῖς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν, ἀλλ' ἀλόγῳ γέ τινι παραστάσει· ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τὴν ἴσην ἢ καὶ ἐπιτεταμένην ταραχὴν λαμβάνειν, τῷ εἰ καὶ ἐδόξαζον ταῦτα. ἡ δὲ ἀταραξία, τὸ τούτων πάντων ἀπολελύσθαι, καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων. ὅθεν τοῖς πᾶσι προσεκτέον τοῖς παροῦσι, καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς· κατὰ δὲ τὸ ἴδιον, ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν

ὁ τάραχος γίνεται καὶ ὁ φόβος ἐγίνετο, ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, καὶ ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως. Ταῦτά σοι ὦ Ἡρόδοτε, ἐστὶ κεφαλαιωδέστατα ὑπὲρ τῆς τῶν ὅλων φύσεως ἐπιτετμημένα· ὥστε ἂν γένοιτο οὗτος ὁ λόγος δυνατὸς, κατεσχέθη μετὰ ἀκριβείας, οἶμαι· ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῶν κατὰ μέρος ἀκριβωμάτων, ἀσύμβλητον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἁδρότητα λήψεσθαι. καὶ γὰρ καὶ καθαρὰν ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τοῖς κατὰ μέρος ἐξακριβουμένοις κατὰ τὴν ὅλην πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήματι θέμενος συνεχῶς βοηθήσει. τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς κατὰ μέρος ἤδη ἐξακριβοῦντας ἱκανῶς, ἢ καὶ τελείως εἰς τὰς τοιαύτας ἀναλύοντας ἐπιβολὰς, τὰς πλείστας τῶν περιοδειῶν ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι. ὅσα δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποτελουμένων ἐκ τούτων εἰσίν, ἢ κατὰ τὸν ἄνευ φθόγγων τρόπον, ἢ ἅμα νοήματι περίοδον τῶν κυριωτάτων πρὸς γαληνισμὸν ποιοῦνται.

Καὶ ἥδε μέν ἐστιν αὐτῷ ἐπιστολὴ περὶ τῶν φυσικῶν. περὶ δὲ τῶν μετεώρων ἥδε·

Ἐπίκουρος Πυθοκλεῖ χαίρειν.

Ἤνεγκέ μοι Κλέων ἐπιστολὴν παρὰ σοῦ, ἐν ᾗ φιλοφρονούμενός τε περὶ ἡμᾶς διετέλεις, ἀξίως τῆς ἡμετέρας περὶ σεαυτὸν σπουδῆς, καὶ οὐκ ἀπιθάνως ἐπειρῶ μνημονεύειν τῶν εἰς μακάριον βίον συντεινόντων διαλογισμῶν. ἐδέου τε σεαυτῷ περὶ τῶν μετεώρων σύντομον καὶ εὐπερίγραφον διαλογισμὸν ἀποστεῖλαι, ἵνα ῥᾳδίως μνημονεύῃς. τὰ γὰρ ἐν ἄλλοις ἡμῖν γεγραμμένα, δυσμνημόνευτα εἶναι, καί τι (ὡς ἔφης) συνεχῶς αὐτὰ βαστάζειν. ἡμεῖς δὲ ἡδέως τε σοῦ τὴν δέησιν ἀπεδεξάμεθα, καὶ ἐλπίσιν ἡδείαις συνεσχέθημεν. γράψαντες οὖν τὰ λοιπὰ πάντα συντελοῦμεν ἅπερ ἠξίωσας, πολλοῖς καὶ ἄλλοις ἐσόμενα χρήσιμα τὰ δια-

λογίσματα ταῦτα, καὶ μάλιστα τοῖς νεωστὶ φυσιολογίας γνησίου γεγευμένοις, καὶ τοῖς εἰς ἀσχολίας βαθυτέρας τῶν ἐγκυκλίων τινὸς ἐμπεπλεγμένοις. καλῶς δὴ αὐτὰ διάλαβε, καὶ διὰ μνήμης ἔχων, ὀξέως αὐτὰ περιόδευε, μετὰ τῶν λοιπῶν, ὧν ἐν τῇ μικρᾷ ἐπιτομῇ πρὸς Ἡρόδοτον ἀπεστείλαμεν. πρῶτον μὲν οὖν, μὴ ἄλλο τι τέλος ἐκ τῆς περὶ μετεώρων γνώσεως, εἴτε κατὰ συναφὴν λεγομένων, εἴτε αὐτοτελῶς, νομίζειν εἶναι, ἤπερ ἀταραξίαν καὶ πίστιν βέβαιον, καθάπερ καὶ ἐπὶ τῶν λοιπῶν· μήτε τὸ ἀδύνατον παραβιάζεσθαι, μήτε ὁμοίαν κατὰ πάντα τὴν θεωρίαν ἔχειν, ἢ τοῖς περὶ βίων λόγοις, ἢ τοῖς κατὰ τὴν τῶν ἄλλων φυσικῶν προβλημάτων κάθαρσιν. οἷον, ὅτι τὸ πᾶν σῶμα καὶ ἀναφὴς φύσις ἐστίν, ἢ ὅτι ἄτομα στοιχεῖα, καὶ πάντα τὰ τοιαῦτα, ἢ ὅσα μοναχὴν ἔχει τοῖς φαινομένοις συμφωνίαν· ὅπερ ἐπὶ τῶν μετεώρων οὐχ ὑπάρχειν. ἀλλὰ ταῦτά γε πλεοναχὴν ἔχει καὶ τῆς γενέσεως αἰτίαν, καὶ τῆς οὐσίας ταῖς αἰσθήσεσι σύμφωνον κατηγορίαν. οὐ γὰρ κατὰ ἀξιώματα κενὰ καὶ νομοθεσίας φυσιολογητέον, ἀλλ' ὡς τὰ φαινόμενα ἐκκαλεῖται. οὐ γὰρ ἰδιολογίας καὶ κενῆς δόξης ὁ βίος ἡμῶν ἔχει χρείαν, ἀλλὰ τοῦ ἀθορύβως ἡμᾶς ζῆν. πάντα μὲν οὐ γίνεται ἀσείστως κατὰ πάντων, κατὰ πλεοναχὸν τρόπον, ἐκκαθαιρομένων συμφώνως τοῖς φαινομένοις, ὅταν τις τὸ πιθανολογούμενον ὑπὲρ αὐτῶν δεόντως καταλίπῃ. ὅταν δέ τις τὸ μὲν ἀπολίπῃ, τὸ δὲ ἐκβάλῃ, ὁμοίως σύμφωνον ὂν τῷ φαινομένῳ, δῆλον ὅτι καὶ ἐκ παντὸς ἐκπίπτει φυσιολογήματος, ἐπὶ δὲ τὸν μῦθον καταρρεῖ. σημεῖα δέ τινα τῶν ἐν τοῖς μετεώροις συντελουμένων φέρειν τῶν παρ' ἡμῖν τινα φαινομένων, ἃ θεωρεῖται ᾗ ὑπάρχει, καὶ οὐ τὰ ἐν τοῖς μετεώροις φαινόμενα. ταῦτα γὰρ ἐνδέχεται πλεοναχῶς γενέσθαι. τὸ μέντοι φάντασμα ἑκάστων τηρητέον, καὶ ἐπὶ τὰ συναπτόμενα τούτῳ διαιρετέον. ἃ οὐκ ἀντιμαρτυρεῖται τοῖς παρ' ἡμῖν γινομένοις πλεοναχῶς συντελεῖσθαι. κόσμος

ἐστὶ περιοχή τις οὐρανοῦ, ἄστρα τε καὶ γῆν καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομὴν ἔχουσα ἀπὸ τοῦ ἀπείρου, καὶ καταλήγουσα ἐν πέρατι, ἢ ἀραιῷ ἢ πυκνῷ καὶ οὗ λυομένου, πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται, καὶ λήγουσαν ἢ ἐμπεριαγομένῳ ἢ ἐν στάσιν ἔχοντι, καὶ στρογγύλην ἢ τρίγωνον ἢ οἵαν δή ποτε περιγραφήν. πανταχῶς γὰρ ἐνδέχεται· τῶν γὰρ φαινομένων οὐδὲν ἀντιμαρτυρεῖ τῷδε τῷ κόσμῳ, ἐν ᾧ λῆγον οὐκ ἔστι καταλαβεῖν. ὅτι δὲ καὶ τοιοῦτοι κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος, ἔστι καταλαβεῖν, καὶ ὅτι καὶ ὁ τοιοῦτος δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμῳ καὶ μετακοσμίῳ, ὃ λέγομεν μεταξὺ κόσμων διάστημα, ἐν πλυκένῳ τόπῳ καὶ οὐκ ἐν μεγάλῳ εἰλικρινεῖ καὶ κενῷ, καθάπερ τινά φασιν ἐπιτηδείων τινῶν σπερμάτων, ῥυέντων ἀφ᾽ ἑνὸς κόσμου ἢ μετακοσμίου, ἢ καὶ ἀπὸ πλειόνων κατὰ μικρόν, προσθέσεις τε καὶ διαρθρώσεις καὶ μεταστάσεις ποιούντων ἐπ᾽ ἄλλον τόπον, ἂν οὕτω τύχῃ, καὶ ἐπαρδεύσεις ἐκ τῶν ἐχόντων ἐπιτηδείως ἕως τελειώσεως καὶ διαμονῆς. ἐφ᾽ ὅσον τὰ ὑποβληθέντα θεμέλια τὴν προσδοχὴν δύναται ποιεῖσθαι. οὐ γὰρ ἀθροισμὸν δεῖ μόνον γενέσθαι, οὐδὲ δῖνον ἐν ᾧ ἐνδέχεται κόσμον γίνεσθαι κενῷ κατὰ τὸ δοξαζόμενον ἐξ ἀνάγκης· αὔξεσθαί τε ἕως ἂν ἑτέρῳ προσκρούσῃ, καθάπερ τῶν φυσικῶν καλουμένων φησί τις. τοῦτο γὰρ μαχόμενόν ἐστι τοῖς φαινομένοις. ἥλιός τε καὶ σελήνη καὶ τὰ λοιπὰ ἄστρα καθ᾽ αὑτὰ γενόμενα, ὕστερον ἐμπεριελαμβάνετο ὑπὸ τοῦ κόσμου, καὶ ὅσα γε δὴ σώζει, ἀλλ᾽ εὐθὺς διεπλάττετο, καὶ αὔξησιν ἐλάμβανεν. ὁμοίως δὲ καὶ γῆ καὶ θάλαττα, καὶ τὰ προσκρίσεις καὶ δινήσεις λεπτομερῶν τινῶν φύσεων, ἤτοι πνευματικῶν, ἢ πυροειδῶν, ἢ τὸ συναμφότερον. καὶ γὰρ ταῦτα οὕτως ἡ αἴσθησις ὑποβάλλει. τὸ δὲ μέγεθος ἡλίου τε καὶ τῶν λοιπῶν ἄστρων κατὰ μέν τι πρὸς ἡμᾶς, τηλικοῦτόν ἐστιν ἡλίκον ὁποῖον φαίνεται. τοῦτο καὶ ἐν τῇ ἐνδε-

κάτῃ περὶ φύσεως. Εἰ γὰρ (φησὶ) τὸ μέγεθος διὰ τὸ διάστημα ἀποβεβλήκει, πολλῷ ἂν μᾶλλον τὴν χρόαν· ἄλλο γὰρ τούτῳ συμμετρότερον διάστημα οὐθέν ἐστι. κατὰ δὲ τὸ κατ' αὐτό, ἤτοι μεῖζον τοῦ ὁρωμένου, ἢ ἔλαττον μικρῷ, ἢ τηλικοῦτον οὐχ ἅμα. οὕτω γὰρ καὶ τὰ παρ' ἡμῖν πυρὰ ἐξ ἀποστήματος θεωρούμενα, κατὰ τὴν αἴσθησιν θεωρεῖται. καὶ πᾶν δὲ τὸ εἰς τοῦτο τὸ μέρος ἔνστημα, ῥᾳδίως διαλυθήσεται, ἐάν τις τοῖς ἐναργήμασι προσέχῃ, ὅπερ ἐν τοῖς περὶ φύσεως βιβλίοις δείκνυμεν. ἀνατολὰς καὶ δύσεις ἡλίου καὶ σελήνης καὶ τῶν λοιπῶν ἄστρων, καὶ κατὰ ἄναψιν γίνεσθαι δύνασθαι καὶ κατὰ σβέσιν, τοιαύτης οὔσης περιστάσεως καὶ καθ' ἑτέρους τοὺς τόπους, ὥστε τὰ προειρημένα ἀποτελεῖσθαι. οὐδὲν γὰρ τῶν φαινομένων ἀντιμαρτυρεῖ. κατ' ἐμφάνειάν τε ὑπὲρ γῆς, καὶ πάλιν ἐπιπρόσθεσιν τὸ προειρημένον δύναιτ' ἂν συντελεῖσθαι· οὐδὲ γάρ τι τῶν φαινομένων ἀντιμαρτυρεῖ. τάς τε κινήσεις αὐτῶν, οὐκ ἀδύνατον μὲν γίνεσθαι κατὰ τὴν τοῦ ὅλου οὐρανοῦ δίνην, ἢ τούτου μὲν στάσιν, αὐτῶν δὲ δίνην, κατὰ τὴν ἐξ ἀρχῆς ἐν τῇ γενέσει τοῦ κόσμου ἀνάγκην ἀπογεννηθεῖσαν ἐπ' ἀνατολῇ· εἶτα τῇ θερμασίᾳ κατά τινα ἐπινέμησιν τοῦ πυρὸς ἀεὶ ἐπὶ τοὺς ἑξῆς τόπους ἰόντος, τροπὰς ἡλίου καὶ σελήνης, ἐνδέχεται μὲν γίνεσθαι κατὰ λόξωσιν οὐρανοῦ, οὕτω τοῖς χρόνοις κατηναγκασμένου. ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντίξωσιν, ἢ καὶ ὕλης ἀεὶ ἐπιτηδείως ἐχομένης, καὶ ἐμπιπραμένης· τῆς δὲ καταλιπούσης, ἢ καὶ ἐξ ἀρχῆς τοιαύτην δίνην κατειληθῆναι τοῖς ἄστροις τούτοις, ὥσθ' οἷόν τε ἕλικα κινεῖσθαι. πάντα γὰρ τὰ τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ, οὐθὲν τῶν ἐναργημάτων διαφωνεῖ, ἐάν τις ἀεὶ ἐπὶ τῶν τοιούτων μερῶν ἐχόμενος τοῦ δυνατοῦ εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον τούτων δύνηται ἀπάγειν, μὴ φοβούμενος τὰς ἀνδραποδώδεις τῶν ἀστρολόγων τεχνιτείας, κενώσεις τε σελήνης

καὶ πάλιν πληρώσεις, καὶ καταστροφὴν τοῦ σώματος. τοῦτο δύναιτ᾽ ἂν γίνεσθαι καὶ κατὰ σχηματισμοὺς ἀέρος ὁμοίως, ἔτι τε καὶ κατὰ προσθέσεις καὶ κατὰ πάντας τρόπους· καθ᾽ οὓς καὶ τὰ παρ᾽ ἡμῖν φαινόμενα ἐκκαλεῖται εἰς τοὺς τύπους τοῦ εἴδους ἀποδώσεις, ἐὰν μή τις τὸν μοναχῇ τρόπον κατηγαπηκὼς, τοὺς ἄλλους κενῶς ἀποδοκιμάζῃ. οὔτε θεωρητικῶς τί δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, καὶ τί ἀδύνατον καὶ διὰ τοῦτο ἀδύνατα θεωρεῖν ἐπιθυμῶν. ἔτι τε ἐνδέχεται τὴν σελήνην ἐξ ἑαυτῆς ἔχειν τὸ φῶς, ἐνδέχεται δὲ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ παρ᾽ ἡμῖν θεωρεῖται πολλὰ μὲν ἐξ ἑαυτῶν ἔχοντα, πολλὰ δὲ ἀφ᾽ ἑτέρων· καὶ οὐδὲν ἐμποδοστατεῖ τῶν ἐν τοῖς μετεώροις φαινομένων, ἐάν τις τοῦ πλεοναχοῦ τρόπου ἀεὶ μνήμην ἔχῃ, καὶ τὰς ἀκολούθους αὐτοῖς ὑποθέσεις ἅμα καὶ αἰτίας συνθεωρῇ, μὴ α αβλέπων εἰς τὰ ἀνακόλουθα, ταῦτα, καὶ καταρρέπῃ ἄλλο τε ἄλλως ἐπὶ τὸν μοναχὸν τρόπον. ἡ δὲ ἔμφασις τοῦ προσώπου ἐν αὐτῇ δύναται μὲν γίνεσθαι καὶ κατὰ παραλλαγὴν μερῶν, καὶ κατ᾽ ἐπιπροσθέτησιν· καὶ ὅσοι πάντα ἂν τρόποι θεωροῖντο τὸ σύμφωνον τοῖς φαινομένοις κεκτημένοι. ἐπὶ πάντων γὰρ τῶν μετεώρων τὴν τοιαύτην ἴχνευσιν οὐ προσθετέον. ἣν γὰρ τισὶ μαχομένοις τοῖς ἐναργήμασιν, οὐδέποτε δυνήσεται ἀταραξίας γνησίου μεταλαβεῖν. ἔκληψις ἡλίου καὶ σελήνης δύναται μὲν γίνεσθαι καὶ κατὰ σβέσιν, καθάπερ καὶ παρ᾽ ἡμῖν τοῦτο θεωρεῖται γινόμενον· καὶ ἤδη κατ᾽ ἐπιπροσθέτησιν ἄλλων τινῶν, ἢ γῆς, ἢ οὐρανοῦ, ἤ τινος ἑτέρου τοιούτου. καὶ ὧδε τοὺς οἰκείους ἀλλήλοις τρόπους συνθεωρητέον, καὶ τὰς ἅμα συγκρίσεις τινῶν ὅτι οὐκ ἀδύνατον γίνεσθαι. ἐν δὲ τῇ δυωδεκάτῃ περὶ φύσεως ταῦτα λέγει, καὶ τὸν ἥλιον ἐκλείπειν σελήνης ἐπισκοτούσης· σελήνην δὲ, τοῦ τῆς γῆς σκιάσματος, ἀλλὰ κατ᾽ ἀναχώρησιν. τοῦτο δὲ καὶ Διογένης ὁ Ἐπικούρειος ἐν τῇ πρώτῃ τῶν ἐπιλέκτων. ἔτι τε τάξις περιόδου, καθάπερ ἔνια καὶ παρ᾽ ἡμῖν τῶν τυχόντων γίνεται, λαμ-

βανέσθω

βανέσθω, καὶ ἡ θεία φύσις πρὸς ταῦτα μηδαμῇ προσαγέσθω, ἀλλὰ ἀλειτούργητος διατηρείσθω, καὶ ἐν τῇ πάσῃ μακαριότητι. ὡς, εἰ τοῦτο μὴ πραχθήσεται, ἅπασα ἡ τῶν μετεώρων αἰτιολογία ματαία ἔσται, καθάπερ τισὶν ἤδη ἐγένετο οὐ δυνατοῦ τρόπου ἐφαψαμένοις, εἰς δὲ τὸ μάταιον ἐκπεσοῦσι, τῷ καθ' ἕνα τρόπον μόνον οἴεσθαι γίνεσθαι, τοὺς δ' ἄλλους ἅπαντας τοὺς κατὰ τὸ ἐνδεχόμενον ἐκβάλλειν, εἴς τε τὸ ἀδιανόητον φερομένοις· καὶ τὰ φαινόμενα δὴ σημεῖα ἀποδέχεσθαι μὴ δυναμένοις, σὺν θεῷ χαίρειν, μήκη νυκτῶν καὶ ἡμερῶν παραλλάττοντα, καὶ παρὰ τὸ ταχείας ἡλίου κινήσεις γίνεσθαι, καὶ πάλιν βραδείας ὑπὲρ γῆς, παρὰ τὸ μήκη τόπων παραλλάττοντα καὶ τόπους τινὰς περαιοῦντα τάχιον, ὡς καὶ παρ' ἡμῖν, ἢ καὶ βραδύτερον τινὰ θεωρεῖται, οἷς συμφώνως δεῖ λέγειν ἐπὶ τῶν μετεώρων. οἱ δὲ τὸ ἓν λαμβάνοντες, τοῖς τε φαινομένοις μάχονται, καὶ τοῦ εἰ δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, διαπεπτώκασιν· ἐπισημασίαι δύνανται γίνεσθαι καὶ κατὰ συγκρίσεις καιρῶν, καθάπερ ἐν τοῖς ἐμφανέσι παρ' ἡμῖν ζώοις, καὶ παρ' ἑτεροιώσεις ἀέρος καὶ μεταβολῆς. ἀμφότερα γὰρ ταῦτα οὐ μάχεται τοῖς φαινομένοις. ἐπὶ δὲ ποίοις παρὰ τοῦτο ἢ τοῦτο τὸ αἴτιον γίνεται, οὐκ ἔστι συνιδεῖν ἐφ' ᾗ γίνεσθαι καὶ συνίστασθαι δύναται, καὶ παρὰ πιλήσεις ἀέρος πνευμάτων συνώσεως, καὶ παρὰ περιπλοκὰς ἀλληλούχων ἀτόμων, καὶ ἐπιτηδείων εἰς τὸ τοῦτο τελέσαι· καὶ κατὰ ῥευμάτων συλλογὴν ἀπό τε γῆς καὶ ὑδάτων, καὶ κατ' ἄλλους δὲ τρόπους πλείους αἱ τῶν τοιούτων συστάσεις οὐκ ἀδυνατοῦσι συντελεῖσθαι. ἤδη δ' ἐπ' αὐτῶν, ἡ μὲν, θλιβομένων, ἡ δὲ, μεταβαλλόντων, ὕδατα δύναται συντελεῖσθαι, ἔτι τε πνεύματα, κατὰ ἀποφορὰς ἀπὸ ἐπιτηδείων τόπων, καὶ δι' ἀέρος κινουμένων, βιαιοτέρας ἐπαρδεύσεως γινομένης ἀπό τινων ἀθροισμάτων, ἐπιτηδείων εἰς τὰς τοιαύτας ἐπιπέμψεις, βροντὰς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πνεύματος ἐν τοῖς κοιλώμασι τῶν νεφῶν

ἀνείλησιν, καθάπερ ἐν τοῖς ἡμετέροις ἀγγείοις, καὶ παρὰ
πυρὸς πεπνευματωμένου βόμβον ἐν αὐτοῖς, καὶ κατὰ ῥή-
ξεις δὲ νεφῶν, καὶ διαστάσεις. καὶ κατὰ παρατρίψεις δὲ
νεφῶν καὶ τάξεις πῆξιν εἰληφότων κρυσταλλοειδῆ, καὶ τὸ
ὅλον καὶ τοῦτο τὸ μέρος πλεοναχῶς γίνεσθαι λέγειν, ἐκκα-
λεῖται τὰ φαινόμενα. καὶ ἀστραπαὶ δὲ ὡσαύτως γίνον-
ται κατὰ πλείους τρόπους. καὶ γὰρ κατὰ παράτριψιν καὶ σύγ-
κρουσιν νεφῶν ὁ πυρὸς ἀποτελεστικὸς σχηματισμὸς ἐξολι-
σθαίνων ἀστραπὴν γεννᾷ, καὶ κατ' ἐκριπισμὸν ἐκ τῶν νε-
φῶν ὑπὸ πνευμάτων τοιούτων σωμάτων, ἃ τὴν λαμπη-
δόνα ταύτην παρασκευάζει, καὶ κατ' ἐκπιασμὸν θλίψε-
ως τῶν νεφῶν γινομένης, εἴθ' ὑπ' ἀλλήλων, εἴθ' ὑπὸ πνευ-
μάτων. καὶ κατὰ περίληψιν δὲ τοῦ ἀπὸ τῶν ἄστρων κατεσπα-
ρμένου φωτός, εἶτα συνελαυνομένου ὑπὸ τῆς κινήσεως
νεφῶν τε καὶ πνευμάτων, καὶ διεκπίπτοντος διὰ τῶν νε-
φῶν· ἢ κατὰ διήθησιν τῶν νεφῶν τοῦ λεπτομερεστάτου φωτὸς
ἢ ἀπὸ τοῦ πυρὸς νέφη συνειλέχθαι, καὶ τὰς βροντὰς ἀποτε-
λεῖσθαι, καὶ κατὰ τὴν τούτου κίνησιν, καὶ κατὰ τὴν τοῦ πνεύ-
ματος ἐκπύρωσιν, τὴν γινομένην διά τε συντονίαν φορ-
καὶ διὰ σφοδρὰν κατείλησιν. καὶ κατὰ ῥήξεις δὲ νεφῶν ὑπ-
πνευμάτων ἔκπτωσιν τῶν πυρὸς ἀποτελεστικῶν ἀτόμω-
καὶ τὸ τῆς ἀστραπῆς φάντασμα ἀποτελουσῶν· καὶ κα-
ἄλλους δὲ πλείους τρόπους ῥᾳδίως ἔσται καθορᾶν ἐχόμε-
καὶ τῶν φαινομένων, καὶ τὸ τούτοις ὅμοιον δυναμένο-
συνθεωρεῖν. προτερεῖ δὲ ἀστραπὴ βροντῆς, ἐν τοιᾷδε
νι περιστάσει νεφῶν, καὶ διὰ τὸ ἅμα τῷ τὸ πνεῦμα ἐμπ-
πλεῖν, ἐξωθεῖσθαι τὸν ἀστραπῆς ἀποτελεστικὸν σχημα-
σμόν· ὕστερον δὲ τὸ πνεῦμα ἀνειλούμενον, τὸν βόμβ-
ἀποτελεῖν τοῦτον· καὶ κατ' ἔμπτωσιν δὲ ἀμφοτέρων
μα τῷ τάχει συντονωτέρῳ κεχρῆσθαι πρὸς ἡμᾶς τ-
ἀστραπήν. ὑστερεῖν δὲ τὴν βροντήν, καθάπερ ἐπ' ἐνί-
ἐξ ἀποστήματος θεωρουμένων, καὶ πληγάς τινας ποι-

μένων, κεραυνοὺς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πλείονας πνευμάτων συλλογὰς, καὶ κατείλησιν, ἰσχυρὰν τε ἐκπύρωσιν, καὶ κατάῤῥηξιν μέρους, καὶ ἔκπτωσιν ἰσχυροτέραν αὐτοῦ ἐπὶ τοὺς κάτω τόπους· τῆς ῥήξεως γινομένης διὰ τὸ τοὺς ἑξῆς τόπους πυκνοτέρους εἶναι, διὰ πίλησιν τῶν νεφῶν, καὶ κατὰ ταύτην δὲ τὴν τοῦ πυρὸς ἔκπτωσιν ἀνειλουμένου. καθὰ καὶ βροντὴν ἐνδέχεται πλείονος γίνεσθαι γινομένου καὶ πνευματωθέντος ἰσχυρότερον, καὶ ῥήξαντος τὸ νέφος, διὰ τὸ μὴ δύνασθαι ὑποχωρεῖν εἰς τὰ ἑξῆς, τῷ πίλησιν γίνεσθαι· τὸ μὲν πολὺ, πρὸς ὄρος τι ὑψηλὸν, ἐν ᾧ μάλιστα κεραυνοὶ πίπτουσιν ἀεὶ πρὸς ἄλληλα. καὶ κατ' ἄλλους δὲ τρόπους πλείονας ἐνδέχεται κεραυνοὺς ἀποτελεῖσθαι, μόνον ὁ μῦθος ἀπέστω· ἀπέσται δὲ, ἐάν τις καλῶς τοῖς φαινομένοις ἀκολουθῶν, περὶ τῶν ἀφανῶν σημειῶται. πρηστῆρας ἐνδέχεται γίνεσθαι καὶ κατὰ θέσιν νέφους εἰς τοὺς κάτω τόπους, ἀλλοειδῶς ὑπὸ πνεύματος ἀθρόου ὠσθέντος, καὶ διὰ τοῦ πνεύματος πολλοῦ φερομένου, ἅμα καὶ τὸ νέφος εἰς τὸ πλησίον ὠθοῦντος τοῦ ἐκτὸς πνεύματος· καὶ κατὰ περίστασιν δὲ πνεύματος εἰς κύκλον ἀέρος τινὸς ἐπισωματουμένου ἄνωθεν, καὶ ῥήξεως πολλῆς πνευμάτων γινομένης, καὶ οὐ δυναμένης ἐς τὰ πλάγια διαῤῥυῆναι διὰ τὴν πέριξ τοῦ ἀέρος πίλησιν. καὶ ἕως μὲν γῆς τοῦ πρηστῆρος καθιεμένου, στρόβιλοι γίνονται, ὡς ἂν καὶ ἡ ἀπογέννησις κατὰ τὴν κίνησιν τοῦ πνεύματος γίνηται· ἕως δὲ θαλάττης δῖνοι ἀποτελοῦνται. σεισμοὺς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πνεύματος ἐν τῇ γῇ ἀπόληψιν, καὶ παρὰ μικροὺς ὄγκους αὐτῆς παράθεσιν, καὶ συνεχῆ κίνησιν, ὅταν κραδασμὸν τῇ γῇ παρασκευάζῃ, καὶ τὸ πνεῦμα τοῦτο ἢ ἔξωθεν ἐμπεριλαμβάνῃ ἐκ τοῦ πίπτειν εἰς ἐδάφη, ἢ εἰς ἀντροειδεῖς τόπους τῆς γῆς ἐκ πνευμάτων τὸν πεπιλημένον

ἀέρα. κατὰ ταύτην δὲ τὴν διάδοσιν τῆς κινήσεως ἐκ τῶν πτώσεων ἐδαφῶν πολλῶν, καὶ πάλιν ἀνταποδίδωσιν ὅταν πυκνώμασι σφοδροτέροις τῆς γῆς ἀπαντήσῃ, ἐνδέχεται σεισμοὺς ἀποτελεῖσθαι. καὶ κατ᾽ ἄλλους δὲ τρόπους πλείονας τὰς κινήσεις ταύτας τῆς γῆς γίνεσθαι. τὰ δὲ πνεύματα συμβαίνει γίνεσθαι κατὰ χρόνον, ἀλλοφυλίας τινὸς ἀεὶ καὶ κατὰ μικρὸν παρεισδυομένης, καὶ καθ᾽ ὕδατος ἀφθόνου συλλογήν. τὰ δὲ λοιπὰ πνεύματα γίνεται καὶ ὀλίγων πεσόντων εἰς τὰ πολλὰ κοιλώματα, διαδόσεως τούτων γινομένης. χάλαζα συντελεῖται καὶ κατὰ πῆξιν ἰσχυροτέραν· πάντοθεν δὲ πνευματωδῶν περιϊστᾶσιν τινῶν καὶ καταμέρισιν, καὶ πῆξιν μετριωτέραν, ὑδατοειδῶν τινῶν ὁμοῦ ῥῆξιν, ἅμα τήν τε σύνωσιν αὐτῶν ποιουμένην καὶ διάρρηξιν πρὸς τὸ κατὰ μέρη συνίστασθαι, πηγνύμενα καὶ κατὰ ἀθρότητα. ἡ δὲ περιφέρεια οὐκ ἀδυνάτως μὲν ἔχει γίνεσθαι, πάντοθεν τῶν ἄκρων ἀποτηκομένων, καὶ ἐν τῇ συστάσει πάντοθεν, ὡς λέγεται, καὶ τὰ μέρη ὁμαλῶς περιϊσταμένων, εἴτε ὑδατοειδῶν τινῶν, εἴτε πνευματωδῶν. χιόνα δὲ ἐνδέχεται συντελεῖσθαι καὶ ὕδατος λεπτοῦ ἐκχεομένου ἐκ τῶν νεφῶν διαφορῶν συμμετρίας, καὶ θλίψεως ἐπιτηδείων νεφῶν, καὶ ὑπομνήματος σπορᾶς· εἶτα τούτου πῆξιν ἐν τῇ φορᾷ λαμβάνοντος, διά τινα ἰσχυρὰν ἐν τοῖς κατωτέρω τόποις τῶν νεφῶν ψυχρασίας περίστασιν. καὶ κατὰ πῆξιν δὲ ἐν τοῖς νέφεσιν ὁμαλὴν ἀραιότητα ἔχουσι τοιαύτην προαίρεσις ἐκ τῶν νεφῶν γίνοιτο ἄν, πρὸς ἄλλα θλιβομένων ὑδατοειδῶν καὶ συμπαρακειμένων· ἃ οἱονεὶ σύνωσιν ποιούμενα, χάλαζαν ἀποτελεῖ. ὃ μάλιστα γίνεται ἐν τῷ ἀέρι. καὶ κατὰ τρίψιν δὲ νεφῶν πῆξιν εἰληφότων ἀπόπαλσιν ἀναλαμβάνει τὸ τῆς χιόνος τοῦτο ἄθροισμα. καὶ κατ᾽ ἄλλους δὲ τρόπους ἐνδέχεται χιόνα συντελεῖσθαι. δρόσος συντελεῖται καὶ κατὰ σύνοδον πρὸς ἄλληλα ἐκ τοῦ ἀέρος τῶν τοιούτων, ἃ τῆς τοιαύτης ὑγρασίας ἀποτελεστικὰ

γίνεται. καὶ κατὰ φορὰν δὲ, ἢ ἀπὸ νοτερῶν τόπων, ἢ ὕδα-
τα κεκτημένων, ἐν τοῖς τόποις μάλιστα δρόσος συντελεῖται.
εἶτα σύνοδον τούτων εἰς τὸ αὐτὸ λαβόντων, καὶ ἀποτελέ-
σιν ὑγρασίας, καὶ πάλιν φορὰν ἐπὶ τοῖς κάτω τόποις, (κα-
θάπερ ὁμοίως καὶ παρ' ἡμῖν ἐπὶ πλειόνων συντελεῖται
τοιαῦτά τινα) τῶν δρόσων τούτων πῆξιν τινὰ ποιὰν λαβόν-
των διὰ περίστασιν τινὰ ἀέρος ψυχροῦ, κρύσταλλος συντε-
λεῖται· καὶ κατ' ἔκθλιψιν μὲν τοῦ περιφεροῦς σχηματισμοῦ
ἐκ τοῦ ὕδατος, σύνωσιν δὲ τῶν σκαληνῶν καὶ ὀξυγωνίων
τῶν ἐν τῷ ὕδατι ὑπαρχόντων· καὶ κατὰ ἔξωθεν δὲ τῶν
τοιούτων πρόσκρισιν· ἃ συνελασθέντα, πῆξιν τῷ ὕδατι
παρεσκεύασε, ποσὰ τῶν περιφερῶν ἐκθλίψαντα. Ἶρις γί-
νεται κατὰ πρόσλαμψιν ὑπὸ τοῦ ἡλίου πρὸς ἀέρα ὑδα-
τοειδῆ, ἢ κατ' ἀέρος φύσιν ἰδίαν τοῦ τε φωτὸς καὶ τοῦ ἀέ-
ρος, ἢ τὰ τῶν χρωμάτων τούτου ἰδιώματα ποιήσει, εἴτε πάντα,
εἴτε μονοειδῶς. ἀφ' οὗ πάλιν ἀπολάμποντος τὰ ὁμοροῦν-
τα τοῦ ἀέρος χρῶσιν τοιαύτην λήψεται, οἵαν θεωροῦμεν κατὰ
πρόσλαμψιν πρὸς τὰ μέρη. τὸ δὲ τῆς περιφερείας τοῦτο
φάντασμα γίνεται, διὰ τὸ διάστημα πάντοθεν ἴσον ὑπὸ τῆς
ὄψεως θεωρεῖσθαι, ἢ σύνωσιν τοιαύτην λαμβανουσῶν τῶν
ἐν τῷ ἀέρι ἀτόμων, ἢ ἐν τοῖς νέφεσιν ἀπὸ τοῦ αὐτοῦ ἀέρος προσ-
φερομένου πρὸς τὴν σελήνην, ἀποφερομένων ἀτόμων, πε-
ριφέρειάν τινα καθίεσθαι εἰς τὴν σύγκρισιν ταύτην. ἅλως
περὶ τὴν σελήνην γίνεται, καὶ κατὰ πάντοθεν ἀέρος προσ-
φερομένου πρὸς τὴν σελήνην, ἢ τὰ ἀπ' αὐτῆς ῥεύματα
ἀποφερόμενα ὁμαλῶς ἀναστέλλοντα ἐπὶ τοσοῦτον ἐφ' ὅσον
κύκλῳ περὶ τῆς εἰς τὸ νεφοειδὲς τοῦτο καὶ μὴ τὸ παράπαν
διακρίνῃ, ἢ καὶ τὸν πέριξ ἀέρα αὐτῆς ἀναστέλλοντες συμμέ-
τρως πάντοθεν, εἰς τὸ περιφερὲς τὸ περὶ αὐτὴν καὶ πα-
χυμερὲς περιστῆσαι. ὃ γίνεται κατὰ μέρη τινὰ, ἤτοι ἔξω-
θεν βιασαμένου τινὸς ῥεύματος, ἢ τῆς θερμασίας ἐπιτη-
δείων πόρων ἐπιλαμβανομένης, εἰς τὸ τοῦτο ἀπεργάσασθαι.

κομῆται ἀστέρες γίνονται, ἤτοι πυρὸς ἐν τόποις τισὶ διὰ χρόνων τινῶν ἐν τοῖς μετεώροις συστρεφομένου, περιστάσεως γινομένης, ἰδίαν τινὰ κίνησιν διὰ χρόνων τοῦ οὐρανοῦ ἴσχοντος ὑπὲρ ἡμᾶς· ὥστε τὰ τοιαῦτα ἄστρα ἀναφαίνεσθαι, ἢ αὐτὰ ἐν χρόνοις τισὶν ὁρμῆσαι διά τινα περίστασιν, καὶ εἰς τοὺς καθ' ἡμᾶς τόπους ἐλθεῖν καὶ ἐκφανῆ γενέσθαι. τήν τε ἀφάνισιν τούτων γίνεσθαι παρὰ τὰς ἀντικειμένας ταύταις αἰτίας τινὰ ἀναστρέφεται αὐτοῦ. ὃ συμβαίνει, οὐ μόνον τῷ τὸ μέρος τοῦτο τοῦ κόσμου ἑστάναι, περὶ ὃ τὸ λοιπὸν ἀναστρέφεται, (καθάπερ τινὲς φασὶν) ἀλλὰ καὶ τῷ δίνην ἀέρος ἔγκυκλον αὐτῷ περιεστάναι, ἣ κωλυτικὴ γίνεται τοῦ περιπολεῖν, ὡς καὶ τὰ ἄλλα· ἢ καὶ διὰ τὸ ἑξῆς μὲν αὐτῆς ὕλην ἐπιτηδείαν μὴ εἶναι. ἐν δὲ τούτῳ τῷ τόπῳ ἐν ᾧ κείμενα θεωρεῖται, καὶ κατ' ἄλλους πλείονας τρόπους τοῦτο δυνατὸν συντελεῖσθαι· ἐάν τις δύνηται τὸ σύμφωνον τοῖς φαινομένοις συλλογίζεσθαι. τινὰ τῶν ἄστρων πλανᾶσθαι, εἰ οὕτω ταῖς κινήσεσι χρώμενα συμβαίνει, τινὰ δὲ μὴ κινεῖσθαι. ἐνδέχεται μὲν καὶ παρὰ τῷ κύκλῳ κινούμενα ἐξ ἀρχῆς οὕτω κατηναγκάσθαι, ὥστε τὰ μὲν κατὰ τὴν αὐτὴν δίνην φέρεσθαι ὁμαλὴν οὖσαν, τὰ δὲ, κατὰ τὴν ἅμα τισὶν ἀνωμαλίαις χρωμένην· ἐνδέχεται δὲ καὶ καθ' οὓς τρόπους φέρεται, οὗ παρεκτάσεις ἀέρος εἶναι ὁμαλὰς ἐπὶ τὸ αὐτὸ συνωθούσας κατὰ τὸ ἑξῆς, ὁμαλῶς τε ἐκκαούσας· οὐδὲ ἀνωμαλεῖς οὕτως ὥστε τὰς θεωρουμένας παραλλαγὰς συντελεῖσθαι. τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλεοναχῶς τῶν φαινομένων ἐκκαλουμένων, μανικὸν καὶ οὐ καθηκόντως πραττόμενον ὑπὸ τῶν τὴν ματαίαν ἀστρολογίαν ἐζηλωκότων, καὶ εἰς τὸ κενὸν αἰτίας τινῶν ἀποδιδόντων, ὅταν τὴν θείαν φύσιν μηδαμῆ λειτουργιῶν ἀπολύουσι. τινὰ ἄστρα ἀπολειπόμενα τινῶν θεωρεῖσθαι συμβαίνει, καὶ παρὰ τὸ βρα-

ὕστερον συμπεριφέρεσθαι τὸν αὐτὸν κύκλον περιιόντα, καὶ παρὰ τὸ τὴν ἐναντίαν κινεῖσθαι, ἀντισπώμενα ὑπὸ τῆς αὐτῆς δίνης, καὶ παρὰ τὸ περιφέρεσθαι, τὰ μὲν διὰ πλείονος τόπου, τὰ δὲ δι' ἐλάττονος τὴν αὐτὴν δίνην περικυκλοῦντα. τὸ δὲ ἁπλῶς ἀποφαίνεσθαι περὶ τούτων, καθῆκόν ἐστι τοῖς τερατεύεσθαί τι πρὸς τοὺς πολλοὺς βουλομένοις. οἱ λεγόμενοι ἀστέρες ἐκπίπτειν, καὶ παρὰ μέρος, καὶ παρὰ τρῖψιν ἑαυτῶν δύναται συντελεῖσθαι, καὶ παρὰ ἔκπτωσιν οὗ ἂν ἡ ἐκπνευμάτωσις γίνεται, καθάπερ καὶ ἐπὶ τῶν ἀστραπῶν ἐλέγομεν· καὶ κατὰ σύνοδον δὲ ἀτόμων πυρὸς ἀποτελεστικῶν, συμφιλίας γενομένης εἰς τὸ τοῦτο τελέσαι, καὶ κατὰ κίνησιν οὗ ἂν ἡ ὁρμὴ κατὰ τὴν σύνοδον ἐξ ἀρχῆς γένηται· καὶ κατὰ πνεύματος δὲ συλλογὴν ἐν πυκνώμασί τισιν ὁμιχλοειδέσι, κατ' ἐκπύρωσιν τούτων, διὰ τὴν κατάλισιν εἶτ' ἐπίκρηξιν τῶν περιεχόντων, καὶ ἐφ' ὃν ἂν τόπον ἡ ὁρμὴ γένηται, τῆς φορᾶς εἰς τοῦτον φερομένης. καὶ ἄλλοι δὲ τρόποι εἰς τὸ τοῦτο τελέσαι ἀμύθητοι εἰσίν. αἱ δ' ἐπισημασίαι αἱ γινόμεναι ἐπί τισι ζώοις, κατὰ συγκύρημα γίνονται τοῦ καιροῦ. οὐ γὰρ τὰ ζῷα ἀνάγκην τινὰ προσφέρεται τοῦ ἀποτελεσθῆναι χειμῶνα. οὐδὲ κάθηταί τις θεία φύσις παρατηροῦσα τὰς τῶν ζώων τούτων ἐξόδους, κἄπειτα τὰς ἐπισημασίας ταύτας ἀποτελεῖ. οὐδὲ γὰρ εἰς τὸ τυχὸν ζῷον κἂν μικρῷ χαριέστερον ᾖ, ἡ τοιαύτη μωρεία ἐκπέσῃ, μὴ ὅτι εἰς παντελῆ εὐδαιμονίαν κεκτημένον. ταῦτα δὴ πάντα Πυθόκλεις μνημόνευσον. κατὰ πολύ τε γὰρ τοῦ μύθου ἐκβήσῃ, καὶ τὰ ὁμογενῆ τούτοις συνορᾶν δυνήσῃ. μάλιστα δὲ σεαυτῷ ἀποδόσεις τὴν τῶν ἀρχῶν, καὶ ἀπειρίας, καὶ τῶν συγγενῶν τούτοις θεωρίαν ἔτι τε κριτηρίων καὶ παθῶν, καὶ οὗ ἕνεκεν ταῦτα ἐκλογιζόμεθα. ταῦτα γὰρ μάλιστα συνθεωρούμενα, ῥᾳδίως τὰς περὶ τῶν κατὰ μέρος αἰτίας συνορᾶν ποιήσει. οἱ δὲ ταῦτα μὴ καταγαπήσαντες, ἢ μάλιστα, οὔτε

αὐτὰ ταῦτα καλῶς συνθεωρήσαιμεν, οὔτε οὗ ἕνεκεν δεῖ θεωρεῖν ταῦτα περιεποιήσαντο. ταῦτα αὐτῷ καὶ περὶ τῶν μετεώρων δοκεῖ.

Περὶ δὲ τῶν βιωτικῶν, καὶ ὅπως χρὴ τὰ μὲν ἡμᾶς ἐκφεύγειν, τὰ δ' αἱρεῖσθαι, οὑτωσὶ γράφει. πρότερον δὲ διέλθωμεν ἅ τε αὐτῷ δοκεῖ περὶ τοῦ σοφοῦ καὶ τοῖς ἀπ' αὐτοῦ. βλάβας ἐξ ἀνθρώπων, ἢ διὰ μῖσος, ἢ διὰ φθόνον, ἢ διὰ καταφρόνησιν γίνεσθαι, ὧν τὸν σοφὸν λογισμῷ περιγίνεσθαι. ἀλλὰ καὶ τὸν ἅπαξ γενόμενον σοφὸν, μηκέτι τὴν ἐναντίαν λαμβάνειν διάθεσιν, μηδὲ πλάττειν ἑκόντα πάθεσι μᾶλλον συσχεθήσεσθαι, οὐκ ἂν ἐμποδίσαι πρὸς τὴν σοφίαν. οὐδὲ μὴν ἐκ πάσης σώματος ἕξεως σοφὸν γενέσθαι ἄν, οὐδ' ἐν παντὶ ἔθνει. κἂν στρεβλωθῇ δ' ὁ σοφὸς, εἶναι αὐτὸν εὐδαίμονα· μόνον τε χάριν ἕξειν τὸν σοφὸν, φίλοις καὶ παροῦσι καὶ ἀποῦσιν ὁμοίως, διά τε λόγου. ὅτε μέντοι στρεβλοῦται, ἔνθα καὶ μύζει καὶ οἰμώζει. γυναικί τε οὐ μιγήσεσθαι τὸν σοφὸν ἣ οἱ νόμοι ἀπαγορεύουσιν, ὥς φησι Διογένης ἐν τῇ ἐπιτομῇ τῶν Ἐπικούρου ἠθικῶν δογμάτων. οὔτε κολάσειν οἰκέτας, ἐλεήσειν μέντοι καὶ συγγνώμην τινὶ ἕξειν τῶν σπουδαίων. ἐρασθήσεσθαι τὸν σοφὸν οὐ δοκεῖ αὐτοῖς, οὐδὲ ταφῆς φροντιεῖν· οὐδὲ θεόπεμπτον εἶναι τὸν ἔρωτα, ὡς Διογένης ἐν τῷ ιβ φησίν. οὐδὲ ῥητορεύσειν καλῶς. συνουσίη δὲ (φασὶν) ὤνησε μὲν οὐδέποτε, ἀγαπητὸν δὲ εἰ μὴ καὶ ἔβλαψεν. καὶ μὴν καὶ γαμήσειν καὶ τεκνοποιήσειν τὸν σοφὸν, ὡς Ἐπίκουρος ἐν ταῖς διαπορείαις, καὶ ἐν ταῖς περὶ φύσεως. κατὰ περίστασιν δέ ποτε βίου, γαμήσειν καὶ διατραπήσεσθαί τινας. οὐδὲ μὴν τηρήσειν ἐν μέθῃ φησὶν ὁ Ἐπίκουρος ἐν τῷ συμποσίῳ· οὐδὲ πολιτεύσεσθαι, ὡς ἐν τῇ πρώτῃ περὶ βίων, οὐδὲ τυραννεύσειν· οὐδὲ κωυιεῖν, ἐν τῇ δευτέρᾳ περὶ βίων· οὐδὲ πτωχεύσειν, ἀλλὰ καὶ πηρωθεὶς τὰς ὄψεις, μεθέξειν αὐτὸν τοῦ βίου, ὡς ἐν τῇ αὐτῇ φησί· καὶ λυπηθήσεσθαι δὲ τὸν σοφὸν, ὡς

ὁ Διογένης ἐν τῇ πέμπτῃ τῶν ἐπιλέκτων, καὶ δικάσεσθαι, καὶ συγγράμματα καταλείψειν, οὐ πανηγυρεῖν δέ· κτήσεως προνοήσεσθαι, καὶ τοῦ μέλλοντος· φιλαγρήσειν, τύχῃ τε ἀντιτάξεσθαι, φίλον τε οὐδένα κτήσεσθαι. εὐδοξίας ἐπὶ τοσοῦτον προνοήσεσθαι ἐφ᾽ ὅσον μὴ καταφρονήσεσθαι· μᾶλλόν τε εὐφρανθήσεσθαι τῶν ἄλλων ἐν ταῖς θεωρίαις. ἁμαρτήματα, ἄνισα εἶναι· καὶ τὴν ὑγίειαν τισὶ μὲν, ἀγαθὸν, τισὶ δὲ, ἀδιάφορον. τὴν δὲ ἀνδρείαν φύσει μὴ γίνεσθαι, λογισμῷ δὲ τοῦ συμφέροντος· καὶ τὴν φιλίαν διὰ τὰς χρείας. δεῖν μὲν τοι προκατάρχεσθαι, (καὶ γὰρ τὴν γῆν σπείρομεν) συνίστασθαι δὲ αὐτὴν κατὰ κοινωνίαν ἐν ταῖς ἡδοναῖς. τὴν εὐδαιμονίαν διχῇ νοεῖσθαι, τήν τε ἀκροτάτην, οἵα ἐστὶ περὶ τὸν θεὸν, ἐπίτασιν οὐκ ἔχουσαν· καὶ τὴν προσθήκην καὶ ἀφαίρεσιν ἡδονῶν. εἰκόνας τε ἀναθήσειν εἰ ἔχοι, ἀδιαφόρως ἂν σχοίης. μόνον τε τὸν σοφὸν ὀρθῶς ἂν περί τε μουσικῆς καὶ ποιητικῆς διαλέξεσθαι. ποιήματά τε ἐνεργεῖν οὐκ ἂν ποιῆσαι· οὐ κινεῖταί τε ἑτέρου ἕτερον σοφώτερον. χρηματίσεσθαί τε, ἀλλ᾽ ἀπὸ μόνης σοφίας ἀπορήσαντα. καὶ μόναρχον ἐν καιρῷ θεραπεύσειν, καὶ ἐπιχαρείσεσθαί τινι ἐπὶ τῷ διορθώματι, καὶ σχολὴν κατασκευάσειν. ἀλλ᾽ οὐχ ὥστε ὀχλαγωγῆσαι· καὶ ἀναγνώσεσθαι ἐν πλήθει, ἀλλ᾽ οὐχ ἑκόντα· δογματιεῖν τε, καὶ οὐκ ἀπορήσειν· τὸν καθ᾽ ὕπνους ὅμοιον ἔσεσθαι, καὶ ὑπὲρ φίλου ποτὲ τεθνήξεσθαι. ταῦτα δοκεῖ αὐτοῖς. μετιτέον δὲ ἐπὶ τὴν ἐπιστολήν.

Ἐπίκουρος Μενοικεῖ χαίρειν.

Μήτε νέος τις ὢν μελλέτω φιλοσοφεῖν· μήτε γέρων ὑπάρχων, κοπιάτω φιλοσοφῶν. οὔτε γὰρ ἄωρος οὐδείς ἐστιν, οὔτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαῖνον. ὁ δὲ λέγων ἢ μήπω τοῦ φιλοσοφεῖν ὑπάρχειν ὥραν, ἢ παρεληλυθέναι τὴν ὥραν, ὅμοιός ἐστι τῷ λέγοντι, πρὸς εὐδαιμονίαν ἢ μὴ παρεῖναι τὴν ὥραν, ἢ μηκέτι εἶναι. ὥστε φιλοσοφητέον καὶ νέῳ καὶ γέροντι· τῷ μὲν, ὅπως γηράσκων νεάζῃ

τοῖς ἀγαθοῖς διὰ τὴν χάριν τῶν γεγονότων· τῷ δὲ, ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν τῶν μελλόντων. μελετᾶν οὖν χρὴ τὰ ποιοῦντα τὴν εὐδαιμονίαν, εἴπερ παρούσης μὲν αὐτῆς, πάντα ἔχομεν· ἀπούσης δὲ, πάντα πράττομεν εἰς τὸ ταύτην ἔχειν. ἃ δέ σοι συνεχῶς παρήγγελον, ταῦτα καὶ πράττε καὶ μελέτα, στοιχεῖα τοῦ καλῶς ζῆν ταῦτ' εἶναι διαλαμβάνων· πρῶτον μὲν, τὸν θεὸν, ζῶον ἄφθαρτον καὶ μακάριον νομίζων, ὡς ἡ κοινὴ τοῦ θεοῦ νόησις ὑπεγράφη· μηδὲν μήτε τῆς ἀφθαρσίας ἀλλότριον, μήτε τῆς μακαριότητος ἀνοίκειον αὐτῷ πρόσαπτε. πᾶν δὲ τὸ φυλάττειν αὐτοῦ δυνάμενον τὴν μετὰ ἀφθαρσίας μακαριότητα, περὶ αὐτὸν δόξαζε· θεοὶ μὲν γάρ εἰσιν. ἐναργὴς μὲν γάρ ἐστιν αὐτῶν ἡ γνῶσις. οἵους δ' αὐτοὺς πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· οὐ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νομίζουσιν. ἀσεβὴς δὲ, οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς τῶν πολλῶν δόξας θεοῖς προσάπτων. οὐ γὰρ προλήψεις εἰσὶν, ἀλλ' ὑπολήψεις ψευδεῖς αἱ τῶν πολλῶν ὑπὲρ θεῶν ἀποφάσεις· ἔνθεν αἱ μέγισται βλάβαι, αἴτιαι τοῖς κακοῖς ἐκ θεῶν ἐπάγονται καὶ ὠφέλειαι. ταῖς γὰρ ἰδίαις οἰκειούμενοι διὰ παντὸς ἀρεταῖς τοὺς ὁμοίους ἀποδέχονται, πᾶν τὸ μὴ τοιοῦτον, ὡς ἀλλότριον νομίζοντες. συνέθιζε δὲ ἐν τῷ νομίζειν μηδὲν πρὸς ἡμᾶς εἶναι τὸν θάνατον. ἐπεὶ πᾶν ἀγαθὸν καὶ κακὸν ἐν αἰσθήσει· στέρησις δέ ἐστιν αἰσθήσεως, ὁ θάνατος. ὅθεν γνῶσις ὀρθὴ τοῦ μηδὲν εἶναι πρὸς ἡμᾶς τὸν θάνατον, ἀπολαυστὸν ποιεῖ τὸ τῆς ζωῆς θνητὸν· οὐκ ἄπορον προστιθεῖσα χρόνον, ἀλλὰ τὸν ἀθανασίας ἀφελομένη πόθον. οὐθὲν γάρ ἐστιν ἐν τῷ ζῆν δεινὸν, τῷ κατειληφότι γνησίως τὸ μηδὲν ὑπάρχειν ἐν τῷ μὴ ζῆν δεινόν. ὥστε μάταιος ὁ λέγων δεδιέναι τὸν θάνατον, οὐχ ὅτι λυπήσει παρὼν, ἀλλ' ὅτι λυπεῖ μέλλων. ὁ γὰρ παρὼν, οὐκ ἐνοχλεῖ· τὸ δὲ προσδοκώ-

μένον, κενῶς λυπεῖ. τὸ φρικωδέστατον οὖν τῶν κακῶν ὁ θάνατος, οὐδὲν πρὸς ἡμᾶς· ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν· ὅταν δὲ ὁ θάνατος παρῆ, τόθ' ἡμεῖς οὐκ ἐσμέν. οὔτε οὖν πρὸς τοὺς ζῶντας ἐστὶν, οὔτε πρὸς τοὺς τετελευτηκότας· ἐπειδήπερ περὶ οὓς μὲν, οὐκ ἔστιν· οἱ δ', οὐκέτι εἰσίν. ἀλλ' οἱ πολλοὶ τὸν θάνατον, ὁτὲ μὲν ὡς μέγιστον τῶν κακῶν φεύγουσιν· ὁτὲ δὲ, ὡς ἀνάπαυσιν τῶν ἐν τῷ ζῆν. οὔτε φοβεῖται τὸ μὴ ζῆν· οὔτε γὰρ αὐτῷ προσίσταται τὸ ζῆν. οὔτε δοξάζεται κακὸν εἶναι τὸ μὴ ζῆν. ὥσπερ δὲ τὸ σιτίον οὐ τὸ πλεῖον πάντως, ἀλλὰ τὸ ἥδιστον αἱρεῖται, οὕτω καὶ χρόνον οὐ τὸν μήκιστον, ἀλλὰ τὸν ἥδιστον καρπίζεται. ὁ δὲ παραγγέλλων τὸν μὲν νέον καλῶς ζῆν, τὸν δὲ γέροντα καλῶς καταστρέφειν, εὐήθης ἐστὶν, οὐ μόνον διὰ τὸ τῆς ζωῆς ἀσπαστὸν, ἀλλὰ καὶ διὰ τὸ τὴν αὐτὴν εἶναι μελέτην τοῦ καλῶς ζῆν καὶ τοῦ καλῶς ἀποθνήσκειν. πολὺ δὲ χεῖρον καὶ ὁ λέγων, καλὸν μὲν μὴ φῦναι,

Φύντα δ' ὅπως ὤκιστα πύλας ἀΐδαο περῆσαι.

εἰ μὲν γὰρ πεποιθὼς τοῦτό φησι, πῶς οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; ἐν ἑτοίμῳ γὰρ αὐτῷ τοῦτ' ἔστιν, εἴπερ ἦν βεβουλευμένον αὐτῷ βεβαίως· εἰ δὲ μωκώμενος, μάταιος ἐν τοῖς οὐκ ἐπιδεχομένοις. μνημονευτέον δὲ ὡς τὸ μέλλον οὔτε ἡμέτερον, οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως προσμένωμεν ὡς ἐσόμενον, μήτε ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον. ἀναλογιστέον δὲ ὡς τῶν ἐπιθυμιῶν αἱ μὲν εἰσὶ φυσικαὶ, αἱ δὲ, κεναί. καὶ τῶν φυσικῶν αἱ μὲν ἀναγκαῖαι· αἱ δὲ φυσικαὶ μόνον. τῶν δὲ ἀναγκαίων, αἱ μὲν πρὸς εὐδαιμονίαν εἰσὶν ἀναγκαῖαι, αἱ δὲ, πρὸς τὴν τοῦ σώματος ἀοχλησίαν· αἱ δὲ, πρὸς αὐτὸ τὸ ζῆν. τούτων γὰρ ἀπλανὴς θεωρία πᾶσαν αἵρεσιν καὶ φυγὴν ἐπαναγαγεῖν οἶδεν ἐπὶ τὴν τοῦ σώματος ὑγίειαν, καὶ τὴν τῆς ψυχῆς ἀταραξίαν. ἐπεὶ τοῦτο τοῦ μακαρίως

ζῆν ἐστὶ τέλος. τούτου γὰρ χάριν ἅπαντα πράττομεν ὅπως μήτε ἀλγῶμεν, μήτε ταρβῶμεν· ὅταν δὲ ἅπαξ τοῦτο περὶ ἡμᾶς γένηται, λύεται πᾶς ὁ τῆς ψυχῆς χειμών, οὐκ ἔχοντος τοῦ ζώου βαδίζειν ὡς πρὸς ἐνδέον τι, καὶ ζητεῖν ἕτερον ᾧ τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀγαθὸν συμπληρωθήσεται). τότε γὰρ ἡδονῆς χρείαν ἔχομεν, ὅταν ἐκ τοῦ μὴ παρεῖναι τὴν ἡδονὴν ἀλγῶμεν. οὐκέτι τῆς ἡδονῆς δεόμεθα. καὶ διὰ τοῦτο τὴν ἡδονὴν ἀρχὴν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως ζῆν. ταύτην γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν, καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς, καὶ ἐπὶ ταύτην καταντῶμεν, ὡς κανόνι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες. καὶ ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα· ἀλλ' ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείττους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολουθῇ, πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. πᾶσα οὖν ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν, ἀγαθὸν, οὐ πᾶσα μέντοι αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα, κακή, οὐ πᾶσα δὲ ἀεὶ φευκτὴ πεφυκυῖα. τῇ μέντοι συμμετρήσει, καὶ συμφερόντων καὶ ἀσυμφόρων βλέψει ταῦτα πάντα κρίνειν καθήκει. χρώμεθα γὰρ τῷ μὲν ἀγαθῷ, κατά τινας χρόνους, ὡς κακῷ· τῷ δὲ κακῷ, τὸ ἔμπαλιν, ὡς ἀγαθῷ. καὶ τὴν αὐτάρκειαν δὲ ἀγαθὸν μέγα νομίζομεν, οὐχ ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα· ἀλλ' ὅπως, ἐὰν μὴ ἔχωμεν τὰ πολλά, τοῖς ὀλίγοις χρώμεθα, πεπεισμένοι γνησίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα ταύτης δεόμενοι. καὶ ὅτι τὸ μὲν φυσικὸν πᾶν, εὐπόριστόν ἐστι, τὸ δὲ κενόν, δυσπόριστον. οἵ τε λιτοὶ χυλοὶ ἴσην πολυτελεῖ διαίτῃ τὴν ἡδονὴν περιφέρουσιν, ὅταν ἅπαν τὸ ἀλγοῦν κατ' ἔνδειαν ἐξαιρεθῇ· καὶ μᾶζα καὶ ὕδωρ τὴν ἀκροτάτην ἀποδίδωσιν ἡδονήν, ἐπειδὰν ἐνδέων τις αὐτὰ προσενέγκηται.

τὸ συνεθίζειν οὖν ἐν ταῖς ἁπλαῖς καὶ οὐ πολυτελέσι διαί-
ταις, καὶ ὑγιείας ἐστὶ συμπληρωτικὸν, καὶ πρὸς τὰς ἀναγ-
καίας τοῦ βίου χρήσεις ἄοκνον ποιεῖ τὸν ἄνθρωπον. καὶ τοῖς
πολυτελέσιν ἐκ διαλειμμάτων προσερχομένοις, κρεῖττον
ἡμᾶς διατίθησι, καὶ πρὸς τὴν τύχην ἀφόβους παρασκευάζει.
ὅταν οὖν λέγωμεν ἡδονὴν τέλος ὑπάρχειν, οὐ τὰς τῶν ἀσώ-
των ἡδονὰς, καὶ τὰς τῶν ἐν ἀπολαύσει κειμένας λέγομεν, ὥς
τινες ἀγνοοῦντες καὶ οὐχ ὁμολογοῦντες ἢ κακῶς ἐκδεχόμενοι
νομίζουσιν, ἀλλὰ τὸ μήτε ἀλγεῖν κατὰ σῶμα, μήτε ταράττεσθαι κατὰ
ψυχήν. οὐ γὰρ πότοι καὶ κῶμοι συνείροντες, οὐδ᾽ ἀπολαύσεις
παίδων καὶ γυναικῶν, οὐδ᾽ ἰχθύων καὶ τῶν ἄλλων ὅσα
φέρει πολυτελὴς τράπεζα, τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νή-
φων λογισμὸς, καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως
καὶ φυγῆς, καὶ τὰς δόξας ἐξελαύνων, ἀφ᾽ ὧν πλεῖστος τὰς
ψυχὰς καταλαμβάνει θόρυβος. τούτων δὲ πάντων ἀρχὴ
καὶ τὸ μέγιστον ἀγαθὸν, φρόνησις. διὸ καὶ φιλοσοφίας τιμι-
ώτερον ὑπάρχει φρόνησις, ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πεφύκα-
σιν ἀρεταί· διδάσκουσαι ὡς οὐκ ἔστιν ἡδέως ζῆν, ἄνευ τοῦ
φρονίμως καὶ καλῶς, καὶ δικαίως ἄνευ τοῦ ἡδέως. συμ-
πεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως· καὶ τὸ ζῆν ἡδέως,
τούτων ἐστὶν ἀχώριστον. ἐπεὶ, τίνα νομίζεις εἶναι κρείττονα τοῦ
καὶ περὶ θεῶν ὅσια δοξάζοντος, καὶ περὶ θανάτου δια-
παντὸς ἀφόβως ἔχοντος; καὶ τὸ τῆς φύσεως ἐπιλελογισμέ-
νου τέλος; καὶ τὸ μὲν τῶν ἀγαθῶν πέρας, ὡς ἔστιν εὐσυμ-
πλήρωτόν τε καὶ εὐπόριστον, διαλαμβάνοντος· τὸ δὲ τῶν κα-
κῶν, ὡς ἢ χρόνους ἢ πόνους ἔχει, βραχίστην· δὲ ὑπό τινων
δεσπότιν εἰσαγομένην πάντων ἀγγέλλοντος, ἃ μὲν ἀπὸ τύ-
χης, ἃ δὲ παρ᾽ ἡμᾶς· διὰ τὸ τὴν μὲν ἀνάγκην, ἀνυπεύθυ-
νον εἶναι, τὴν δὲ τύχην, ἄστατον ὁρᾶν, τὸ δὲ παρ᾽ ἡμᾶς, ἀδέσπο-
τον· ᾧ καὶ τὸ μεμπτὸν καὶ τὸ ἐναντίον παρακολουθεῖν πέ-
φυκεν. ἐπεὶ κρεῖττον ἦν τῷ περὶ θεῶν μύθῳ κατακολουθεῖν,
ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ δουλεύειν. ὁ μὲν γὰρ ἐλπίδα

παραιτήσεως ὑπογράφει θεῶν διὰ τιμῆς· ἡ δὲ ἀπαραίτητον ἔχει τὴν ἀνάγκην. τὴν δὲ τύχην, οὔτε θεὸν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὑπολαμβάνων (οὐθὲν γὰρ ἀτάκτως θεῷ πράττεται) οὔτε ἀβέβαιον αἰτίαν, (οἴεται μὲν γὰρ ἀγαθὸν ἢ κακὸν ἐκ ταύτης πρὸς τὸ μακαρίως ζῆν ἀνθρώποις δίδοσθαι) ἀρχὰς μέντοι μεγάλων ἀγαθῶν ἢ κακῶν ὑπὸ ταύτης χορηγεῖσθαι. κρεῖττον εἶναι νομίζων εὐλογίστως ἀτυχεῖν, ἢ ἀλογίστως εὐτυχεῖν. βέλτιον γὰρ τὸ κριθὲν ἐν ταῖς πράξεσι καλῶς, ὀρθωθῆναι διὰ ταύτην. ταῦτα οὖν καὶ τὰ τούτοις συγγενῆ μελέτα διαπαντὸς ἡμέρας καὶ νυκτὸς πρὸς ἑαυτὸν, καὶ πρὸς τὸν ὅμοιον σεαυτῷ, καὶ οὐδέποτε οὔθ' ὕπαρ οὔτ' ὄναρ διαταραχθήσῃ, ζήσῃ δὲ ὡς θεὸς ἐν ἀνθρώποις. οὐθὲν γὰρ ἔοικε θνητῷ ζώῳ ζῶν ἄνθρωπος ἐν ἀθανάτοις ἀγαθοῖς. μαντικὴν δὲ ἅπασαν ἐν ἄλλοις ἀναιρεῖ, ὡς καὶ ἐν τῇ μικρᾷ ἐπιτομῇ. καί φησι, μαντικὴ ὡς ἀνύπαρκτος· εἰ δὲ καὶ ὑπαρκτικὴ, οὐδὲν παρ' ἡμᾶς ἡγῇ τὰ γινόμενα. τοσαῦτα καὶ περὶ τῶν βιωτικῶν καὶ ἐπὶ πλείω διείλεκται ἀλλαχόθεν.

διαφέρεται δὲ πρὸς τοὺς Κυρηναϊκοὺς περὶ τῆς ἡδονῆς. οἱ μὲν γὰρ τὴν καταστηματικὴν οὐκ ἐγκρίνουσι μόνην δὲ τὴν ἐν κινήσει· ὁ δὲ, ἀμφότερα, ψυχῆς καὶ σώματος, ὥς φησιν ἐν τῷ περὶ αἱρέσεως καὶ φυγῆς καὶ ἐν τῷ περὶ τέλους, καὶ ἐν α̅ περὶ βίων, καὶ ἐν τῇ πρὸς τοὺς ἐν Μιτυλήνῃ φίλους ἐπιστολῇ. ὁμοίως δὲ καὶ Διογένης ἐν τῇ ἑκκαιδεκάτῃ τῶν ἐπιλέκτων, καὶ Μητρόδωρος ἐν τῷ Τιμοκράτει, λέγουσιν οὕτως, νοουμένης δὲ ἡδονῆς τῆς τε κατὰ κίνησιν καὶ τῆς καταστηματικῆς. ὁ δ' Ἐπίκουρος ἐν τῷ περὶ αἱρέσεων οὕτω λέγει, Ἡ μὲν γὰρ ἀταραξία καὶ ἀπονία, καταστηματικαί εἰσιν ἡδοναί· ἡ δὲ χαρὰ καὶ εὐφροσύνη, κατὰ κίνησιν ἐνεργείᾳ βλέπονται. ἔτι πρὸς τοὺς Κυρηναϊκούς. οἱ μὲν γὰρ, χείρους τὰς σωματικὰς ἀλγηδόνας τῶν ψυχικῶν (κολάζεσθαι γοῦν τοὺς ἁμαρτάνοντας σώ

ματι) ὁ δὲ, τὰς ψυχικάς. τὴν γοῦν σάρκα τὸ παρὸν μόνον χειμάζειν, τὴν δὲ ψυχὴν, καὶ τὸ παρελθὸν καὶ τὸ παρὸν καὶ τὸ μέλλον· οὕτως οὖν καὶ μείζονας ἡδονὰς εἶναι τῆς ψυχῆς. ἀποδείξει δὲ χρῆται τοῦ τέλος εἶναι τὴν ἡδονὴν, τῷ τὰ ζῷα, ἅμα τῷ γεννηθῆναι, τὴν μὲν εὐαρεστεῖσθαι, τῷ δὲ πόνῳ προσκρούειν φυσικῶς, καὶ χωρὶς λόγου. αὐτοπαθῶς οὖν φεύγομεν τὴν ἀλγηδόνα· ἵνα καὶ ὁ Ἡρακλῆς καταβιβρωσκόμενος ὑπὸ τοῦ χιτῶνος, -- βοῆ

Δάκνων, ἰύζων· ἀμφὶ δ' ἔστενον πέτραι,
Λοκρῶν τ' ὄρειοι πρῶνες, Εὐβοίας τ' ἄκρα.

διὰ δὲ τὴν ἡδονὴν καὶ τὰς ἀρετὰς αἱρεῖσθαι, οὐ δι' αὐτάς, ὥσπερ τὴν ἰατρικὴν διὰ τὴν ὑγίειαν· καθά φησι καὶ Διογένης ἐν τῇ εἰκοστῇ τῶν ἐπιλέκτων, ὃς καὶ διαγωγὴν λέγει τὴν ἀγωγήν. ὁ δὲ Ἐπίκουρος καὶ ἀχώριστόν φησι τῆς ἡδονῆς τὴν ἀρετὴν μόνον· τὰ δ' ἄλλα χωρίζεσθαι, οἷον βρωτά. Καὶ φέρε οὖν δὴ νῦν τὸν κολοφῶνα (ὡς ἂν εἴπῃ τις) ἐπιθῶμεν τοῦ παντὸς συγγράμματος, καὶ τοῦ βίου τοῦ φιλοσόφου, τὰς κυρίας αὐτοῦ δόξας παραθέμενοι, καὶ ταύταις τὸ πᾶν σύγγραμμα κατακλείσαντες· τέλει χρησάμενοι τῇ τῆς εὐδαιμονίας ἀρχῇ. Τὸ μακάριον καὶ ἄφθαρτον, οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει· ὥστε οὔτε ὀργαῖς, οὔτε χάρισι συνέχεται. ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον. ἐν ἄλλοις δέ φησι τοὺς θεοὺς λόγῳ θεωρητούς, οὓς μὲν, κατ' ἀριθμὸν ὑφεστῶτας· οὓς δὲ, κατὰ ὁμοειδίαν ἐκ τῆς συνεχοῦς ἐπιρρύσεως τῶν ὁμοίων εἰδώλων ἐπὶ τὸ αὐτὸ ἀποτετελεσμένων ἀνθρωποειδεῖς. ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν, ἀναισθητεῖ· τὸ δὲ ἀναισθητοῦν, οὐδὲν πρὸς ἡμᾶς. ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν, ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. ὅπου δ' ἂν τὸ ἡδόμενον ἐνῇ, καθ' ὃν ἂν χρόνον ᾖ, οὐκ ἔστι τὸ ἀλγοῦν, ἢ τὸ λυπούμενον, ἢ τὸ συναμφότερον. οὐ χρονίζει τὸ ἀλγοῦν συνεχῶς ἐν

τῇ σαρκὶ· ἀλλὰ τὸ μὲν ἄκρον, τὸν ἐλάχιστον χρόνον πάρεστι· τὸ δὲ μόνον ὑπερτεῖνον, τὸ ἡδόμενον κατὰ σάρκα, οὐ πολλὰς ἡμέρας συμβαίνει. αἱ δὲ πολυχρόνιοι τῶν ἀρρωστιῶν πλεονάζον ἔχουσι τὸ ἡδόμενον ἐν τῇ σαρκὶ, εἴπερ τὸ ἀλγοῦν. οὐκ ἔστιν ἡδέως ζῆν, ἄνευ τοῦ φρονίμως καὶ καλῶς· καὶ δικαίως, ἄνευ τοῦ ἡδέως. ὅτῳ δὲ τοῦτο μὴ ὑπάρχει, οὐ ζῇ φρονίμως καὶ καλῶς. καὶ ᾧ δικαίως ὑπάρχει, οὐκ ἔστι τοῦτον ἡδέως ζῆν, ἕνεκα τοῦ θαρρεῖν ἐξ ἀνθρώπων, ἢ κατὰ φύσιν ἀρχῆς καὶ βασιλείας ἀγαθὸν, ἐξ ὧν ἄν ποτε τοῦτο οἷός τ' ᾖ παρασκευάζεσθαι. ἔνδοξοι καὶ περίβλεπτοι τινὲς ἐβουλήθησαν γενέσθαι, τὴν ἐξ ἀνθρώπων ἀσφάλειαν οὕτω νομίζοντες περιποιήσεσθαι. ὥστε εἰ μὲν ἀσφαλὴς ὁ τῶν τοιούτων βίος, ἀπέλαβον τὸ τῆς φύσεως ἀγαθόν· εἰ δὲ μὴ ἀσφαλής, οὐκ ἔχουσιν οὗ ἕνεκα ἐξ ἀρχῆς κατὰ τὸ τῆς φύσεως οἰκεῖον ὠρέχθησαν. οὐδεμία ἡδονὴ καθ' ἑαυτὴν κακή· ἀλλὰ τὰ τινῶν ἡδονῶν ποιητικὰ, πολλαπλασίους ἐπιφέρει τὰς ὀχλήσεις τῶν ἡδονῶν. εἰ κατεπυκνοῦτο πᾶσα ἡδονὴ καὶ χρόνῳ, καὶ περὶ ὅλον τὸ ἄθροισμα ὑπῆρχεν ἢ τὰ κυριώτατα μέρη τῆς φύσεως, οὐκ ἄν ποτε διέφερον ἀλλήλων αἱ ἡδοναὶ, εἰ τὰ ποιητικὰ τῶν περὶ τοὺς ἀσώτους ἡδονῶν ἔλυε τοὺς φόβους τῆς διανοίας, τούς τε περὶ μετεώρων καὶ θανάτου καὶ ἀλγηδόνων. ἔτι τε τὸ πέρας τῶν ἐπιθυμιῶν ἐδίδασκεν οὐκ ἄν ποτε. εἴχομεν ὅ, τι μεμψαίμεθα αὐτοῖς πανταχόθεν εἰσπληρουμένοις τῶν ἡδονῶν, καὶ οὐδαμόθεν οὔτε τὸ ἀλγοῦν οὔτε τὸ λυπούμενον ἔχουσιν, ὅπερ ἐστὶ τὸ κακόν, εἰ μηθὲν ἡμᾶς αἱ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν. καὶ περὶ θανάτου, μήποτε πρὸς ἡμᾶς εἴ τι. ἔτι τετόλμηκα νοεῖν. τοὺς ὅρους τῶν ἀλγηδόνων καὶ τῶν ἐπιθυμιῶν, οὐκ ἂν προσεδεόμεθα φυσιολογίας. οὐκ ἦν τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτάτων, μὴ κατειδότα τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτευόμενόν τι τῶν κατὰ τοὺς μύθους. ὥστε οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίας τὰς ἡδονὰς ἀπολαμβάνειν

οὐθὲ

οὐθὲν ὄφελος ἦν τὴν κατ' ἀνθρώπους ἀσφάλειαν κατασκευάζεσθαι, τῶν ἄνωθεν ὑπόπτων καθεστώτων, καὶ τῶν ὑπὸ γῆς, καὶ ἁπλῶς τῶν ἐν τῷ ἀπείρῳ, τῆς ἀσφαλείας τῆς ἐξ ἀνθρώπων γινομένης μέχρι τινός. δυνάμει τε ἐξερειστικῇ καὶ εὐπορίᾳ εἰλικρινεστάτη γίνεται ἡ ἐκ τῆς ἡσυχίας καὶ ἐκχωρήσεως τῶν πολλῶν ἀσφάλεια. ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται, καὶ εὐπόριστός ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν, εἰς ἄπειρον ἐκπίπτει. βραχέα σοφῷ τύχη παρεμπίπτει τὰ δὲ μέγιστα καὶ κυριώτατα ὁ λογισμὸς διῴκει, καὶ κατὰ τὸν συνεχῆ χρόνον διοικεῖ καὶ διοικήσει. ὁ δίκαιος, ἀταρακτότατος· ὁ δ' ἄδικος, πλείστης ταραχῆς γέμων. οὐκ ἐπαύξεται ἡ ἡδονὴ ἐν τῇ σαρκί, ἐπειδὰν ἅπαξ τὸ κατ' ἔνδειαν ἀλγοῦν ἐξαιρεθῇ, ἀλλὰ μόνον ποικίλλεται. τῆς δὲ διανοίας τὸ πέρας τὸ κατὰ τὴν ἡδονὴν ἀπεγέννησεν ἥ τε τούτων αὐτῶν ἐκλόγησις καὶ τῶν ὁμογενῶν τούτοις, ὅσα τοὺς μεγίστους φόβους παρεσκεύαζε τῇ διανοίᾳ. ὁ ἄπειρος χρόνος ἴσην ἔχει τὴν ἡδονὴν καὶ ὁ πεπερασμένος, ἐάν τις αὐτῆς τὰ πέρατα καταμετρήσῃ τῷ λογισμῷ. ἡ μὲν σὰρξ ἀπέλαβε τὰ πέρατα τῆς ἡδονῆς ἄπειρα, καὶ ἄπειρος αὐτὴν χρόνος παρεσκεύασεν· ἡ δὲ διάνοια τοῦ τῆς σαρκὸς τέλους καὶ πέρατος λαβοῦσα τὸν ἐπιλογισμόν, καὶ τοὺς ὑπὲρ τοῦ αἰῶνος φόβους ἐκλύσασα, τὸν παντελῆ βίον παρεσκεύασε, καὶ οὐθὲν ἔτι τοῦ ἀπείρου χρόνου προσεδεήθημεν. ἀλλ' οὔτε ἔφυγε τὴν ἡδονήν, οὐδ' ἡνίκα τὴν ἐξαγωγὴν ἐκ τοῦ ζῆν τὰ πράγματα παρεσκεύαζεν, ὡς ἐλλείπουσά τι τοῦ ἀρίστου βίου κατέστρεφεν. ὁ τὰ πέρατα τοῦ βίου κατειδώς, οἶδεν ὡς εὐπόριστόν ἐστι τὸ ἀλγοῦν κατ' ἔνδειαν ἐξαιροῦν, καὶ τὸ τὸν ὅλον βίον παντελῆ καθιστᾶν. ὥστε οὐδὲν προσδεῖται πραγμάτων ἀγῶνας κεκτημένων. τὸ ὑφεστηκὸς δὲ τέλος ἐπιλογίζεσθαι, καὶ πᾶσαν τὴν ἐνάργειαν, ἐφ' ἣν τὰ δοξαζόμενα ἀνάγομεν· εἰ δὲ μή, πάντα ἀκρισίας καὶ ταραχῆς ἔσται μεστά. εἰ μάχῃ πάσαις ταῖς αἰσθήσεσιν, οὐχ ἕξεις οὐδ' ἃς ἂν αὐτῶν φῇς διεψεῦσθαι, πρὸς τί ποιού-

μένος τὴν ἀναγωγὴν κρίνῃς. εἴ τινα ἐκβάλῃς ἁπλῶς αἴσθη-
σιν, καὶ μὴ διαιρῇς εἰς τὸ δοξαζόμενον, κατὰ τὸ προσγενόμενον,
καὶ τὸ παρὸν ἤδη κατὰ τὴν αἴσθησιν καὶ τὰ πάθη, καὶ πᾶσαν φαν-
τασικὴν ἐπιβολὴν τῆς διανοίας, συνταράξεις καὶ τὰς λοι-
πὰς αἰσθήσεις τῇ ματαίᾳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκ-
βαλεῖς. εἰ δὲ βεβαιώσεις καὶ τὸ προσμενόμενον ἅπαν ἐν ταῖς δο-
ξαστικαῖς ἐννοίαις, καὶ τὸ μὴ, τὴν ἐπιμαρτύρησιν οὐκ ἐκλείψεις
τὸ διεψευσμένον, ὡς τετηρηκὼς ἔσῃ πᾶσαν ἀμφισβήτησιν
καὶ πᾶσαν κρίσιν τοῦ ὀρθῶς, ἢ μὴ ὀρθῶς. εἰ μὴ παρὰ πάντα
καιρὸν ἐπανοίσεις ἕκαστον τῶν πραττομένων ἐπὶ τὸ τέλος
τῆς φύσεως, ἀλλὰ προκαταστρέψεις, εἴτε φυγὴν εἴτε δίω-
ξιν ποιούμενος εἰς ἄλλο τι, οὐκ ἔσονταί σοι τοῖς λόγοις αἱ πρα-
ξεις ἀκόλουθοι. τῶν ἐπιθυμιῶν ὅσαι μὴ ἐπ' ἀλγοῦν ἐ-
πανάγουσιν, ἐὰν μὴ συμπληρωθῶσιν, οὐκ εἰσὶν ἀναγκαῖαι
ἀλλ' εὐδιάχυτον τὴν ὄρεξιν ἔχουσιν, ὅταν δυσπόριστοι ἢ βλά-
βης ἀπεργαστικαὶ δόξωσιν εἶναι. ὧν ἡ σοφία παρασκευάζε-
ται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα. πολὺ μέγιστό
ἐστιν ἡ τῆς φιλίας κτῆσις. ἡ αὐτὴ γνώμη θαῤῥεῖν τε ἐ
ποίησεν ὑπὲρ τοῦ μηδὲν αἰώνιον εἶναι δεινὸν, μηδὲ πολυχρό
νιον· καὶ τὴν ἐν αὐτοῖς τοῖς ὡρισμένοις ἀσφάλειαν φιλία
μάλιστα κατεῖναι συντελουμένην. τῶν ἐπιθυμιῶν αἱ μέ
εἰσι φυσικαὶ, καὶ οὐκ ἀναγκαῖαι· αἱ δὲ, οὔτε φυσικαὶ, οὔτε ἀνα
καῖαι, ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι. φυσικαὶ καὶ ἀ
αγκαίας ἡγεῖται ὁ Ἐπίκουρος, τὰς ἀλγηδόνας ἀπολυούσα
ὡς ποτὸν ἐπὶ δίψους· φυσικὰς δὲ, οὐκ ἀναγκαίας, τὰς ποικι
λούσας μόνον τὴν ἡδονὴν, μὴ ὑπεξαιρουμένας δὲ τὸ ἄ
γημα, ὡς πολυτελῆ σιτία. οὔτε δὲ φυσικὰς, οὔτε ἀναγκαία
ὡς στεφάνους, καὶ ἀνδριάντων ἀναθέσεις. ἐν αἷς τῶν φυ
σικῶν ἐπιθυμιῶν, μὴ ἐπ' ἀλγοῦν δὲ ἐπαναγουσῶν, ἐὰν μ
συντελεσθῶσιν, ὑπάρχει ἡ σπουδὴ σύντονος, παρὰ κενὴ
δόξαν αὗται γίνονται, καὶ οὐ παρὰ τὴν ἑαυτῶν φύσιν·
διὰ χρείαν τινὰ, ἀλλὰ παρὰ τὴν τοῦ ἀνθρώπου κενοδοξίαν.

τὸ τῆς φύσεως δίκαιον, ἐστὶ σύμβολον τοῦ συμφέροντος, εἰς τὸ μὴ βλάπτειν ἀλλήλους μηδὲ βλάπτεσθαι. ὅσα τῶν ζώων μὴ ἠδύνατο συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν, ἀλλὰ μηδὲ βλάπτεσθαι, πρὸς ταῦτα οὐθὲν ἦν οὐδὲ δίκαιον, οὐδὲ ἄδικον. ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἠδύνατο ἢ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν, μηδὲ βλάπτεσθαι, οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἐν ταῖς μετ' ἀλλήλων συστροφαῖς, καθ' ὁπηλίκους δή ποτε ἀεὶ τόπους συνθήκη τις ὑπὲρ τοῦ μὴ βλάπτειν, ἢ βλάπτεσθαι. ἡ ἀδικία, οὐ καθ' ἑαυτὴν κακὸν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς. οὐκ ἔστι τὸν λάθρα τι ποιοῦντα ὧν συνέθεντο πρὸς ἀλλήλους εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι, πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ὑπὸ τοῦ παρόντος λανθάνῃ· μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ καὶ λήσει. κατὰ μὲν κοινὸν, πᾶσι τὸ δίκαιον τὸ αὐτὸ, (συμφέρον γάρ τι ἦν ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ) κατὰ δὲ τὸ ἴδιον, χώρας καὶ ὁσωνδήποτε αἰτιῶν, οὐ πᾶσι συνέπεται τὸ αὐτὸ δίκαιον εἶναι: τὸ μὲν ἐπιμαρτυρούμενον ὅτι συμφέρει ἐν ταῖς χρείαις τῆς πρὸς ἀλλήλους κοινωνίας, τῶν νομισθέντων εἶναι, δίκαιον ἔχει, ἐάν τε τὸ αὐτὸ πᾶσι γίνηται, ἐάν τε μὴ τὸ αὐτὸ μόνον θῆταί τις, μὴ ἀποβαίνῃ δὲ κατὰ τὸ συμφέρον τῆς πρὸς ἀλλήλους κοινωνίας, οὐκέτι τοῦτο τὴν τοῦ δικαίου φύσιν ἔχει. κἂν μεταπίπτῃ τὸ κατὰ τὸ δίκαιον συμφέρον, χρόνον δέ τινα εἰς τὴν πρόληψιν ἐναρμόττῃ, οὐδὲν ἧττον ἐκεῖνον τὸν χρόνον ἦν δίκαιον τοῖς μὴ φωναῖς κεναῖς ἑαυτοὺς συνταράττουσιν, ἀλλὰ πλεῖστα πράγματα βλέπουσιν. ἔνθα μὴ κενῶν γενομένων τῶν περιεστώτων πραγμάτων, ἀνεφάνη μὴ ἁρμόττοντα εἰς τὴν πρόληψιν τὰ νομισθέντα δίκαια ἐπ' αὐτῶν τῶν ἔργων, οὐκ ἦν ταῦτα δίκαια· ἔνθα δὲ κενῶν γενομένων τῶν περιεστώτων πραγμάτων, ἀνεφάνη μὴ ἁρμόττοντα εἰς τὴν πρόληψιν τὰ νομισθέντα

δίκαια ἐπὶ αὐτῶν τῶν ἔργων, οὐκ ἦν ταῦτα δίκαια· ἔνθα δὲ κενῶν γενομένων τῶν πραγμάτων, οὐκέτι συνέφερε τὰ αὐτὰ δίκαια κείμενα, ἐνταῦθα δὴ τότε μὲν ἦν δίκαια ὅτε συνέφερεν εἰς τὴν πρὸς ἀλλήλους κοινωνίαν τῶν συμπολιτευομένων, ὕστερον δὲ οὐκ ἦν ἔτι δίκαια, ὅτε μὴ συνέφερεν. ὁ τὸ μὴ θαρροῦν ἀπὸ τῶν ἔξωθεν ἄριστα συστησάμενος, οὗτος τὰ μὲν δυνατὰ, ὁμόφυλα κατεσκευάσατο· τὰ δὲ μὴ δυνατὰ, οὐκ ἀλλόφυλά γε, ὅσα μηδὲ τοῦτο δυνατὸς ἦν, ἀνεπίμικτος ἐγένετο, καὶ ἐξωρίσατο ὅσα τοῦτο ἐλυσιτέλει πράττειν. ὅσοι τὴν δύναμιν ἔσχον τοῦ τε θαρρεῖν μάλιστα ἐκ τῶν ὁμορούντων παρασκευάσασθαι, οὗτοι καὶ ἐβίωσαν μετ' ἀλλήλων ἥδιστον, βεβαιότατον πίστωμα ἔχοντες, καὶ πληρεστάτην οἰκειότητα ἀπολαβόντες, οὐκ ὠδύροιτο, ὡς ἔλεον, τὴν τοῦ τελευτήσαντος προκαταστροφήν.

# ΠΥΘΑΓΟΡΙΚΩ͂Ν ΤΙΝΩ͂Ν ΣΥΓΓΡΑΜΜΑ-ΤΩΝ ἀποσπασμάτια.

## ἘΚ ΤΩ͂Ν ἹΠΠΟΔΆ-μου Θουρίου τοῦ Πυθαγορείου, ἐν τῷ περὶ εὐδαιμονίας.

ΤΩ͂Ν ζώων τὰ μὲν ἐντὶ δεκτικὰ τᾶς εὐδαιμονίας, τὰ δὲ, ἄδεκτα. καὶ δεκτικὰ μὲν, ὅσα λόγον ἔχει· (ἁ μὲν γὰρ εὐδαιμονία, οὐκ ἄπερθεν ἀρετᾶς· ἁ δὲ ἀρετὰ ἐγγίνεται τῷ λόγον ἔχοντι πρᾶτον) ἄδεκτα δὲ, ὅσα λόγον οὐκ ἔχει. οὔτε γὰρ τὸ ὄψιος ἄμοιρον δέχεται τᾶς ὄψιος ἔργον, ἢ τᾶς ὄψιος ἀρετάν· οὔτε τὸ λόγω ἄμοιρον, τὸ τῶ λόγον ἔχοντος ἔργον, ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν. ἁ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον ἔχοντος, τὸ μὲν ὡς ἔργον, τὸ δὲ ὡς τέχνα τις ἐντί. τῶν δὴ λόγον ἐχόντων ζώων, τὰ μὲν ἐντι αὐτοτελέα, ὅσα δι' αὐτὰ τέλεά ἐντι, καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν, οὔτε ποτὶ τὸ ἦμεν, οὔτε ποτὶ τὸ καλῶς ἦμεν. τοιοῦτος δέ κεν εἴη ὁ θεός. οὐκ αὐτοτελέα δ', ὅσα μὴ δι' αὐτὰ τέλεά ἐστι, ποτιδέεται δὲ τᾶς ἔξωθεν αἰτίας. τοιοῦτος δέ κεν εἴη ὁ ἄνθρωπος. τῶν δὴ οὐκ αὐτοτελέων τὰ μὲν ἐστὶ τέλεα, τὰ δ' οὐ τέλεα. καὶ τέλεα μὲν, ὅσα καὶ παρὰ τὴν αὐτῶν αἰτίαν καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται. καὶ παρὰ μὲν τὴν αὐτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ τὰς ἔξωθεν, τῷ εὐνομίαν

καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν. οὐ τέλεα δὲ, τὰ ἤτοι μηδ' ἑτέρῳ τούτων κοινωνάσαντα, ἢ τινὸς αὐτῶν, ἢ τὸ καθόλου φαῦλα ὑπάρχοντα κατὰ τόν γε τρόπον τᾶς ψυχᾶς. τοιοῦτος δὲ καὶ εἴη θάτερος ἄνθρωπος. τῶν δὲ τελέων ἀνθρώπων δυαὶ διαφοραί. τοὶ μὲν γὰρ ἐντὶ αὐτῶν κατὰ φύσιν τέλειοι, τοὶ δὲ κατὰ τὸν βίον. καὶ κατὰ φύσιν μὲν, τοὶ μόνοι ἀγαθοί. οὗτοι δέ κ' εἶεν τοὶ ἔχοντες τὰν ἀρετάν. ἁ γὰρ ἀρετὰ, τᾶς ἑκάστου φύσιος, καὶ ἀκρότας καὶ τελειότας ἐντί. ἁ μὲν τῶ ὀφθαλμῶ, τᾶς τῶ ὀφθαλμῶ φύσιος ἀκρότας καὶ τελειότας· ἁ δὲ τῶ ἀνθρώπω, τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελειότας. κατὰ τὸν βίον δὲ τέλειοι, τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες, ἀλλὰ καὶ εὐδαίμονες. ἁ μὲν γὰρ εὐδαιμονία, τελειότας ἐντὶ βίω ἀνθρωπίνω. ὁ δὲ βίος ὁ ἀνθρώπινος, σύσταμα τῶν πράξεων. ἁ δ' εὐδαιμονία, συμπεραίνουσα τὰς πράξιας. συμπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα· τὰ μὲν ἀρετὰ, κατὰ τὰν χρῆσιν, τὰ δ' εὐτυχία, κατὰ τὰν κατόρθωσιν. ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετὰν, ἀγαθὸς ἐγένετο, οὔτε ἐπισυναρξαμένας αὐτῷ τᾶς τύχας εὐδαίμων. φύσει γὰρ ἦν ἀγαθὸς, καὶ φύσει εὐδαίμων, καὶ ἀεὶ ἦν, καὶ ἐσεῖται, καὶ οὐδέποκα ὑπολείψει τοιοῦτος ἐὼν, ἄφθαρτος ἐὼν, καὶ φύσει ἀγαθός. ὁ δὲ ἄνθρωπος, οὔτε τᾷ φύσει εὐδαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται· ποτὶ μὲν τὸ γενέσθαι ἀγαθὸς, τᾶς ἀρετᾶς· ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων, τᾶς εὐτυχίας. καὶ διὰ τοῦτο ἐκ δύο τούτων ἁ ἀνθρωπίνα εὐδαιμονία συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μὲν, τῶ ἐξ ἀρετᾶς, μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας. τὰν μὲν ὦν ἀρετὰν ἔχει, διὰ τὰν θείαν μοῖραν· τὰν δὲ εὐτυχίαν, διὰ τὰν θνατάν. ἐξήρτηται δὲ τὰ μὲν θνατὰ, ἀπὸ τῶν θεῶν. καὶ τὰ ἐπὶ γῆς τῶν οὐρανίων· τὰ δὲ χείρονα, ἀπὸ τῶν βελτιόνων. καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θεοῖς ἀγαθός·

εὐδαιμονεῖ, ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς κακοδαιμονεῖ. τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι, ἀγαθὸν εὐτυχία, καὶ χρήσιμον. καὶ ἀγαθὸν μὲν, διὰ τὰν γνῶσιν τᾶς χρήσιος· ὠφέλιμον δὲ, διὰ τὸ συνεργεῖν ταῖς πράξεσι. καλὸν οὖν ὅκα εὐτυχία παρῇ τῷ νῷ, ὥσπερ οὐρίῳ ἀνέμῳ θέοντα ποτὶ ἀρετὰν ἀποβλέποντα ποιέεσθαι τὰς πράξιας· ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινήσιας. οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θεῖον. καὶ μὰν καὶ τοῦτό γε φανερὸν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται. ἀνάγκα δὲ τὰν μὲν διάθεσιν, ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν· τὰν δὲ πρᾶξιν, ἢ εὐδαίμονα ἢ κακοδαίμονα. καὶ σπουδαίαν μὲν, τὰν ἀρετᾶς μετειληφυῖαν· φαύλαν δὲ, τὰν κακίας. τὰς δὲ πράξιας, εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ (συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον) κακοδαίμονας δ' ἐν τᾷ ἀτυχίᾳ. ἀποτευκτικὸν γὰρ τῶ συμπεράσματος. διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετὰν, ἀλλὰ καὶ κτήσασθαι, καὶ χρήσασθαι αὐτᾷ· ἤτοι ἐς ἀσφάλειαν, ἢ εἰς συναύξασιν, ἢ τὸ μέγιστον, ἐς ἐπανόρθωσιν οἴκων καὶ πολίων. οὐ γὰρ μόνον τὰν κτᾶσιν ἔχειν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. ταῦτα δὲ πάντα ἐσεῖται αἴκα πόλιος εὐνομουμένας τύχῃ ὁ ἄνθρωπος. καὶ ταῦτα μὲν ἐγὼ φαμὶ ἦμεν τὸ ὀνομαζόμενον Ἀμαλθείας κέρας. ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντί· καὶ ἄνευ ταύτας, οὔτε γίνεται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθὸν, οὔτε γεναθὲν καὶ αὐξαθὲν δύναιτο καὶ διαμένειν. καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποτὶ ἀρετὰν αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γίνεσθαι κατ' αὐτάν· καὶ ἤθεα δὲ καὶ ἐπιτηδεύματα, καὶ νόμως ἦμεν τὼς ἀρίστως. ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ ὁσιότατα ποτὶ τὰ τιμιώτατα. ὥστε τῷ μέλλοντι εὐδαιμονησεῖν

καὶ ὀρθόπλοον ἕξειν τὸν αὐτῷ βίον, εὐνομίας ὑπαρχούσης, καὶ διαφρᾶσαι δεῖ καὶ διελθεῖν αὐτὴν εὐνομίαν καταλιπόντα. ἅμα δὲ καὶ ἀνάγκαν ἐπεμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. ὁ γὰρ ἄνθρωπος, κοινωνίας μέρος ἐντί. καὶ σὺν τούτοις ὁλόκλαρος γίνεται κατὰ τὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνὲν, ἀλλὰ καὶ καλῶς κοινωνέν. ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐν ἑνὶ πέφυκε γίγνεσθαι· ἃ δὲ ἐν ἑνὶ μὲν, οὐ μὰν ἔτι ἐν πλείοσιν· ἃ δὲ καὶ ἐν πλείοσι, καὶ ἐν ἑνί. καὶ διὰ τοῦτο ἐν ἑνὶ, ὅτι καὶ ἐν πλείοσιν. ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν. οὐδὲν γὰρ αὐταρκες, ὃ τούτων τῶν μορίων ποιεῖ τὸ ὅλον. ὀξυκοΐα δὲ καὶ ὀξυδορκία, καὶ ποδῶν ὠκύτας, ἐν ἑνὶ μόνον· εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχῆς, καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι, καὶ ἐν τῷ ὅλῳ, καὶ ἐν τῷ παντί. καὶ διὰ τοῦτο ἐν τῷ ἑνὶ, ὅτι καὶ ἐν πλείοσι· καὶ ἐν τοῖς πλείοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί. ἅτε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις, καὶ τὸ καθ' ἓν ἕκαστον διακεκόσμακεν. καὶ ἁ καθ' ἕκαστον δὲ διακόσμασις τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλήρωκε. τοῦτο δὲ ἀκολουθεῖ, διὰ τὸ τᾷ φύσει πρότερον ἦμεν τὸ ὅλον τῶ μέρεος, ἀλλ' οὐ τὸ μέρος τῶ ὅλω. αἴτε γὰρ μὴ ἦ ὁ κόσμος, οὐδ' ἂν ὁ ἥλιος ἦν, οὐδ' ἁ σελάνα, οὐδ' οἱ πλανᾶτες ἀστέρες, οὐδ' οἱ ἀπλανέες. ὄντος δέ γε τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐντι. ἴδοι δὲ καὶ τοῦτο ἄν τις καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴκα γὰρ μὴ ἦ ζῶον, οὐδ' ὀφθαλμὸς, οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά. ὄντος δέ κα ζώω, καὶ τούτων ἕκαστόν ἐντι. ὡς δὲ ἔχει τὸ ὅλον ποτὶ τὸ μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετὰ ποτὶ τὰν τῶ μέρεος. μὴ ὑπαρχούσας γὰρ ἁρμονίας καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὐκ ἂν ἐδύνατο συνεῖμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα. μὴ ὑπαρχούσας δ' εὐνομίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων

πολίτας ἦμεν. μὴ ὑπαρχούσας δὲ ὑγιείας περὶ τὸ ζῶον, οὐκ ἂν δύναιτο πούς ἢ χεὶρ σθεναρά τε καὶ ὑγιεινὰ ἦμεν. ἔστι γὰρ ἁ μὲν ἁρμονία, ἀρετὰ κόσμω· ἁ δὲ εὐδαιμονία, ἀρετὰ πόλιος· ἁ δὲ ὑγίεια καὶ ἁ ἰσχύς, ἀρετὰ σώματος. τὸ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. ὀφθαλμοί τε γὰρ ὁρῶνται ὑπὲρ τῶ παντὸς σώματος, καὶ τἆλλα δὲ μόριά τε καὶ μέρεα ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.

# ἘΚ ΤΩ͂Ν ΕΥ̓ΡΥΦΆμου τοῦ Πυθαγορείου, ἐν τῷ περὶ βίου.

Βίος ἀνθρώπω τελήϊος, θεῶ μὲν λείπεται, τῷ μὴ αὐτοτελὴς ἦμεν, ἀλόγων δὲ ζώων καθυπερέχει, τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεής ἐντι. (φύσει γὰρ ἀγαθὸς ἐὼν καὶ φύσει εὐδαίμων, ἐξ ἑαυτῶ τελήϊός ἐντι) οὔτε τῶν ἀλόγων ζώων οὐδέν. λόγω γὰρ ἄμοιρα ὄντα, καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστήμας ἄμοιρά ἐντι. ἀνθρώπω δὲ φύσις, τὰ μὲν ἐκ τᾶς ἰδίας προαιρέσιος, τὰ δὲ καὶ τᾶς ἐκ τῶ θείω γινομένας ἐπικουρήσιος ποτιδεής ἐντι. τῷ μὲν γὰρ λόγῳ τυπωτικὸς ἦμεν καὶ καλῶν καὶ αἰσχρῶν νοατικός, καὶ τῷ ὀρθῶς ἀπὸ γῆς ἀνακεκλίσθαι, καὶ εἰς τὸν οὐρανὸν ἀποβλέπειν, καὶ θεῶν τῶν ἀνωτάτων νοατικὸς ἦμεν, ταῦτα δὲ καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε· τῷ δὲ

βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν ἑαυτῷ τοιαύτην, καθ' ἃν κύριος οὗτός ἐντι καὶ ἀρετὰν ἐπιταδεῦσαι, καὶ κακίαν ζαλῶσαι, καὶ θεοῖς ἀποδῆσαι, καὶ ἀπὸ θεῶν ἀποστατῆμεν. ταῦτα δὲ καὶ καθ' αὑτὸν κινέεσθαι δυνατός ἐντι. διὸ καὶ ψόγων καὶ ἐπαίνων, καὶ τιμᾶς καὶ ἀτιμίας, τὰ μὲν ἐκ τᾶς τῶν θεῶν, τὰ δὲ καὶ τᾶς ἐκ τῶν ἀνθρώπων τυγχάνοντί τοι, ἤτοι ἀρετὰν, ἢ κακίαν ζηλώσαντες. ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος. τὸ θεῖον ἄνθρωπον, πολυτελέστατον ζῶον, ἐς τὸν κόσμον ἐσῴκισεν, ἀντίτιμον μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος. διὸ καὶ ὀνόματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτὴρ αὐτῶν γενόμενος, ἀνεύρετο δὲ καὶ γράμματα, θησαυρὼς τᾶ μνάμα παρασκευασάμενος. ἐμιμάσατο δὲ καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πόλεων συναρμοσάμενος. οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συναρμογὰ, καὶ νόμων καὶ πολιτείας διακόσμασις. εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὑτὸν οὐδεὶς ἐὼν, οὔτε ποττὸ ζῆν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας, αὐτὸς καθ' αὑτὸν ἱκανὸς γέγονε, καὶ ποττὸ ὅλον καὶ τὸ τέλειον σύστημα τῆς κοινωνίας εὐάρμοστος. ἀνθρώπω γὰρ ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν ἐπιτελέος ἐάσας εἰκών ἐντι. λύρα τε γὰρ πᾶσα χρήζει τριῶν τούτων τυχὲν, ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς. ἐξάρτυσις μὲν οὖν ἐντὶ ἁ τῶν οἰκηίων μερέων τῶ σώματος παρασκευὰ πάντων. λέγω δὲ τᾶν χορδᾶν, καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πληγὰν ἐπισυμβαινόντων. συναρμογὰ δὲ, ἁ ποτ' ἀλλήλως σύγκρασις τῶν φθόγγων. ἐπαφὰ δὲ μωσικὰ, ἁ κατὰ συναρμογὰν κίνησις ἤδη τούτων. οὕτως οὖν καὶ βίος ἀνθρώπων χρήζει τριῶν τούτων τυχέν. ἐξάρτυσις μὲν, ἁ τῶν τῶ βίω μερέων ἐντὶ συμπλάρωσις. βίω δὲ μέρεα, τά τε σώματος ἀγαθὰ, καὶ τὰ τῶν χρημάτων, καὶ τὰ τᾶς δόξας, καὶ τὰ τῶν φίλων.

συναρμογὰ δὲ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις. ἐπαφὰ δὲ μωσικὰ, ἁ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλοουμένας τᾶς ἀρετᾶς, καὶ μηθὲν ἔξωθεν ἀντιπίπτον ἐχούσας αὐτῇ. οὐ γὰρ ἐν τῷ ἀπευθύνεσθαι τὰς προθέσιας τῶν ἑκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονῆν, ἀλλ' ἐν τῷ κατατυγχάνεσθαι· οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν καὶ ἀνυπηρέτατον τὰν ἀρετάν· ἀλλ' ἐν τῷ συμπληροῦσθαι ταῖς οἰκήαις δυνάμεσι ποτὶ τὰς πράξιας. οὐ γὰρ αὐτοτελής ἐντὶ ὁ ἄνθρωπος, ἀλλ' ἀτελής. τέληος δὲ γινόμενος, ἃ μὲν παρ' αὐτὸν, ἃ δὲ καὶ παρὰ τὼ ἔξωθεν αἰτίαν. καὶ τέληος, ἤτοι κατὰ τὰν φύσιν, ἢ κατὰ τὸν βίον. καὶ κατὰ μὲν τὰν φύσιν, αἴκα ἀγαθὸς γένηται. ἁ γὰρ ἑκάστω ἀρετὰ, ἀκρότας καὶ τεληότας ἐντὶ τᾶς ἑκάστω φύσιος. οἷον, ἁ μὲν τῶν ὀφθαλμῶν φύσις ἀκρότας καὶ τεληότας τᾶς τῶν ὀφθαλμῶν· ἁ δὲ τῶν οὐάτων, τᾶς τῶν οὐάτων. οὕτω δὲ τῶ ἀνθρώπω ἁ ἀρετὰ, ἀκρότας ἐντὶ καὶ τεληότας τᾶς ἀνθρώπω φύσιος. τέληος δὲ κατὰ τὸν βίον, αἴκα εὐδαίμων γένηται. ἁ γὰρ εὐδαιμονία, τεληότας καὶ συμπλάρωσις ἐντὶ τῶν ἀνθρωπίνων ἀγαθῶν. διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία, μέρεα γίγνονται τῶ ὑπ' αὐτῷ βίω· τᾶς μὲν ἀρετᾶς, ὡς ψυχᾶς κειμένας· τᾶς δ' εὐτυχίας, ὡς σώματος· τῶν δὲ συναμφοτέρων αὐτῶν, ὡς ζώω. τῶ μὲν γὰρ χρέεσθαι καλῶς αὐτὸν δεῖ τοῖς κατὰ φύσιν ἀγαθοῖς, τῶ δὲ τὰν χρᾶσιν ἐμπαρέχεν. καὶ χρέεσθαι μὲν ἀρετᾷ, χρᾶσιν δὲ παρέχεν εὐτυχία. καὶ ἃ μὲν, τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι· ἃ δὲ, τὰς ἐνεργείας καὶ τὰς πράξιας. τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ, καὶ ὑποστᾶμεν τὰ δεινὰ, τᾶς ἀρετᾶς οἰκῆον ἐντί. τὸ δ' ὀρθοπλοῆσαι, τᾶς προαιρέσιος, καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας, τᾶς εὐτυχίας. ἐνίκασε γὰρ ὁ στραταγὸς καὶ σὺν τᾷ ἀρετᾷ καὶ σὺν τᾷ εὐτυχίᾳ· καὶ εὐπλόησεν ὁ κυ-

βερνάτας, καὶ σὺν τᾷ τέχνᾳ, καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν. καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς, καὶ σὺν τᾷ ὀξυδορκίᾳ, καὶ σὺν τῷ φάει· καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο, καὶ διὰ τὰν ἀρετὰν αὐτὰν, καὶ διὰ τὰν εὐτυχίαν.

# ΕΚ ΤΩΝ ΙΠΠΑΡχου τοῦ Πυθαγορείου, ἐν τῷ περὶ εὐθυμίας.

ΩΣ πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι, βραχύτατον ἔχοντες οἱ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον κάλλιστον ἐν τῷ βίῳ οἱονεί τινα παρεπιδημίαν ποιησοῦνται, ἐπ' εὐθυμίᾳ καταβιώσαντες. Ταῦτα δὲ ἕξοντι μάλιστα πάντων ἀκριβῶς ἐπιστάμενοι, καὶ ἐπεγνωκότες ἑαυτοὺς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ φθαρτὸν κεκτημένοι σῶμα, καὶ πάντων χαλεπωτάτων αὐτοῖς ἐπικρεμαμένων, μέχρις ἐσχάτας ἀναπνοᾶς. καὶ πρᾶτόν γε πενθῶμεν ἐπὶ τὰ συμβαίνοντα περὶ τὸ σῶμα· πλευρίτιδες, περιπλευμονίαι, φρενίτιδες, ποδάγραι, στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι, ἐπιληψίαι, σηπεδόνες, ἄλλα μυρία. περὶ δὲ τὰν ψυχὰν, πολλῷ μείζον καὶ χαλεπώτερα. πάντα γὰρ τὰ κατὰ τὸν βίον ἄθεσμα, κακὰ, παράνομα, καὶ ἀσεβήματα, ἐκ τῶν κατὰ τὰν ψυχὰν παθημάτων ἐντί. διὰ γὰρ ταὶς παρὰ φύσιν ἀμέτροις ἐπι-

θυμίας, πολλοὶ εἰς ἀκατασχέτους ὁρμὰς ἐξώκειλαν· καὶ οὔτε τᾶς ἐκ τῶν θυγατέρων, οὔτε τᾶς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἡδονᾶς ἀπέσχοντο. ἀλλὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ τὰ ἴδια τέκνα κατέσφαξαν. τί δὲ ἀπὸ τῶν ἐκτὸς ἐπηρτημένα, κατὰ τὰς ἐπομβρίας, καὶ αὐχμώς, ὑπερβολὰς καυμάτων, ὑπερβολὰς ψύξιος· ὥστε πολλάκις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας λοιμόν τε καὶ λιμὸν γίνεσθαι, καὶ ποικιλίαν παντοδαπῶν συμπτωμάτων, καὶ ὅλας πόλεις ἐρημοῦσθαι; πολλῶν οὖν τοιούτων ἐπικρεμαμένων, μήτε ταῖς κατὰ τὸ σῶμα εὐαμερίαις ποτέχοντες, σεμνυνόμενοι ἐπαιρώμεθα, αἵ τινες ὀλίγῳ πυρετῷ ἐπιγενομένῳ, σὺν θεῶν τρόπῳ, συντόμως μαραίνονται· μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις. καὶ αὗται πολλάκις τάχιον ἀπόλλυσθαι ἢ γίνεσθαι πεφύκασι. πάντα γὰρ ταῦτα, ἄστατά τε καὶ ἀβέβαια εὗρε τὸν τρόπον ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς γινόμενα παρειλήφαμεν. καὶ οὐδὲν αὐτῶν μόνον, οὐδὲ ἀκίνητον, οὐδὲ βέβαιον, οὐδὲ ἀδιαίρετον. διὸ ταῦτα μὲν ἐνθυμηθέντες, νομίζοντες εἰ τὰ παρεόντα καὶ δεδομένα, καὶ τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναιτο, ἐν εὐθυμίᾳ διάξομεν, γενναίως φέροντες τὰ προσπίπτοντα. νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσιος καὶ τύχας παρεόντα, καὶ δεδομένα αὐτοῖς, ἐπὶ τὸ βέλτιον προσαναπλάσαντες, καὶ οὐχ οἷά ἐστι λογισάμενοι, ἀλλ' οἷα ἐπ' ἄκρον ἐπιτυγχανόμενα δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς καὶ μεγάλοισι καὶ ἀθέσμοις καὶ ἀνοήτοις κακοῖς καταφορτίζοντι τὰν ψυχάν. καὶ οὕτω συμβαίνει αὐτοῖς πικρότατον ἔχειν τὸν βίον καὶ χαλεπώτατον. ταῦτα δὲ γίνεται ἐπί τε ἀποβολαῖς χρημάτων, ἢ φίλων θανόντων, ἢ τέκνων, ἢ τινῶν ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἡμῖν. εἶτα κλαίοντες καὶ ὀδυρόμενοι, λέγοντι

αὐτοὺς μόνους ἀτυχεστάτους καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι κατ' αὐτὰ καὶ ἄλλοις πολλοῖς ἐγένοντο, καὶ νῦν γίνονται· οὔτε δυνάμενοι κατανοῆσαι τόν τε τῶν παρεόντων βίον καὶ τὸν τῶν προεξεστακότων, ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις καὶ νῦν ἐντὶ πολλοί, καὶ πρὸ τοῦ ἐγένοντο. ἐπιλογισάμενοι οὖν ὅτι πολλοὶ ἀποβαλόντες χρήματα, ὕστερον διὰ τὰν τῶν χρημάτων γινομέναν ἀπώλειαν, αὐτοὶ περιεσώθησαν, ἢ λῃσταῖς διὰ τοῦτο μέλλοντες περιπίπτειν ἢ τυράννῳ· πολλοὶ δὲ φιλήσαντές τινας, καὶ καθ' ὑπερβολὰν ἀνοήσαντες, ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν. ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων πολλοὶ ἀπώλοντο· καὶ αἰ παραβάλλοντες τὸν αὐτῶν βίον πρὸς τὸν τῶν πρασσομένων φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα, εὐθυμότερον διάξομεν. οὐδὲ γὰρ θέμις ἄνθρωπον ὄντα τῶν ἀλλοτρίων συμπτώματα εὔφορα νομίζειν, ἀλλὰ καὶ τὰ ἴδια κάδεα, ἰδόντας ὅτι πολλαὶ κῆρες κατὰ πάντα τὸν βίον πεφύκαντι. οἱ δὲ κλαίοντες καὶ καποδυρόμενοι, περὶ τῷ μηδ' ἥντινουν ὠφέλειαν τῷ ἀπολλυμένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ἐς μείζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, μέσταν πολλῶν φαύλων φυσιωμάτων οὖσαν. προσήκει ἄρ' ἐκνίπτοντας καὶ ἀνακαθαίροντας, ἀπορρύπτεσθαι πάσαις μηχαναῖς τὰς ἐγκατεσκιρρωμένας κηλῖδας, τῷ κατὰ φιλοσοφίαν λόγῳ. ποιήσομεν δὲ τοῦτο, ἀντεχόμενοι φρονήσιος καὶ σωφροσύνας, καὶ μεταπειθούμενοι τοῖς παρεοῦσι, καὶ μὴ πολλῶν ὀρεγόμενοι. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι ζῆν μετὰ τὸν τᾶς ζωᾶς χρόνον, ἐξέστι γίνεσθαι, χρησώμεθα παρουσίᾳ τῶν ἀγαθῶν· ἐκ γὰρ τᾶς φιλοσοφίας καλῶν καὶ σεμνῶν, καὶ τῆς ἐκ τῶν φαύλων ἀπολυθησόμεθα ἀπληστίας

# ΕΚ ΤΩΝ ΑΡΧΥΤΟΥ τοῦ Πυθαγορείου ἐν τῷ περὶ τῶ ἀγαθῶ ἀνδρὸς καὶ εὐδαίμονος.

ΠΡῶτον μὲν ὦν χρὴ τοῦτο γινώσκειν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ οὐκ εὐθέως εὐδαίμων ἐξ ἀνάγκας ἐστίν· ὁ δὲ εὐδαίμων, καὶ ἀγαθὸς ἀνήρ ἐστιν. ὁ μὲν γὰρ εὐδαίμων ἐξ ἐπαινετῶ καὶ μακαριστῶ γίνεται· ὁ δὲ ἀγαθὸς ἀνὴρ ἐξ ἐπαινετῶ μόνον. γίνεται δὲ ὁ μὲν ἔπαινος, ἐπ᾽ ἀρετᾷ· ὁ δὲ μακαρισμὸς, ἐπ᾽ εὐτυχίᾳ. καὶ ὁ μὲν ἀγαθὸς ἀνὴρ ἐπὶ τοῖς παρ᾽ αὐτὸν ἀγαθοῖς γίνεται τοιοῦτος· ὁ δ᾽ εὐδαίμων ἐστὶν ὅκ᾽ ἀφαιρέεται τὰν εὐδαιμοσύναν. τᾶς μὲν γὰρ ἀρετᾶς ἀνυπεύθυνος ἁ δύναμις, τᾶς δ᾽ εὐδαιμοσύνας εὐθυνομένα. νόσοι τε γὰρ μακραὶ σώματος, καὶ πηρώσιες αἰσθαταρίων ἀπομαραίνοντι τὰν εὐθάλειαν τᾶς εὐδαιμοσύνας. Διαφέρει δὲ θεὸς ἀνθρώπω ἀγαθῶ· ὅτι θεὸς μὲν οὐ μόνον εἰλικρινῆ καὶ διϋλισμέναν ἔχει τὰν ἀρετὰν ἀπὸ παντὸς τῶ θνητῶ πάθεος, ἀλλὰ καὶ τὰν δύναμιν αὐτᾶς ἄτρυτον πέπαται καὶ ἀνυπεύθυνον, ὡς πρὸς αἰωνίων ἔργων σεμνότητά τε καὶ μεγαλοπρέπειαν. ἄνθρωπος δ᾽ οὐ μόνον τῷ θνατῷ τῆς φύσεως καταστάματι μείονα ταύταν πέπαται· ἔστι δ᾽ ὅκα καὶ δι᾽ ἀγαθῶν οὐ μετρίαν, καὶ διὰ συνήθειαν ἰσχυρὰν, καὶ διὰ φύσιν μοχθηρὰν καὶ δι᾽ ἄλλας αἰτίας πολλὰς ἀδυνατεῖ κατ᾽ ἄκραν γεναθῆμεν παναλαθέως ἀγαθός.

Ἐπεὶ ὦν τῶν ἀγαθῶν ἃ μὲν αὐτὰ ἐντὶ διὰ ταυτὰ αἱρετὰ, οὐ μὰν δι᾽ ἕτερον· ἃ δὲ δι᾽ ἕτερον, οὐ μὰν διὰ ταυτά·

ἐὼν ὤν καὶ τρίτον τι εἶδος ἄτερον ἀγαθῶν, ὃ καὶ διὰ ταυτὸν αἱρετόν ἐντι καὶ δι' ἕτερον. τίνων οὖν ἐντι τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἅπερ αὐτὰ διὰ ταυτὰ αἱρετὰ πέφυκεν ἦμεν, οὐ μὰν διὰ ἕτερον; φανερὸν ὅτι ἡ εὐδαιμοσύνα. ταύτας γὰρ ἕνεκα τὰ ἄλλα αἱρεόμεθα, αὐτὰν δὲ ταύταν, οὐδενὸς ἀτέρω. τίνα δὲ πάλιν ἐντὶ ἃ δι' ἕτερον μὲν αἱρεόμεθα, οὐ μὰν διὰ ταυτά γε; δᾶλον ὅτι τὰ ὠφέλιμα, καὶ τὰ παραιρετικὰ τῶν ἀγαθῶν, ἅπερ αἴτια γίνεται τῶν αἱρετῶν. οἷον πόνοι μὲν σώματος καὶ γυμνάσια καὶ τρίψιες, εὐεκτίας· ἀναγνώσιες δὲ καὶ μελέται καὶ ἐπιτηδεύσιες, καλῶν καὶ ἀρετᾶς. τίνα δὲ καὶ διὰ ταυτὰ αἱρετὰ, καὶ τὰ δι' ἕτερον; οἷον αἵ τε ἀρεταὶ καὶ αἱ ἕξιες αὐτῶν, καὶ αἱ προαιρέσιες, καὶ αἱ πράξιες, καὶ πᾶν τὸ ἐχόμενον τᾶς τῶ καλῶ οὐσίας. τὸ μὲν ὧν διὰ ταυτὸ αἱρετὸν, οὐ μὰν δι' ἕτερον, μονῆρες ἀγαθὸν ἐντὶ καὶ ἕν. τὸ δὲ καὶ δι' αὐτὸ καὶ δι' ἄτερον, τριχᾶ δέδασαι. τὸ μὲν γάρ τι αὐτῶ περὶ ψυχάν ἐστιν, τὸ δὲ περὶ σῶμα, τὸ δέ τι ἐκτός. περὶ ψυχὰν μὲν, αἱ τᾶς ψυχᾶς ἀρεταί· περὶ σῶμα δὲ, αἱ τῶ σώματος. ἐκτὸς δὲ, φίλοι, δόξα, τιμά, πλοῦτος. παραπλησίως δὲ, καὶ τὸ δι' ἄτερον αἱρετόν. τὸ μὲν γάρ τι αὐτῶ, τὰ ποιητικὰ τῶν τᾶς ψυχᾶς ἀγαθῶν. περὶ σῶμα δὲ, τὰ τῶ σώματος. ἐκτὸς δὲ, τὰ αἴτια πλούτω καὶ δόξας καὶ τιμᾶς καὶ φιλίας. ὅτι δὲ ταὶ ἀρεταὶ ἦμεν συμβέβακεν αὐταὶ διὰ ταυταὶ αἱρεταὶ, δῆλον καὶ ἐκ τῶνδε. εἰ γὰρ τὰ καταδεέστερα τᾷ φύσει, λέγω δὴ τὰ σώματος ἀγαθὰ, αὐτὰ διὰ ταυτὰ αἱρεόμεθα, κρέσσον δὲ ψυχὰ σώματος· φανερὸν ὅτι καὶ τὰ τᾶς ψυχᾶς ἀγαθὰ αὐτὰ διὰ ταυτὰ ἀγαπέομες, ἀλλ' οὐ διὰ τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν.

Τῷ δ' ἀνθρωπίνῳ βίῳ καιροὶ τρεῖς· ὁ μὲν ἐν εὐτυχίᾳ, ὁ δὲ ἐν ἀτυχίᾳ, ὁ δὲ μεταξὺ τούτων. ἐπεὶ ὧν ἀγαθὸς ἀνὴρ ὁ ἔχων ἀρετὰν, καὶ ὁ χρεόμενος ἀρετᾷ· χρῆται δὲ αὐτᾷ κατὰ τὼς τρεῖς καιρώς· ἢ γὰρ ἐν ἀτυχίᾳ, ἢ ἐν εὐτυχίᾳ

ἢ ἐν τοῖς μεταξὺ τούτων. καὶ ἐν ἀτυχίᾳ μὲν ἐντὶ κακοδαίμων, ἐν εὐτυχίᾳ εὐδαίμων, ἐν δὲ τᾷ μέσᾳ καταστάσει οὐκ εὐδαίμων. φανερὸν οὖν ὅτι οὐδὲν ἄτερόν ἐστιν εὐδαιμοσύνα, ἀλλὰ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. λέγομες δὲ νῦν εὐδαιμοσύναν, τὰν τῶ ἀνθρώπω. ὁ δ᾽ ἄνθρωπος οὐχ ἁ ψυχὰ μόνον, ἀλλὰ καὶ τὸ σῶμα. τὸ γὰρ ἐξ ἀμφοτέρων ζῶον, καὶ τὸ ἐκ τοιούτων, ἄνθρωπος. καὶ γὰρ εἰ τᾶς ψυχᾶς ὄργανον τὸ σῶμα πέφυκεν, ἀλλὰ καὶ τῶ ἀνθρώπω μέρος καὶ τοῦτο, καὶ ἁ ψυχά. διὸ καὶ τῶν ἀγαθῶν ἃ μὲν ἐντὶ ἀνθρώπω, ἃ δὲ τῶν μερέων. καὶ ἀνθρώπω μὲν ἀγαθὸν εὐδαιμοσύνα, τῶν δὲ μερέων τῶ ἀνθρώπω, ψυχᾶς μὲν φρόνασις, ἀνδρεία, δικαιοσύνα, σωφροσύνα· σώματος δὲ, κάλλος, ὑγίεια, εὐεκτία, εὐαισθησία. τὰ δ᾽ ἐκτὸς, πλοῦτος καὶ δόξα, καὶ τιμὰ, καὶ εὐγένεια, πέφυκεν ἐπιγέναμα ἤμεν τῶ ἀνθρώπω, καὶ ἀκόλουθα φύσει περὶ ὑφεστακόσιν ἀγαθοῖς, δορυφορεῖται τὰ μήονα τῶν ἀγαθῶν τὰ μείζονα. φιλία μὲν καὶ δόξα καὶ πλοῦτος, σῶμα καὶ ψυχάν· ὑγίεια δὲ καὶ ἰσχὺς καὶ εὐαισθησία, ψυχάν· φρόνασις δὲ καὶ ἀνδρεία καὶ σωφροσύνα καὶ ἁ δικαιοσύνα, τὸν νόον τᾶς ψυχᾶς· ὁ δὲ νόος τὸν Θεόν. οὗτος γὰρ ὁ κράτιστός ἐστιν καὶ ὁ ἁγεμονεύων· καὶ τούτων ἕνεκα καὶ τὰ ἄλλα τῶν ἀγαθῶν δεῖ παρῆμεν. στρατεύματος μὲν γὰρ ἁγεῖται στρατηγὸς, πλωτήρων δὲ κυβερνάτης, τῶ δὲ κόσμω Θεὸς, τᾶς ψυχᾶς δὲ νόος, τᾶς δὲ περὶ τὸν βίον εὐδαιμοσύνας φρόνασις. οὐθὲν γὰρ ἄτερόν ἐστι φρόνασις εἰ μὴ ἐπιστάμα τᾶς περὶ τὸν βίον εὐδαιμοσύνας, ἢ ἐπιστάμα τῶν κατὰ φύσιν ἀνθρώπω ἀγαθῶν.

Καὶ Θεῶ μὲν εὐδαιμοσύνα καὶ βίος ἄριστος· τῶ δ᾽ ἀνθρώπω ἐξ ἐπιστάμας καὶ ἀρετᾶς καὶ τρίτω εὐτυχίας, σωματούμενα παραγίνεται. λέγω δὲ ἐπιστάμαν, σοφίαν μὲν τῶν θείων καὶ δαιμονίων, φρόνασιν δὲ τῶν ἀνθρωπίνων καὶ τῶν περὶ τὸν βίον. τὰς γὰρ λόγοις καὶ ἀποδείξεσιν

ποτιχρωμένας ἀρεταῖς, δέον ἐπιστάμας ποταγορεύεν. ἀρεταὶ δὲ, ταὶ ἠθικαὶ καὶ βελτίσταν ἕξιν τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, καθ' ἃν καὶ ποιοί τινες ἦμεν λεγόμεθα κατὰ τὸ ἦθος· οἷον ἐλευθέριοι, δίκαιοι καὶ σώφρονες. εὐτυχίαν δὲ, ταὶ παρὰ τὸν λόγον τῶν ἀγαθῶν παρουσίαν, καὶ μὴ δι' αὐτὸν γινομέναν. ἐπεὶ ὧν ἁ μὲν ἀρετὰ καὶ ἐπιστάμα ἐφ' ἁμῖν, ἁ δ' εὐτυχία οὐκ ἐφ' ἁμῖν· ἐν δὲ θεωρίαις καὶ πράξεσι τῶν καλῶν τὸ εὐδαιμονᾷν· αἱ δὲ θεωρίαι καὶ αἱ πράξιες ποταύτεις μὲν οὖσαι, λειτουργίαν καὶ ἀνάγκαν ἐπιφέροντι· εὐοδοῦσαι δὲ, διαγωγὰν καὶ εὐδαιμοσύναν· γίνεται δὲ ταῦτα ἐν εὐτυχίᾳ· φανερὸν ὅτι οὐδὲν ἀτερόν ἐστιν εὐδαιμοσύνα, εἰ μὴ χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ. ὅτι ὁ ἀγαθὸς ἀνὴρ οὕτω διάκειται ποτ' εὐτυχίαν, ὥσπερ καὶ ὁ τῷ σώματι καλῶς ἔχων καὶ ῥωμαλέως. καὶ γὰρ ἐκεῖνος οἷός τε καὶ θάλπος καὶ ψύχος ὑπομένεν, καὶ βάρος ἆραι μέγα, καὶ πολλὰς ἀτέρας εὐχερῶς ὑπομένεν κακοπαθείας.

Ἐπεὶ ὧν εὐδαιμοσύνα, χρᾶσις ἀρετᾶς ἐν εὐτυχίᾳ, περὶ ἀρετᾶς καὶ εὐτυχίας λέγωμες, καὶ πρᾶτον περὶ εὐτυχίας. τῶν γὰρ ἀγαθῶν ἁ μὲν οὐκ ἐπιδέχεται ὑπερβολάν, οἷον ἀρετά. οὐ γάρ ἐστιν ὑπερβάλλουσά τις ἀρετά, καὶ ὑπερβαλλόντως τις ἀγαθός. ἁ γὰρ ἀρετὰ στάθμαν ἔχει τὸ δέον, καὶ ἔστι τῶ δέοντος ἕξις ἐν τοῖς πρακτοῖς· ἁ δ' εὐτυχία καὶ ταὶ ὑπερβολαὶ ἐπιδέχεται καὶ ταὶ μήωσιν. ὑπερβάλλοισα δὲ γεννᾷ τινὰς κακίας, καὶ ἐξίστησι τὸν ἄνθρωπον ἐκ τᾶς κατὰ φύσιν ἕξιος. ὥστε πολλάκις αἰτιβαίνει καὶ τᾷ συστάσει τᾶς ἀρετᾶς. καὶ οὐ μόνον ἁ εὐτυχία, ἀλλὰ καὶ ἅτεραι αἰτίαι πλείονες. οὐδέποκα γὰρ δεῖ θαυμαίνειν, περὶ μὲν αὐλητικὰν ἦμεν τινὰς ἀλαζόνας, οἳ τὰ ποτ' ἀλάθειαν ἐάσαντες, φαντασίᾳ τινὶ ψευδεῖ τὼς ἀμφόσως ἀεὶ ῥέοντι περὶ δὲ ταὶ ἀρεταὶ μὴ ἦμεν τὸ τοιοῦτο γένος. ἀλ

ὅσωπερ σεμνότερόν ἐστι, τοσούτῳ καὶ τὸ ποτιποιούμενον περὶ αὐτὰν πλέον ἦμεν γένος. πολλὰ γάρ ἐστι τὰ διαστρέφοντα τὰς περὶ τὰν ἀρετὰν ἐπιφανείας, ὧν ἓν μέν ἐστι τὸ τῶν ἐπιβουλευόντων καὶ ποτιποιουμένων γένος. ἄπειρα δὲ φυσικὰ πάθεα παρακολουθέοντα ἐνίοκα ποιέοντι ἐναντίαν ἐπιπρέπειαν τᾶς ἀληθινᾶς διαθέσιος· τινὰ δὲ τὰ δι' ἔθος συνεκτεθραμμένα ἐκ παλαιῶν χρόνων· οὐκ ὀλίγα δὲ καὶ δι' ἁλικίας ἁβητικᾶς τε καὶ γεροντικᾶς, καὶ δι' εὐτυχίας ἢ καὶ ἀτυχίας, καὶ δι' ἀπέρως παμπληθέας τόπως. ὥστε οὐδέποκα δεῖ θαυμαίνεν εἰ πάντ' ἀντεστραμμένως ἐνίοκα κρίνεται, τᾶς ἀληθινᾶς διαθέσιος μεταπιπτούσας. ὥσπερ καὶ τέκτονα τὸν ἄριστον ἦμεν δοκέοντα πολλὰ ἐν τοῖς ὑποκειμένοις ἔργοις ὁρέομες ἁμαρτάνοντα· καὶ στραταγὸν, καὶ κυβερνάταν, καὶ γραφέα, καὶ πάντας ἁπλῶς· ἀλλ' ὅμως οὐκ ἀποστεροῦμες τᾶς ὑπαρχούσας ἕξιος. οὔτοι δὲ τὸν ἀκολασταίνοντα ἔν τισι καιροῖς, οὐδὲ τὸν ἀδικήσαντα, οὐδὲ τὸν ἀποδειλιάσαντα, εἰς τὼς κακὼς τακτέον ἄνδρας· οὐδὲ μὰν τὼς τούτων τι κατορθώσαντας εἰς τὼς ἀγαθώς. ἀλλὰ τοῖς τε φαύλοις τὸ τυχὸν ποτιδοτέον, τοῖς τε ἀγαθοῖς τὸ διαμαρτάνεν. τὰν δὲ ἀλαθινὰν κρίσιν οὐ ποθ' ἕνα καιρὸν ἀποβλέποντας, οὐδ' ἐπὶ χρόνου τι πλᾶθος, ἀλλ' ἐπὶ πάντα τὸν βίον. ὥσπερ δὲ τὸ σῶμα βλάπτει μὲν καὶ τὸ τᾶς ἐνδείας, καὶ τὸ τᾶς ὑπερβολᾶς εἶδος, οὐ μὰν ἐν ἴσα· νόσως τε μέζονας ἐμποιεῖν πέφυκεν ἁ ὑπερβολὰ, καὶ τὰ καλεόμενα περιοσώματα· οὕτω καὶ ψυχὰν βλάπτει μὲν καὶ τὸ τᾶς εὐτυχίας ἢ ἀτυχίας εἶδος ἀκαίρως παραγενόμενον· οὐ μὰν ἀλλὰ νόσως τε μέζονας ποιὲν πέφυκεν ἁ λεγομένα παρὰ πάντεσσιν εὐτυχία, ὥσπερ οἶνος καταμεθύσκουσα τοῖς ἀγαθοῖς τὰν διάνοιαν.

Ὅθεν οὐκ ἀτυχίαν ἐνεγκὲν ἐμμελῶς χαλεπώτερόν ἐστιν, ἀλλ' εὐτυχίαν. πάντες μὲν γὰρ ἐν ἀτυχίᾳ μένοντες,

ὡς ἐπὶ πολὺ μέτριοι καὶ κόσμιοι τὸ ἦθος ἡμῖν φαίνονται· ἐν δὲ δυσπραγίαις ἀνδρεῖοι, μεγαλόφρονες, μεγαλόψυχοι. δεινὰ γὰρ ἀτυχία συναγαγεῖν καὶ καταρτῆσαι τὰν ψυχάν· ἁ δὲ δυσπραγία τοὐναντίον ἐπᾶραι καὶ κενῶσαι. διὸ ποθεκτικοὶ μὲν ἅπαντες καὶ συνετοὶ τὸν τρόπον, ἀτυχέοντες· ἐπιθετικοὶ δὲ καὶ θαρσαλέοι τὸν τρόπον, εὐτυχέοντες. ὅρος δὲ ἐστιν εὐτυχίας, ἂν περιέλοιτο ὁ ἀγαθὸς ἀνὴρ συνεργὸν αὐτῷ γινομέναν ποτὶ τὰς ἰδίας πράξιας. ὥσπερ καὶ μέγεθος ναῶ, καὶ μέγεθος παδαλίω, ᾧ καθικνεῖσθαι δύναται ὁ ἀγαθὸς κυβερνάτας μεγάλα πελάγεα διαπεραιούμενος, καὶ μεγάλαν ναυκλαρίαν στελλόμενος. ἁ δὲ ὑπερβολὰ τᾶς εὐτυχίας τοῖς ἀγαθοῖς, οὐ κρατεῖσθαι πέφυκεν ὑπὸ τᾶς ψυχᾶς, ἀλλὰ κρατὲν αὐτᾶς. ὥσπερ γὰρ τὸ λαμπρὸν φάος μαραυγίαν περιτίθησι τοῖς ὀφθαλμοῖς· οὕτω καὶ ἁ ὑπερβάλλουσα εὐτυχία τῷ νόῳ τᾶς ψυχᾶς. καὶ περὶ μὲν οὖν εὐτυχίας ἅλις εἰρήσθω.

# ΘΕΑΓΟΥΣ ΤΟΥ ΠΥθαγορείου ἐν τῷ περὶ ἀρετῶν.

Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτῆς ἐστι λογισμός, τὸ δὲ, θύμωσις, τὸ δὲ, ἐπιθυμία. λογισμὸς μὲν, ὁ κρατέων τᾶς γνώσιος· θυμὸς δὲ ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δὲ, ἡ κρατεῦσα τῶ ἐπιθυμητικῶ ἀδέως. ὅκα ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ

μίαν ἐπιδεξαμένα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμόνοια ἐν τᾷ ψυχᾷ· ὅκα δὲ στασιάζοντα ἀπ' ἀλλήλων ἀπιάσασαι, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. ἀνάγκα δὴ ἀρετὰν τρία ταῦτα ἔχειν, λόγον, δύναμιν, καὶ προαίρεσιν. τῶ μὲν οὖν λογικῶ μέρεος τᾶς ψυχᾶς, ἀρετὰ ἁ φρόνησις. κριτικὰ γὰρ ἐντὶ καὶ θεωρητικὰ ἕξις. τῶ δὲ θυμοειδέος, ἀνδρεία· ἕξις γὰρ ἐντὶ ἀντιρειστικὰ καὶ ὑποστατικὰ τῶν δεινῶν. τῶ δ' ἐπιθυμητικῶ, ἁ σωφροσύνα. μετριότης γὰρ ἐντὶ καὶ κατοχά τις ἡδονῶν τῶν διὰ σώματος. ὅλας δὲ τᾶς ψυχᾶς, ἁ δικαιοσύνα. φαῦλοι μὲν γὰρ τοι ἄνθρωποι γίνονται, ἢ διὰ κακίαν, ἢ δι' ἀκρατίαν, ἢ διὰ θηριότητα. ἀδικοῦντι δὴ ἀλλάλως ἢ διὰ κέρδος, ἢ δι' ἡδονὰν, ἢ διὰ φιλοτιμίαν. ἁ μὲν οὖν κακία τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἐντὶ οἰκειοτέρα. προσέοικε γὰρ ἁ μὲν φρόνασις τᾷ τέχνᾳ, ἁ δὲ κακία τᾷ κακοτεχνίᾳ ἦμεν. μαχανάσιος γάρ ποθεν εὑρίσκει τὸ ἄδικον. ἁ δὴ ἀκρασία μᾶλλον τῶ ἐπιθυμητικῶ. ἐν γὰρ τῷ κρατεῦν ἁδονᾶς, ἡ ἐγκράτεια· καὶ ἐν τῷ μὴ κρατεῦν, ἡ ἀκρατία. ἁ δὲ θηριότας, τῶ θυμοειδέος. ὅκα γὰρ τῇ ἐπιθυμίᾳ τὸ κακῶς ποιῆσαι χαρίζηταί τις, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θηρίον, τὸ τοιόνδε ὀνομάζεται θηριῶδες. ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τῶν διαθέσιων τούτων, ὧνπερ ἕνεκα πράσσονται. ἁ μὲν γὰρ πλεονεξία, ἀπὸ κακίας· ἁ δὲ κακία, ἀπὸ τοῦ λογιστικοῦ μέρεος τᾶς ψυχᾶς. καὶ ἡ μὲν φιλοτιμία, ἀπὸ τοῦ θυμοειδέος· αὐτὰ δὴ ἐν ὑπερβολᾷ γινομένα, γεννᾷ τὰν θηριότητα. πάλιν δὲ ἁ μὲν ἡδονὰ ἐν τῷ ἐπιθυμητικῷ, σφοδρότερον δὲ μαστευομένα, γεννᾷ τὰν ἀκρατίαν. ὥστ' ἐπεὶ τὸ ἀδικεῦν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν ὅτι τὸ δικαιοπραγεῖν γίνεται διὰ τὰς ἴσας. φύσει γὰρ ἁ μὲν ἀρετὰ ἀγαθοποιὸς καὶ ὠφελητικά· ἁ δὲ κακία, κακοποιὸς καὶ βλα-

πικά. ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων τὸ μὲν ἐντὶ ἀγεόμενον, τὸ δ' ἑπόμενον· αἱ δ' ἀρεταὶ καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις· φανερὸν ὅτι καὶ τῶν ἀρετᾶν ταὶ μὲν ἐντὶ ἀγεμονικαί, ταὶ δ' ἐπιτικαί, ταὶ δὲ σύνθετοι ἐκ τούτων. ἀγεμονικαὶ μέν, οἷον ἁ φρόνασις· ἐπιτικαὶ δέ, οἷον ἀνδρεία καὶ σωφροσύνα. σύνθετος δ' ἐκ τούτων, οἷον ἁ δικαιοσύνα. τὰ δὲ πάθεα, τᾶς ἀρετᾶς ὕλα. περὶ ταῦτα γὰρ καὶ ἐν τούτοις αἱ ἀρεταί. τῶν δὲ παθέων τὸ μέν, ἑκούσιον, τὸ δ' ἀκούσιον. καὶ ἑκούσιον μέν, ἁδονά· ἀκούσιον δέ, λύπα. ταυτὰ δὲ ταῦτα καὶ ἐπιτείνοντι καὶ ἀνιέντι τοὶ πολιτικοί, συναρμόζοντες τὰ ἄλλα μέρεα τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. ταύτας δὲ συναρμογᾶς ὅρος, τὸ μήτε διὰ τὰν ἔνδειαν, μήτε διὰ τὰν ὑπερβολὰν ἀπείργεσθαι τὸν νόον τὸ ἴδιον ἔργον ἐπιτελέν. συντέτακται γὰρ τὸ χέρηον ἕνεκα τῶ βελτίονος. ὡς ἐν μὲν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος, ἕνεκα τῶ ἀεικινάτω· ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζώων, τὸ θῆλυ ἕνεκα τοῦ ἄρρενος· (τὸ μὲν γὰρ σπείρει τὰν ψυχὰν γεννῶν, τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ) ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον τῶ λογικῶ. συντέτακται γὰρ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς· τὸ μέν, ὥσπερ δορυφόρος τις καὶ σωματοφύλαξ, τὸ δ', ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων. ὁ δὲ νόος ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ὄψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνασιν. καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον, καὶ κτησάμενον, ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτοῦ, καὶ τιμιωτάτοις. ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας, ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις.

# ἘΚ ΤΩ͂Ν ΜΕΤΏΠΟΥ

## τοῦ Πυθαγορείου ἐν τῷ περὶ ἀρετᾶς.

Ἀρετὰ ἐντὶ ἀνθρώπω, τελειότας φύσιος ἀνθρώπω· ἕκαστον γὰρ τῶν ἐόντων, τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὰν οἰκείαν τᾶς ἀρετᾶς φύσιν. ἵππω τε γὰρ ἀρετὰ ἐντὶ, ἁ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν. καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ' ἕκαστον ὁ αὐτὸς λόγος. ὀμμάτων τε γὰρ ἀρετὰ ὀξυδορκία· αὐτὰ δ' ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος. καὶ οὐάτων ἀρετὰ, ὀξυακοΐα· αὐτὰ δ' ἀκρότας ἐντὶ τᾶς οὐάτων φύσιος. καὶ ποδῶν ἀρετὰ, ποδωκεία· καὶ αὐτὰ δὲ ἀκρότας ἐντὶ τῆς ποδῶν φύσιος. ἀνάγκη δ' ἀρετὰν πᾶσαν τρία ταῦτ' ἔχειν, λόγον, καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μὲν, ᾧ κρίνει καὶ θεωρεῖ· δύναμιν δὲ, ᾧ ἀντέχει καὶ κρατεῖ· προαίρεσιν δὲ, ᾧ στέργει καὶ ἀγαπᾷ. τὸ μὲν οὖν κρίνεν καὶ θεωρὲν, ἐντὶ τῶ διανοητικῶ μέρεος τᾶς ψυχᾶς· τὸ δ' ἀντέχεν καὶ κρατὲν, ἴδιον τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος. ἁ μὲν ὦν διάνοια ἀπὸ τῶ λογικῶ μέρεος ἐντὶ τᾷ ψυχᾷ, ἁ δὲ ὄρεξις ἀπὸ τῶ ἀλόγω. τὸ δὲ πλῆθος τᾶν ἀρετᾶν ἁπασᾶν ἐκ τῶν μερέων τᾶς ψυχᾶς κατίδοιτο αὖ τις, ὡσαύτως δὲ καὶ τὰν γένεσιν καὶ τὰν σύστασιν τᾶς ἀρετᾶς. ἐπὶ γὰρ τῶν μερέων τᾶς ψυχᾶς δύο τὰ πρῶτα, τὸ μὲν, λογιστικὸν, τὸ δ' ἄλογον· καὶ λογιστικὸν μὲν, ᾧ κρίνομες καὶ θεωροῦμες· ἄλογον δὲ, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα. ταῦτα δὲ ἀλλήλοις ἢ συμφωνοῦντι, ἢ διαφωνοῦντι. ἁ δὲ μάχα καὶ διαφωνία γί-

νεται αὐτοῖς, δι' ὑπερβολὰν καὶ ἔλλειψιν. φανερὸν ὦν, ὅκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐγκρατῆ τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια· ὅκα δὲ τὸ μὲν ἡγῆται, τὸ δ' ἕπηται, καὶ ἀμφότερα συμφωνῇ ἀλλάλοις, τὸ τηνικαῦτα ἀρετά. ἁ μὲν ὦν καρτερία καὶ ἐγκράτεια γίνεται μετὰ λύπας· ἁ μὲν καρτερία, ἐν τῷ ἀντέχεν πόνῳ· ἁ δ' ἐγκράτεια, ἐν τῷ ἀντέχεν ἡδονᾷ. ἁ δ' ἀκρατία καὶ μαλακία, ἐν τῷ μὴ ἀντέχεν, μηδὲ κρατέν. καὶ διὰ τοῦτο συμβαίνει φεύγεν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβαλὲν δ' αὐτὰ διὰ ἡδονήν. καίτοι ἔπαινοι δὲ καὶ ψόγοι καὶ τὰ καλὰ πάντα τὰ περὶ τὸν ἄνθρωπον, γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς. καὶ καθόλω μὲν ἁ τᾶς ἀρετᾶς σύστασις γίνεται τοῦτον τὸν τρόπον· τὰ δὲ εἴδεα αὐτᾶς καὶ τὰ μέρεα οὕτως αἴτις ἀθρησάτω. ἐπεὶ γὰρ τᾶς ψυχᾶς δύο μέρεα, τὸ μὲν, λογιστικὸν, τὸ δὲ ἄλογον· τὸ μὲν θυμοειδὲς, τὸ δ', ἐπιθυματικόν. καὶ τὸ μὲν λογιστικὸν ἐντι, ᾧ κρίνομες καὶ θεωροῦμες· τὸ δ' ἄλογον, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα· καὶ τούτου τὸ μὲν οἷον ἀμυντικὸν, καὶ ὑπερμαχατικὸν ποτὶ πλασίον, θυμοειδὲς ὀνυμάζεται· τὸ δ' οἷον ὀρεκτικὸν καὶ ποθητικὸν τᾶς οἰκείας τῶ σώματος συστάσιος, ἐπιθυματικόν· φανερὸν ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς καὶ τὸ πλᾶθος τᾶν ἀρετᾶν ἀκολούθακεν, καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτῶν.

# ἘΚ ΤΩ͂Ν ΚΛΕΙΝΙΌΥ
## τοῦ Πυθαγορείου.

Πᾶσα μὲν ὦν ἀρετὰ τελεοῦται, καθάπερ ἐν ἀρχᾷ διώρισται, ἐκ λόγου καὶ προαιρέσεως καὶ δυνάμεως. τούτων δὲ καθ' ἑαυτὸ ἕκαστον, οὐκ ἀρετᾶς μέρος ἐντὶ, ἀλλ' αἴτιον ἀρετᾶς. ὅσοι μὲν οὖν ἔχοντι τὸ νοατικὸν καὶ γνωστικὸν μέρος αὐτᾶς, δεινοί τε καὶ συνετοὶ ὀνυμαίνονται· ὅσοι δὲ τὸ ἠθικόν τε καὶ προαιρετικὸν, χρήσιμοί τε καὶ ἐπιεικέες. ὁπόταν δὲ ἐκ τᾶς αἰτίας ἀναρριπισθείσας ᾖ, ἀδικεῖν πέφυκεν ἄνθρωπος· αὗται δὲ τρεῖς τυγχάνοντι· φιλαδονία μὲν, ἐν ταῖς ἀπολαύσεσι τᾶς διὰ σώματος· πλεονεξία δὲ, ἐν τῷ κερδαίνειν· φιλοδοξία δὲ, ἐν τῷ καθυπερέχεν τε τῶν ἴσων τε καὶ ὁμοίων· δεῖ τοιγαροῦν γνωρίζειν ὅτι τούτοις ἀντιτιθέμεναι οἷόν τέ ἐστιν ἃ μὲν φόβον παρασκευάζοντι τοῖς ἀνθρώποις, ἃ δὲ αἰσχύναν, ἃ δὲ καὶ ἐπιθυμίαν· φόβον μὲν δὴ τῶν νόμων, αἰσχύναν δὲ τῶν θεῶν, ἐπιθυμίαν δὲ τῶν λόγων. διδάσκειν οὖν δεῖ τοὺς νέους ἐξ ἀρχᾶς τάν τε θεῶν τιμὰν καὶ τὰν τῶν νόμων. ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη ὅτι πᾶν ἔργον ἀνθρώπινον, καὶ βίος, ὁσιώτατός τε, καὶ εὐσεβείας μεθέξει ἅμ' ὀρθοπλοεῖ.

# ἘΚ ΤΩ͂Ν ΘΕΑ΄ΓΟΥΣ τῶ Πυθαγορείου ἐν τῷ περὶ ἀρετῶν.

Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς, τρεῖς· γνῶσις, καὶ δύναμις, καὶ προαίρεσις. καὶ ἔστιν ἁ μὲν γνῶσις, ᾇ θεωροῦμεν καὶ κρίνομεν τὰ πράγματα· ἁ δὲ δύναμις, οἷον ἀλκά τις τῶ σκάνεος, ᾇ ὑφιστάμεθα, καὶ ἐμμένομεν τοῖς πράγμασιν· ἁ δὲ προαίρεσις, οἷον χεῖρες ψυχᾶς τινες, αἷς ὁρμώμεθα καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος, οὕτως· τὸ μὲν γάρ τι αὐτᾶς, ἐντὶ λογισμὸς, τὸ δὲ θύμωσις, τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν οὖν, ὁ κρατέων τᾶς γνώσιος· θυμὸς δὲ, ὁ κρατέων τῶ μένεος· ἐπιθυμία δὲ, ἡ κρατοῦσα τῶ ἐπιθυμητικοῦ. ὅκα οὖν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ, μίαν ἐπιδεξάμενα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ, καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ. ὅκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλήλων ἀπέσπασται, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερῶν τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια. καρτερία μὲν, ἐν τῇ κατοχῇ τῶν πόνων· ἐγκράτεια δὲ, ἐν τᾷ κατοχᾷ τῶν ἡδέων. ὅκα δὲ τὰ ἄλογα μέρεα τῆς ψυχῆς ἐπικρατεῖ τῶ λογισμοῦ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία· μαλακία μὲν, ἐν τῷ φεύγειν τὼς πόνους· ἀκρατία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἡδέων. ὅκα δὲ τὸ μὲν κρεῖσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς, τὸ δὲ χέρηον ἄρχηται, καὶ τὸ μὲν ἡγῆται, τὸ δ' ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλήλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ

παναγαθία περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκα μὲν τὸ ἐπιθυμητικὸν ἕπηται μέρος τῆς ψυχῆς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὅκα δὲ τὸ θυμοειδὲς, ἀνδρειότης· ὅκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἡ διείργουσα τάς τε κακίας πάσας τῆς ψυχῆς καὶ τὰς ἀρετὰς ἀπ' ἀλλήλων. καὶ ἔστιν ἁ δικαιότας, σύνταγμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα. πάντα γὰρ ἐν ταύτᾳ. τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς, οὐκ ἄτερθε ταύτας. διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας καὶ ἐν ἀνθρώποις. τοῦ γὰρ ὅλου καὶ τοῦ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γε οὖν φημίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς· δίκα δὲ, παρὰ τοῖς χθονίοις· νόμος δὲ, παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σημεῖα καὶ σύμβολα τοῦ τὰν δικαιότατα πανυπερτάταν ἀρετὰν ὑπάρχειν. ὅκα μὲν οὖν ἐν τῷ θεωρεῖν καὶ κρίνειν γίνηται ἁ ἀρετὰ, καλέεται φρόνασις· ὅκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἡδέα, σωφροσύνη· ὅκα δ' ἐν τῷ κέρδεος ἀπέχεσθαι καὶ βλάβας τᾶς εἰς τὸν πλασίον, δικαιότας. ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις, καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντος ἐντὶ στοχασμὸς, καὶ τοῦ μὴ δέοντος ἐπίπλωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν· τοῦτο δὲ οὐκ ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται. αὐτὸ γάρ ἐστιν ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεε δύο· τὸ μὲν ὑπερβολὰ, τὸ δὲ ἔλλειψις. καὶ ἁ μὲν ὑπερβολὰ, τὸ πλέον τοῦ δέοντός ἐστιν· ἁ δ' ἔλλειψις, τὸ ἔλαττον. ἁ δ' ἀρετὰ, ἕξις τις ἐντὶ τοῦ δέοντος. διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί. οὕτω γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες. μεσότατες μὲν, ὅτι ἐντὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος τίθοντι· ἀκρότατες δὲ, ὅτι οὔτε προσθέσιος οὔτ' ἀφαιρέσιος δέονται. αὐτὰ γὰρ ἐντὶ ταῦτα ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐπειδὴ ἁ τῶ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἡδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τῆς ψυχῆς ἀδοναὶ καὶ λύπαν, ἁ ἀρετὰ πέφυκεν, ἀλλ᾽ ἐν τῷ ταῦτα συναρμόζεσθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τις ἐοῦσα τῶν τοῦ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμὸν, καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν, πέφυκεν, ἀλλ᾽ ἐν τῷ ταῦτα συγκερασθῶμαι. ἐν τι γὰρ ἐστὶ συμμετρία τις τούτων. οὐδ᾽ ἐν τᾷ μωσικᾷ, ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ, τὸ σύμφωνον πέφυκεν· ἀλλ᾽ ἐν τῷ ταῦτά πως συναρμόξασθαι. συναρμοσθὲν τῶ ὀξέος καὶ τῶ βαρέος, τὸ μὲν σύμφωνον ἀναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται. συναρμοσμένων δὲ καὶ τῶ θερμοῦ καὶ τῶ ψυχροῦ, καὶ τῶ ὑγροῦ καὶ τῶ ξηροῦ, ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται. συναρμοσμένων δὲ καὶ τῶ θυμοῦ καὶ τῆς ἐπιθυμίας, αἱ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ᾽ ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι δυνατὸν, καὶ ἄνευ ἀρετᾶς, προαιρέσει δ᾽ οὐ δυνατόν. τὸ γὰρ ἀξίωμα τῶ ἤθεος ἁ προαίρεσις σημαίνει. διὸ καὶ μετὰ τῆς βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμοῦ καὶ ἐπιθυμίας, ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ· μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶν ἀλόγων, ἀκρασίαν καὶ μαλακίαν. αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς, ἡμιτελέες μὲν ἀρεταὶ, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δ᾽ ἄλογα μέρεα τᾶς ψυχᾶς νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς, καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία, ἀρεταὶ τυγχάνοντι· καθὸ δὲ μετὰ βίας, ἀλλ᾽ οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι. δεῖ γὰρ ταὶ ἀρεταὶ μὴ μετὰ λύπας, ἀλλὰ μετὰ ἡδονᾶς τὰ δέοντα πράσσειν. πάλιν δὲ καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἐπι-

θυμία τῷ λογισμῷ, μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα; κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπης χαίροντι τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμπλακίσκοντι, τὸ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταῦται δ' οὐ κακίαι πλάνον. αὐτό γε τοῦτο φανερὸν, ὅτι ἑκουσίως δεῖ ταὶ ἀρεταὶ τὰ δέοντα πράσσειν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω· τὸ δὲ ἑκούσιον, οὐκ ἄνευ ἡδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσοι, καὶ παρέτω ταῦθ' οὕτως ἔχειν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων, τῶ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις, τῶ ἀλόγω. τὸ γὰρ αὐτέχειν μὴ δύνασθαι τῶν πόνων, ἐπικρατεῖν δὲ ταὶ ἁδοναὶ, οἰκεῖον ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς· ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καὶ τῷ ἀλόγῳ. σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος. ὧν ἁ μὲν διάνοια τοῦ λόγον ἔχοντος ἐντὶ, ἁ δ' ὄρεξις, τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς· τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

Καθόλου μὲν οὖν ἀρετὰ, συναρμογά τις ἐντὶ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ, τῷ καὶ ταὶ ἁδοναὶ καὶ ταὶ λύπαι ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος. οὐδὲν γὰρ ἄτερον ἀληθινὴ ἀρετὰ, εἰ μὴ ἕξις τῶ δέοντος. αὐτὸ δὲ τὸ δέον ἐντὶ ὅπως δεῖ ἦμεν· τὸ δὲ μὴ δέον, ὅπως οὐ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεαι δύο· τὸ μὲν ὑπερβολὰ, τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ, τὸ πλέον τῶ δέοντος· ἔλλειψις δὲ, τὸ ἔλαττον τῶ δέοντος. τὸ δὲ δέον αὐτὸ ἐὸν, ὥσπερ δεῖ ἦμεν, καὶ ἄκρον ἂν ὑπάρχοι καὶ μέσον. ἄκρον μὲν, ὅτι οὔτ' ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται· μέσον δὲ, ὅτι μεταξὺ ἐντὶ τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος. ἔχει δὲ τὸ δέον καὶ μὴ δέον εἰς ἄλλαλα οὕτως ὥσπερ τὸ ἴσον καὶ ἄνισον, καὶ τὸ τεταγμένον καὶ ἄτακτον (ταῦτα δ' ἐντὶ ἀμφότερα, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον)

καὶ διὰ τοῦτο τοῦ ἀνίσου τὰ μέρεα λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλλαλα. ἀμβλεῖά τε γὰρ ὀνομάζεται γωνία, ἁ μείζων ὀρθᾶς· ὀξεῖα δὲ, ἁ μείων ὀρθᾶς. καὶ μείζων μὲν εὐθεῖα, ἁ ὑπερέχουσα τὰν ἐκ τοῦ κέντρου. καὶ μακροτέρα μὲν ἁμέρα ἰσημερινᾶς. καί τε νόσοι τε γίνονται τοῦ σώματος, διὰ τὸ θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερόν ἐντι, τὸ πλέον τῶ μετρίω· τὸ δὲ κρυμωδέστερον, ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ, καὶ τὰ περὶ αὐτὰν, τὰν διάθεσιν καὶ τὰν ἀναλογίαν ταύταν· ἁ μὲν οὖν θρασύτας ἐντὶ ὑπερβολὰ τοῦ δέοντος, ἐν ὑποστάσει δεινῶν· ἁ δὲ δειλότας, ἔλλειψις τῶ αὐτῶ· καὶ ἁ μὲν ἀσωτία, ὑπερβολὰ τῶ δέοντος ἐν δαπάνῃ χρημάτων· ἁ δὲ ἀνελευθερία, ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ὀργὰ, ἐντὶ ὑπερβολὴ τοῦ δέοντος ἐν ὁρμᾷ θυμοῦ· ἁ δ' ἀναλγησία, ἔλλειψις τούτου. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων διαθέσεων τῶν ἀντικειμένων. δεῖ δ' ἕξιν τοῦ δέοντος ὑπάρχοισαν τὴν ἀρετὴν, καὶ μεσότητα τῶν παθέων, μήτ' ἀπαθέα, μήτ' ἐκπαθέα ἦμεν. ἁ μὲν γὰρ ἀπάθεια, ἀπαρόρμητον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν· ἁ δ' ἐκπάθεια, συντεταραγμέναν καὶ ἀνεπιλόγιστον. δεῖ ὦν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τῆς γραφῆς. τὸ γὰρ ἔμψυχον καὶ τὸ ἀπαλὸν, καὶ τὸ μεμιμημένον τὴν ἀλήθειαν σὺν τῇ χρηστότητι τῶν χρωμάτων, μάλιστα γίνεται διὰ τούτων. ἔμψυχα δὲ ἐκ παρορμήσεως καὶ ἐνθουσιασμοῦ ἀρετῆς τᾶς κατὰ φύσιν τὰ πάθεα τῆς ψυχῆς. γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀρετά. καὶ γεννηθεῖσα, πάλιν σὺν αὐτοῖς συνίσταται· ὥσπερ καὶ τὸ καλῶς ἡρμοσμένον ἐκ τοῦ ὀξέως καὶ βαρέως, καὶ τὸ εὔκρατον ἐκ τοῦ θερμοῦ καὶ ψυχροῦ, καὶ τὸ ἰσόρροπον ἐκ τοῦ βαρέος καὶ κούφω. οὐκ ἀφελεῖν οὖν δεῖ τὰ πάθεα τῆς ψυχῆς, (οὔτε γὰρ ὠφέλιμον) ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον τῶ δέοντος καὶ τῶ μετρίω.

# ἘΚ ΤΩ͂Ν ἈΡΧΥ'-
# του τοῦ Πυθαγορείου ἐν τῷ περὶ τᾶς ἠθικᾶς παιδείας.

ΦΗμὶ τὰν ἀρετὰν ἦμεν ποτὸ μὴ κακοδαιμονεῖν ἱκανὰν, τὰν δὲ κακίαν ποτὸ μὴ εὐδαιμονεῖν, αἴκα τὰς ἕξιας αὐτὰς κρίνομες. αἰεὶ μὲν γὰρ κακοδαιμονεῖν ἀνάγκα τὸν κακὸν, αἴτε ἔχῃ ὕλαν, κακῶς γὰρ αὐτᾷ χρέεται· αἴτε σπανίζοι. ὡς γὰρ τὸν τυφλὸν, αἴτε φῶς ἔχῃ καὶ λαμπρότητα ὁρατὰν, αἴτε ἐν σκότει διατελεῖ. οὐκ αἰεὶ δὲ εὐδαιμονεῖν τὸν ἀγαθόν. οὐ γὰρ ἁ κτῆσις τᾶς ἀρετᾶς εὐδαιμονία ἐστὶ, ἀλλὰ χρῆσις. καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν, οὐχ ὁρᾷ αἰεί. αἱ γὰρ μὴ ἔχοι φῶς, οὐκ ὄψεται. δύο δ' ὁδοὶ τέμνονται ἐν βίῳ, ἁ μὲν, σκυθρωποτέρα, ἂν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεύς· ἁ δὲ, εὐδιεινοτέρα, τὰν ἐπορεύετο Νέστωρ. τὰν ὦν ἀρετὰν φαμὶ δηλῆσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐσταθέα, διὰ τὸ γνώμας τελεσθῆναι. ὥστε ἃ μὴ δηλῆταί τις παρεόντας, οὐκ εὐδαίμων μὲν, οὐ μὰν πάντως κακοδαίμων. Μὴ ὦν ἄνοσον καὶ ἀνάλγητον γραφόντων τὸν ἀγαθὸν εἰπεῖν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν. ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομεν, οὕτω καὶ ψυχαῖς ἐπώδυνα. ἀλλ' αἱ μὲν ἀφρόνων λῦπαι ἀλόγιστοι πέλονται· αἱ δὲ φρονίμων, ἐς ὅσον ὁ λόγος ἐπιτρέπει ὁρίσδων τὰ πράγματα. ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας, ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἐν διαφόροις καὶ μὴ κακοῖς θανάτῳ

τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκη. ἀνταγώνιστα γὰρ τὰ μὴ κακά. ἀσκητέον ὦν ποτὶ μετριοπαθίαν ἴεμεν, ὡς τότε ἀνάλγητον εἰς ἴσον τῷ ἐκπαθεῖ φεύγομες, μήτε μέζον φύσιος τᾶς ἁμετέρας φθεγγόμεθα.

# ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΑΥ'-

## τοῦ Ἀρχύτου, ἐν τῷ περὶ τοῦ ἀγαθοῦ ἀνδρὸς καὶ εὐδαίμονος.

Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα, τοῦτον ἦμεν τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. ἐσσεῖται δέ κε εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν· καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γινόμενος τῶν ὑποκειμένων, καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐνδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐνδεχομένων· καὶ μὴ μόνον αὖ ἑαυτὸν οὕτως διατεθείς, ἀλλὰ καὶ τὼς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένοις.

ἘΚ ΤΩ͂Ν

# ἘΚ ΤΩ͂Ν ΚΡΙΤΩΝΟΣ τοῦ Πυθαγορείου, ἐν τῷ περὶ φρονάσιος καὶ εὐτυχίας.

Φρόνασις καὶ εὐτυχία ὧδε ἔχοντι ποτ' ἄλλαλα. φρόνασις, μὲν, τὸ ῥητὸν καὶ λόγον ἔχον. (τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί) εὐτυχία δὲ, τὸ ἄρρητον καὶ τὸ ἄλογον. ἄτακτον γάρ τι καὶ ἀόριστον ἐντί. καὶ τὸ μὲν, ἀρχᾷ καὶ δυνάμει πρᾶτον, τὸ δὲ, ἀρχᾷ καὶ δυνάμει ὕστερον. τὸ μὲν γὰρ, κυβερνῆν καὶ ὁρίζειν πέφυκε, τὸ δὲ, κυβερνῆσθαι καὶ ὁρίζεσθαι. λαμβάνοντι μάντοι γε συναρμογὰν ἀμφότερα, φρονάσιος καὶ εὐτυχίης εἰς ταυτὸ συνδραμοίσας. αἰεὶ γὰρ δεῖ, τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν, ἔχεν ὃ παραγεῖ τε καὶ συντάξει· τὰν δὲ ἄρρητον καὶ ἄλογον, ἔχεν ὑφ' ὧ παραχθήσεταί τε καὶ συνταχθήσεται. ἔχει γὰρ οὕτως ὁ λόγος κατὰ πάντων, ὅ, τε τᾶς ἀπείρου φύσιος καὶ τᾶς περαινοίσας. τὰ μὲν γὰρ ἄπειρα φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι ὑπὸ τῶν λόγον ἐχόντων αἰεὶ καὶ φρόνασιν· (ὕλας γὰρ καὶ οὐσίας ἔχοντι τάξιν) τὰ δὲ περαίνοντα, ἐξ αὐτέων συντετάχθαι τε καὶ ὡρίσθαι. τέχνας γὰρ καὶ αἰτίας ἐνεργατικᾶς ἐπέχοντι τάξιν.

Ἁ δὲ συναρμογὰ ταύταν τᾶν φυσίων κατ' ἄλλα καὶ ἄλλα γινομένα, μεγάλαν καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔν τε γὰρ τᾷ τῶν ὅλων περιοχᾷ συναρμογὰ συναμφοτέρων τᾶν φυσίων, τᾶς τε ἀεικινάτω φύσιος καὶ τᾶς ἀειπαθέος, κόσμος ἐντί. ἄλλως γὰρ οὐκ ἐνεδέχετο σώζεσθαι τό, τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γεννατῶ ποτὶ τὸ θεῖον, καὶ τῶ ἀειπαθέος ποτὶ

τὸ ἀεικίνατον. ἔν τε τῷ ἀνθρώπῳ ἁ συναρμογὰ τῶ ἀλόγω μέρεος ταῖ ψυχᾶς ποτὶ τὸ λόγον ἔχον, ἀρετά. οὔτε γὰρ ἐν τούτοις ἐνδέχεται, στάσιος ἐούσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἀποτελεσθῆμεν ἀρετάν. καὶ ἐν πόλει δὲ, τῶν μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας ἀποτελεῖ κράτος καὶ ὁμόνοιαν. τὸ μὲν γὰρ ἄρχεν, ἴδιον τῶ κρείσσονος· τὸ δὲ ἄρχεσθαι ῥᾷον τῶ χείρονος· τὸ δὲ κρατὲν καὶ ὁμονοέν, κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐφ' ὅλω καὶ τᾶς ἐπὶ τῷ οἴκω συναρμογᾶς συντίθεταί τε καὶ συντίθησιν ἐπῳδὰς καὶ παιδείας, ποτὶ λόγον ἐς τὸ αὐτὸ συνδραμοίσας· καὶ λύπας δὲ καὶ ἡδονὰς, καὶ εὐτυχίας καὶ ἀτυχήματα. χρήζει γὰρ ὁ βίος τυγχάνειν καὶ ἀνέσιος καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος καὶ διαχύσιος, καὶ εὐτυχίας δὲ καὶ ἀτυχίας. ἃ μὲν γὰρ συνέχεν καὶ συνάγεν δύναται τὸν νόον ἐς τὰν ἀμαχανίαν καὶ ἐς τὰν φρόνασιν· ἃ δ' ἄμπαυσιν καὶ διάχυσιν παρεχόμενα, καινότερον καὶ εὔψυχον αὐτὸν παρασκευάζοντι ποτὶ τὰς πράξιας. εἰ δὲ ἐν τούτων ἐνδυναστεύοι κατὰ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος, ὅκα μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος· ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. ἁ δὲ συναρμογὰ τούτων ἁπάντων ὀφείλει γίγνεσθαι ποτὶ τὰν φρόνασιν. αὕτα γὰρ ἁ διενεργοῦσα ἐντὶ τό, τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι. διόπερ καὶ τᾶν ἀλλᾶν ἀρετᾶν αὕτ' ἂν ἀγεμὼν ἐντὶ καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. περαίνεται δὴ ὁ λόγος ἤδη μοι κατ' ἀλήθειαν. τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἔνι· καὶ τὸ μὲν ὁρίζει καὶ περαίνει, τὸ δ' ὁρίζεται καὶ περαίνεται. τὸ δ' ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον, ἅ, τε τῶ ὅλω καὶ τῶ παντὸς συναρμογά ἐντι

# ἘΚ ΤΩ͂Ν ἈΡΧΥ'-
## του τοῦ Πυθαγορείου ἐν τῷ περὶ τῶ ἀγαθῶ ἀνδρὸς καὶ εὐδαίμονος.

ΦΡόνιμος ἀνὴρ οὕτως ἂν μάλιστα γένοιτο. φύσιος πρᾶτον εὐστόχω τε καὶ μναμονικᾶς καὶ φιλοπόνω τυχών, ἐν λογισμοῖς τε καὶ μαθημάτεσι, καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσαιτο τὰν διάνοιαν, φιλοσοφίας ἀπτόμενος ὀρθᾶς. μετὰ δὲ ταύτας, θεῶν τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβῃ. δύο γὰρ ἐντὶ ἐξ ὧν τῷ φρονίμῳ διάθεσις παραγίνεται· ὧν τὸ μὲν ἐντὶ ἕξιν μαθηματικάν τε καὶ γνωστικὰν λαβεῖν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα μὲν, καὶ αὐτὸν ἰδόντα, τὰ δὲ καὶ δι' ἑτέρω τινὸς τρόπω κατανοήσαντα. οὔτε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθημάτεσι, καὶ ταῖς ποτ' ἀκρίβειαν θεωρίαις εὐθὺς ἐκ νέων γυμνάσας τὰν διάνοιαν, ἱκανός ἐντι ποτὶ φρόνασιν· οὔθ' ὁ τούτων μὲν ἀπολειφθεὶς, ἐν ἀκροαμάτεσι δὲ πολλοῖς καὶ πραγμάτεσιν ἀναστραφθείς. ἀλλ' ὁ μὲν ἐν τῷ καθ' ἕκαστα κρίνειν, τυφλὸς ἐγένετο τὰν διάνοιαν· ὁ δ' ἐν τῷ καθόλῳ θεωρεῖν ἀεί. καθάπερ γὰρ ἐπὶ τῶν λογισμῶν τὰ μέρεα συντιθεὶς τὸ ὅλον ἐξ αὐτῶν λογίζεται, οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὰν καθόλω θεωρίαν ὑπογράφειν· ἁ δ' ἐμπειρία, καθ' ἕκαστα κρίνειν.

# ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂, ἐν τῷ περὶ τῶν μαθημάτων.

ΔΕῖ γὰρ ἢ μαθόντα παρ' ἄλλου, ἢ αὐτὸν ἐξευρόντα ὧν ἐπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν οὖν μαθεῖν παρ' ἄλλου, καὶ ἀλλότριον· τὸ δὲ ἐξευρὲν αὐτὸν δι' αὑτοῦ, καὶ ἴδιον. ἐξευρὲν δὲ μὴν ζητοῦντα εὔπορον καὶ ῥᾴδιον· μὴ ἐπιστάμονα δὲ ζητεῖν ἀδύνατον. στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν λογισμὸς εὑρεθείς. πλεονεξία τε γὰρ οὐκ ἔστι, τούτου γενομένου, καὶ ἰσότας ἐστίν. τούτῳ γὰρ περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα. διὰ τοῦτον οὖν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων· οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν. κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων, τοὺς μὲν ἐπισταμένους τοῦ ὀργίζεσθαι πρὶν ἀδικεῖν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθεῖν, ὅταν ἐπ' αὐτὸ ἔλθωντι· τοὺς δὲ μὴ ἐπισταμένους ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.

# ἘΚ ΤΩ͂Ν ΠΏΛΟΥ ΤΟΥ͂ Πυθαγορείου, ἐν τῷ περὶ δικαιοσύνας.

ΔΟκεῖ μοι τῶν ἀνθρώπων τὰν δικαιοσύναν, ματέρα τε καὶ τιθήναν τῶν ἄλλων ἀρετῶν προσειπεῖν. ἄτερ γε ταύτας οὔτε σώφρονα, οὔτε ἀνδρεῖον, οὔτε φρόνιμον οἷόν τε ἦμεν. ἁρμονία γάρ ἐστι καὶ εἰρήνα τᾶς ὅλας ψυχᾶς μετ' εὐ-

ρυθμίας. δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος, ἐπάζοισιν ἀμῖν τὰς ἄλλας ἕξιας.. μερικαὶ γὰρ ἔχονται αὐταὶ τὰν ὠφέλειαν, καὶ ποθ᾽ ἕνα· ἃ δὲ ποθ᾽ ὅλα τὰ συστάματα, καὶ ἐν πλάθει. ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλων ἀρχὰν διαστραταγοῦσα, πρόνοιά τε, καὶ ἁρμονία, καὶ δίκα, γένοις τινὸς θεῶν οὕτω ψαφιξαμένων. ἐν πόλει δὲ εἰράνα τε καὶ εὐνομία δικαίως κέκληται. ἐν οἴκῳ δ᾽ ἐστὶν, ἀνδρὸς μὲν καὶ γυναικὸς ποτ᾽ ἀλλάλως ὁμοφροσύνα· οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια· δεσποτᾶν δὲ ποτὶ θεράποντας κηδεμονία. ἐν σώματι δὲ, πράτα καὶ ἅπασιν ἀγαπατοτάτα ζώοις, ἅ τε ὑγίεια καὶ ἀρτιότας· ἐν δὲ ψυχᾷ σοφία ἡ ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γινομένη παρ᾽ ἀνθρώποις. εἰ δ᾽ αὐτὰ τὸ ὅλον καὶ τὰ μέρεα οὕτω παιδαγωγεῖ τε καὶ σώζει, ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἀπεργαζομένα, πῶς οὐ μάτηρ καὶ τιθήνα πασᾶν τε τῶν πάντων παμψαφεὶ λέγοιτο;

# ἈΝΩΝΥ͂ΜΟΥ ΤΙΝΌΣ

## Διαλέξεις Δωρικῇ διαλέκτῳ, Περὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, Περὶ τοῦ καλοῦ καὶ τοῦ αἰσχροῦ, Περὶ τοῦ δικαίου καὶ τοῦ ἀδίκου; Περὶ τοῦ ψεύδεος καὶ τῆς ἀληθείας, Περὶ τῆς σοφίας καὶ τῆς ἀρετῆς, εἰ διδακτόν.

### ΠΕΡῚ ΤΩ͂ ἈΓΑΘΩ͂ ΚΑῚ ΤΩ͂ ΚΑΚΩ͂.

ΔΙσσοὶ λόγοι λέγονται ἐν τῇ Ἑλλάδι ὑπὸ τῶν φιλοσοφούντων περὶ τῶ ἀγαθῶ καὶ τῶ κακῶ. οἱ μὲν γὰρ λέγοντι ὡς ἄλλο μέν ἐστι τὸ ἀγαθόν; ἄλλο δὲ, τὸ κακόν· τοὶ δὲ, ὡς τὸ αὐτό ἐστι, καὶ τοῖς μὲν ἀγαθὸν εἴη, τοῖς δὲ κακόν· καὶ τῷ αὐτῷ ἀνθρώπῳ, τοτὲ μὲν ἀγαθόν, τοτὲ δὲ κακόν. ἐγὼ δὲ καὶ αὐτὸς τοῖσδε ποτιτίθεμαι· σκέψομαι δὲ ἐκ τῶ ἀνθρωπίνω βίω, ὧν ἐπιμελὲς, βρώσιός τε καὶ πόσιος καὶ ἀφροδισίων. ταῦτα γὰρ ἀσθενοῦντι μὲν κακά ἐστιν, ὑγιαίνοντι δὲ καὶ δεομένῳ, ἀγαθά· καὶ ἀκρασία τοίνυν τούτων, τοῖς μὲν ἀκρατέσι, κακόν· τοῖς δὲ ἰατροῖς, ἀγαθόν. ὁ τοίνυν θάνατος, τοῖς μὲν ἀποθανοῦσι κακόν, τοῖς δ' ἐνταφιοπώλαις καὶ τυμβοποιοῖς ἀγαθόν. γεωργία τε καλῶς ἐξενείκασα τὼς καρπὼς, τοῖς μὲν γεωργοῖς ἀγαθὸν, τοῖς δὲ ἐμπόροις κακόν. τὰς τοίνυν ὁλκάδας συντρίβεσθαι καὶ παραθραύεσθαι, τῷ μὲν ναυκλήρῳ κακὸν, τοῖς δὲ ναυπηγοῖς ἀγαθόν. ἔτι, τὸν σίδηρον κατέσθεσθαι καὶ ἀμβλύνεσθαι καὶ συντρίβεσθαι, τοῖς μὲν ἄλλοις κακὸν, τῷ δὲ χαλ-

κῆι, ἀγαθόν. καὶ μὰν τὸν κέραμον συντρίβεσθαι, τοῖς μὲν ἄλλοις κακόν, τοῖς δὲ κεραμεῦσιν, ἀγαθόν. τὰ δὲ ὑποδήματα κατατρίβεσθαι καὶ διαῤῥήγνυσθαι, τοῖς μὲν ἄλλοις κακόν, τῷ δὲ σκυτῆϊ ἀγαθόν. ἐν τοίνυν τοῖς ἀγῶσι τοῖς γυμναστικοῖς καὶ τοῖς μωσικοῖς καὶ τοῖς πολεμικοῖς, αὐτίκα ἐν τῷ γυμνικῷ τῷ σταδιοδρόμῳ ἁ νίκα, τῷ μὲν νικῶντι ἀγαθόν, τοῖς δὲ ἡσσαμένοις, κακόν. καὶ τοῦτο δὲ καὶ τοὶ παλαισταὶ καὶ πύκται, καὶ τοὶ ἄλλοι πάντες μωσικοί. αὐτίκα ἁ κιθαρῳδία τῷ μὲν νικῶντι ἀγαθόν, τοῖς δὲ ἡσσαμένοις, κακόν. ἔν τε τῷ πολέμῳ καὶ τὰ νεώτατα πρῶτον ἐρῶ· αὐτῶν Λακεδαιμονίων νίκα, ἐν ᾇ ἐνίκων τὼς Ἀθηναίως καὶ τὼς συμμάχως, Λακεδαιμονίοις μὲν ἀγαθόν, Ἀθηναίοις δὲ καὶ τοῖς συμμάχοις κακόν. ἅ τε νίκα αὖτε Ἕλλανες τὸν Πέρσαν ἐνίκασαν, τοῖς μὲν Ἕλλασιν ἀγαθόν, τοῖς δὲ βαρβάροις κακόν. ἁ τοίνυν τῶ Ἰλίου αἵρεσις τοῖς μὲν Ἀχαιοῖς ἀγαθόν, τοῖς δὲ Τρωσὶ κακόν. κατ δὲ ταυτὸ καὶ τὰ τῶν Θηβαίων καὶ τὰ τῶν Ἀργείων πάθη. καὶ ἁ τῶν Κενταύρων καὶ Λαπιθῶν μάχη, τοῖς μὲν Λαπίθαις ἀγαθόν, τοῖς δὲ Κενταύροις κακόν. καὶ μὰν καὶ ἁ τῶν θεῶν καὶ γιγάντων λεγομένα μάχα καὶ νίκα, τοῖς μὲν θεοῖς ἀγαθόν, τοῖς δὲ γίγασιν κακόν.

Ἄλλος δὲ λόγος λέγεται, ὡς ἄλλο μὲν τἀγαθὸν εἴη, ἄλλο δὲ τὸ κακόν, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα. ἐγὼ δὲ καὶ αὐτὸ τοῦτον διαιρεῦμαι τὸν τρόπον. δοκῶ γὰρ οὐ διάδαλον ἦμεν ποῖον ἀγαθὸν καὶ ποῖον κακόν, αἰ τὸ αὐτὸ καὶ μὴ ἄλλο ἑκάτερον εἴη· καὶ γὰρ θαυμαστὸν κ' εἴη. οἶμαι δὲ οὐδὲ κ' αὐτὸν ἔχεν ἀποκρίνασθαι, αἴ τις αὐτὸν ἔροιτο, τὸν ταῦτα λέγοντα, Εἰπὸν δή μοι, ἤδη τι τὼς γονέας ἀγαθὸν ἐποίησας; φαίη κα, Καὶ πολλὰ καὶ μεγάλα. Τὺ ἄρα κακὰ καὶ μεγάλα καὶ πολλὰ τούτοις ὀφείλεις, αἴπερ τωὐτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. Τί δέ, τὼς συγγενέας ἤδη τι ἀγαθὸν ἐποίησας; τὼς ἄρα συγγενέας

κακὸν ἐποίεις. Τί δὲ τὼς ἐχθρὼς ἤδη κακῶς ἐποίησας; καὶ πολλὰ καὶ μεγάλα ἄρα ἀγαθὰ ἐποίησας. ἄγε καὶ δή μοι καὶ τόδε ἀπόκριναι, Ἄλλο τι ἢ τὼς πτωχὼς οἰκτείρεις, ὅτι πολλὰ καὶ μεγάλα ἔχοντι· πάλιν εὐδαιμονίζεις, ὅτι πολλὰ καὶ ἀγαθὰ πράσσοντι, αἴπερ τωὐτὸν τὸ κακὸν καὶ ἀγαθόν. τὸν δὲ βασιλῆα τὸν μέγαν οὐδὲν κωλύει ὁμοίως διακεῖσθαι τοῖς πτωχοῖς. τὰ γὰρ πολλὰ καὶ μεγάλα ἀγαθὰ αὐτῷ, πολλὰ κακὰ καὶ μεγάλα ἐστὶν, αἴκα τωὐτόν ἐστιν τἀγαθὸν καὶ κακόν. καὶ τάδε μὲν περὶ τῶ παντὸς εἰρήσθω. εἶμι δὲ καὶ καθ' ἕκαστον, ἀρξάμενος ἀπὸ τῶ ἐσθίεν καὶ πίνεν καὶ ἀφροδισιάζεν. τοῦτο γὰρ τοῖς ἀσθενέοισι ταῦτα ποιὲν, ἀγαθόν ἐστιν αὐτοῖς, αἴπερ τωὐτόν ἐστιν ἀγαθὸν καὶ κακόν· καὶ τοῖς νοσέοισι, κακόν ἐστι τὸ νοσεῖν καὶ ἀγαθόν, αἴπερ τωὐτόν ἐστι τὸ ἀγαθὸν τῷ κακῷ. καὶ δὲ τόδε καὶ τἄλλα πάντα τὰ ἐν τῷ ἔμπροσθεν λόγῳ εἴρηται. καὶ οὐ λέγω τί ἐστι τὸ ἀγαθὸν, ἀλλὰ τοῦτο πειρῶμαι διδάσκειν, ὡς οὐ τωὐτὸν εἴη κακὸν καὶ ἀγαθὸν, ἀλλ' ἑκάτερον.

## ΠΕΡΙ ΤΩ ΚΑΛΩ ΚΑΙ ΑΙΣΧΡΩ.

Λέγονται δὲ καὶ περὶ τῶ καλῶ καὶ αἰσχρῶ δισσοὶ λόγοι. τοὶ μὲν γὰρ φαντὶ ἄλλο μὲν ἦμεν τὸ καλὸν, ἄλλο δὲ τὸ αἰσχρὸν, διαφέρον ὥσπερ τὸ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· τοὶ δὲ, τωὐτὸ καλὸν καὶ αἰσχρόν. κἀγὼ πειρασοῦμαι, τόνδε τὸν τρόπον ἐξαγεύμενος. αὐτίκα γὰρ παιδὶ ὡραίῳ ἐραστᾷ μὲν χρηστῷ χαρίζεσθαι, καλὸν, μὴ ἐραστᾷ δὲ καλῷ, αἰσχρόν. καὶ τὰς γυναῖκας λοῦσθαι ἔνδον, καλόν· ἐν παλαίστρᾳ δὲ, αἰσχρόν· ἀλλὰ τοῖς ἀνδράσιν ἐν παλαίστρᾳ καὶ ἐν γυμνασίῳ, καλόν. καὶ συνίμεν τῷ ἀνδρὶ, ἐν ἀσυχίᾳ μὲν, καλὸν, ὅπου τοίχοις κρυφθήσεται· ἔξω δὲ, αἰσχρὸν, ὅπου τις ὄψεται. καὶ τὸ μὲν αὐταῖς συνίμεν ἀνδρὶ καλόν· ἀλλοτρίῳ δὲ, αἴσχιστον. καὶ τῷ γε ἀνδρὶ, τᾷ μὲν ἑαυτῶ

γυναικὶ συνίμεν, καλόν· ἀλλοτρίᾳ δέ, αἰσχρόν. καὶ κοσμεῖσθαι, καὶ ψιμμυθίῳ χρίεσθαι, καὶ χρυσία περιάπτεσθαι, τῷ μὲν ἀνδρὶ αἰσχρόν, τᾷ δὲ γυναικὶ καλόν. καὶ τὼς μὲν φίλως εὖ ποιεῖν, καλόν· τὼς δὲ ἐχθρώς, αἰσχρόν. καὶ τὼς μὲν πολεμίως φεύγεν, αἰσχρόν· τὼς δὲ ἐν σταδίῳ ἀγωνιστάς, καλόν. καὶ τὼς μὲν φίλως καὶ τὼς πολίτας φονεύεν, αἰσχρόν, τὼς δὲ πολεμίως, καλόν. καὶ τάδε μὲν περὶ πάντων. εἶμι δ' ἐφ' ἃ ταὶ πόλιές τε αἰσχρὰ ἄγωνται καὶ τὰ ἔθνεα. αὐτίκα Λακεδαιμονίοις ταὶ κόρας γυμνάζεσθαι ἀχειριδώτως, καὶ ἀχίτωνας παρέρπεν, καλόν· Ἴωσι δ' αἰσχρόν. καὶ τὼς παῖδας μὴ μανθάνεν μωσικὰ καὶ γράμματα, καλόν· Ἴωσι δ' αἰσχρὸν μὴ ἐπίστασθαι ταῦτα πάντα. Θεσσαλοῖσι δὲ καλὸν τὼς ἵππως ἐκ τᾶς ἀγέλας λαβόντα, αὐτὼς δαμάσαι, καὶ τὼς ὀρέας· βῶς τε λαβόντι, αὐτὼς σφάξαι καὶ ἐκδεῖραι καὶ κατακόψαι· ἐν Σικελίᾳ δὲ αἰσχρόν, καὶ δώλων ἔργα. Μακεδόσι καλὸν δοκεῖ ἦμεν, ταὶ κόρας, πρὶν ἀνδρὶ γάμασθαι, ἐρᾶσθαι καὶ ἀνδρὶ συγγίνεσθαι· ἐπεὶ δὲ καὶ γαμεῖται, αἰσχρόν· Ἕλλασι δ' ἄμφω αἰσχρόν. τοῖς δὲ Θρᾳξὶ κόσμος ταὶ κόρας στίζεσθαι. τοὶ δὲ Σκύθαι καλὸν νομίζοντι, ὃς ἄνδρα κανών, ἐκδείρας τὰν κεφαλάν, τὸ μὲν κόμιον πρὸ τοῦ ἵππου φορεῖ, τὸ δ' ὀστέον χρυσώσας καὶ ἀργυρώσας, πίνει ἐξ αὐτοῦ, καὶ σπένδει τοῖς θεοῖς· ἐν δὲ τοῖς Ἕλλασιν, οὐδέ κ' ἐς τὰν αὐτὰν οἰκίαν συνεισελθεῖν βούλοιτ' ἄν τις τοιαῦτα ποιήσαντι. Μασσαγέται δὲ τὼς γονέας κατακόψαντες κατέσθοντι, καὶ τάφος κάλλιστος δοκεῖ ἦμεν, ἐν τοῖς τέκνοις τεθάφθαι· ἐν δὲ τᾷ Ἑλλάδι αἴ τις ταῦτα ποιήσῃ, ἐξελαθεὶς ἐκ τῆς Ἑλλάδος, κακὰ ἀποθάνῃ, ὡς αἰσχρὰ καὶ δεινὰ ποιέων. τοὶ δὲ Πέρσαι, κοσμεῖσθαί τε, ὥσπερ ταὶ γυναῖκας, καὶ τὼς ἄνδρας, καλὸν νομίζοντι, καὶ τᾷ θυγατρὶ καὶ τᾷ ματρὶ καὶ τᾷ ἀδελφᾷ συνίμεν· τοὶ δὲ Ἕλλανες, καὶ αἰσχρὰ καὶ παράνομα. Λυδοῖς τοίνυν ταὶ κόρας πορνευθείσας, καὶ ἀργύριον ἐνεργήσασθαι, καὶ οὕτω γά-

μαθεῖν καλὸν δοκεῖ ἦμεν· ἐν δὲ τοῖς Ἕλλασιν, οὐδείς κα θέλει γαμᾶν. Αἰγύπτιοί τε οὐ ταὐτὰ νομίζοντι καλὰ τοῖς ἄλλοις. τῆδε μὲν γὰρ γυναῖκας ὑφαίνειν καὶ ἐργάζεσθαι καλόν· ἀλλὰ τηνεὶ τὼς ἄνδρας, τὰς δὲ γυναῖκας πράσσεν ἅπερ τῆδε τοὶ ἄνδρες. τὸν παλὸν δεύειν ταῖς χερσί, τὸν σῖτον τοῖς ποσί, τήνοις καλόν· ἀλλ' ἀμῖν τὸ ἐναντίον. οἶμαι δ' αἴ τις τὰ καλὰ εἰς ἓν κελεύῃ συνενεῖκαι πάντας ἀνθρώπως ἃ ἕκαστοι νομίζοντι, καὶ πάλιν ἐξ ἀθρόων τοὶ τὰ αἰσχρὰ λαβεῖν, ἃ ἕκαστοι ἄγηνται, οὐδὲν καλυφθῆμεν, ἀλλὰ πάντας πάντα διαλαβεῖν. οὐ γὰρ πάντες ταὐτὰ νομίζοντι. παρεξοῦμαι δὲ καὶ ποίημά τι· καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσι νόμον ὄψει διαιρῶν, οὐδὲν αἶ πάντῃ καλόν, οὐδ' αἰσχρόν· ἀλλὰ ταὔτ' ἐποίησε λαβὼν ὁ καιρὸς αἰσχρά, καὶ διαλλάξας καλά. ὡς δὲ τὸ σύνολον εἰπεῖν, πάντα καιρῷ μὲν καλά ἐντι, ἐν ἀκαιρίᾳ δ', αἰσχρά. τί ὦν διεπραξάμην; ἔφαν ἀποδείξειν ταὐτὰ αἰσχρὰ καὶ καλὰ ὄντα· καὶ ἀπέδειξα ἐν τούτοις πᾶσι. λέγεται δὲ καὶ περὶ τῶ αἰσχρῶ καὶ καλῶ, ὡς ἄλλο ἑκάτερον εἴη. ἐπεὶ αἴ τις ἐρωτάσῃ τὼς λέγοντας ὡς τὸ αὐτὸ πρᾶγμα αἰσχρὸν καὶ καλόν ἐστιν, αἴ τί κά τι αὐτοῖς καλὸν ἔργασται, αἰσχρὸν ὁμολογησοῦντι, αἴπερ τωὐτὸν καὶ τὸ αἰσχρὸν καὶ τὸ καλόν. καὶ αἴ τινα καλὸν οἴδαντι ἄνδρα, τοῦτον καὶ αἰσχρὸν τὸν αὐτόν. καὶ αἴ τινά κα λευκόν, καὶ μέλανα τοῦτον τὸν αὐτόν. καὶ καλόν γ' ἐστὶ τὼς θεὼς σέβεσθαι, καὶ αἰσχρὸν ἄρα τὼς θεὼς σέβεσθαι, αἴπερ τωὐτὸν αἰσχρὸν καὶ καλόν ἐστι. καὶ τάδε μὲν περὶ ἁπάντων εἰρήσθω μοι. τρέψομαι δὲ ἐπὶ τὸν λόγον αὐτῶν ὃν λέγοντι· αἰ γὰρ τὰν γυναῖκα καλόν ἐστι κοσμεῖσθαι, τὰν γυναῖκα αἰσχρὸν κοσμεῖσθαι, αἴπερ τωὐτὸν αἰσχρὸν καὶ καλόν· καὶ τἆλλα κατὰ τωὐτόν. ἐν Λακεδαίμονι ἐστὶ καλὸν τὰς παῖδας γυμνάζεσθαι, ἐν Λακεδαίμονι ἐστὶν αἰσχρὸν τὰς παῖδας γυμνάζεσθαι. καὶ τἆλλα οὕτως. λέγονται δὲ ὡς αἴ τινες τὰ αἰσχρὰ ἐκ τῶν ἐθνέων πάν-

ποθὲν συνενείκαιεν, ἔπειτα συγκαλέσσαντες κελεύοιεν, ἅ τις καλὰ νομίζει, λαμβάνειν πάντα, καὶ ἐν καλῷ ἀπενειχθῆμεν· ἐγὼ θαυμάζω αἰ τὰ αἰσχρὰ, συνενεχθέντα καλὰ ἐσεῖται, καὶ οὐχ οἷά περ ἦνθεν. αἰ γοῦν ἵππως ἢ βῶς ἢ ὄϊς ἢ ἀνθρώπως ἄγαγον, οὐκ ἄλλο τι κα ἀπάγαγον. ἐπεὶ οὐδὲ χρυσὸν ἤνεικαν, χαλκὸν ἀπήνεικαν· οὐδὲ ἀργύρεον ἤνεικαν, μόλιβδόν κα ἀπέφερον. αὐτὶ δὴ ἄρα τῶν αἰσχρῶν καλὰ ἀπαγαγόντι, φέρε δὴ αἰ ἄρα τις αἰσχρὸν ἀπάγαγε, τοῦτον αὖ, καλὸν ἀπάγαγε. ποιητὰς δὲ μάρτυρας ἐπάγονται, ποτὶ ἀδονὰν οὐ ποτ' ἀλάθειαν ποιοῦντι.

## ΠΕΡΙ' ΤΩ͂ ΔΙΚΑΙ'Ω ΚΑΙ' τῶ ἀδίκω.

Δισσοὶ δὲ λόγοι λέγονται καὶ περὶ τῶ δικαίω καὶ περὶ τῶ ἀδίκω· καὶ τοὶ μὲν, ἄλλο ἦμεν τὸ δίκαιον, ἄλλο δὲ τὸ ἄδικον· τοὶ δὲ, τωὐτὸ δίκαιον καὶ ἄδικον· καὶ ἐγὼ τούτῳ πειράσομαι τιμωρεῖν. καὶ πρῶτον μὲν ψεύδεσθαι ὡς δίκαιόν ἐστι λεξῶ, καὶ ἐξαπατᾷν. τὼς μὲν πολεμίως ταῦτα ποιεῖν, αἰσχρὸν καὶ πονηρὸν αὖ ἐξείποιεν· τὼς δὲ φιλτάτως, οὔ. αὐτίκα τὼς γονέας· αἰ γὰρ δέοι τὸν πατέρα ἢ τὰν ματέρα φάρμακόν τι ἐγκαταφαγῆν, καὶ μὴ θέλοι, οὐ δίκαιόν ἐστι, καὶ ἐν τῷ ῥοφήματι καὶ ἐν τῷ ποτῷ δόμεν, καὶ μὴ φάμεν ἐνῆμεν; οὐκοῦν ἤδη ψεύδεσθαι καὶ ἐξαπατᾷν τὼς γονέας, καὶ κλέπτεν μὰν τὰ τῶν φίλων, καὶ βιῆσθαι τὼς φιλτάτως δίκαιον. αὐτίκα αἴ τις λυπηθείς τι τῶν οἰκηίων καὶ ἀχθεσθεὶς μέλλοι αὑτὸν διαφθείρεν ἢ ξίφει ἢ σχοινίῳ, ἢ ἄλλῳ τινὶ, δίκαιόν ἐστι ταῦτα κλέψαι, αἰ δύναιτο· αἰ δὲ ὑστερίξαι καὶ ἔχοντα καταλάβοι, ἀφελέσθαι βίᾳ. ἀνδραποδίξασθαι δὲ πῶς οὐ δίκαιον τὼς πολεμίως, αἴ τις δύναιτο ἑλὼν πόλιν ὅλαν ἀποδόσθαι; τοιχωρυχὲν δὲ τὰ τῶν πολιτῶν κοινὰ οἰκήματα, δίκαιον

φαίνεται. αἰ γὰρ ὁ πατὴρ ἐπὶ θανάτῳ κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν δεδεμένος εἴη, ἆρα οὐ δίκαιον διορύξαντα κλέψαι καὶ σῶσαι τὸν πατέρα; ἐπιορκεῖν δὲ αἴ τις ὑπὸ τῶν πολεμίων λαφθεὶς ὑποδέξαιτο, ὀμνύων ἦ μὰν ἀφεθεὶς τὰν πόλιν προδώσειν, ἆρα οὗτος δίκαια ποιήσαι εὐορκήσας; ἐγὼ μὲν γὰρ οὐ δοκῶ· ἀλλὰ μᾶλλον τὰν πόλιν καὶ τὼς φίλως καὶ τὰ ἱερὰ σῶσαι πατρῷα ἐπιορκήσας. ἤδη ἆρα δίκαιον καὶ τὸ ἐπιορκεῖν, καὶ τὸ ἱεροσυλεῖν. τὰ μὲν ἴδια τῶν πόλεων ἐῶ· τὰ δὲ κοινὰ τᾶς Ἑλλάδος, τὰ ἐκ Δελφῶν καὶ τὰ ἐξ Ὀλυμπίας. μέλλοντος τῶ βαρβάρω τὰν Ἑλλάδα λαβεῖν, καὶ τᾶς σωτηρίας ἐν χρήμασιν ἐούσας, οὐ δίκαιον λαβεῖν, καὶ χρῆσθαι ἐς τὸν πόλεμον. φονεύειν δὲ τὼς φιλτάτως δίκαιον· ἐπεὶ καὶ Ὀρέστας καὶ Ἀλκμαίων· καὶ ὁ θεὸς ἔχρησε δίκαια αὐτὼς ποιῆσαι. ἐπὶ δὲ τὰς τέχνας τρέψομαι, καὶ τὰ τῶν ποιητῶν. ἐν γὰρ τραγῳδοποιΐᾳ καὶ ζωγραφίᾳ ὅστις πλεῖστα ἐξαπατῇ ὅμοια τοῖς ἀλαθινοῖς ποιέων, οὗτος ἄριστος. θέλω δὲ καὶ ποιήματα τῶν παλαιοτέρων μαρτύριον ἐπαγαγέσθαι. Κλεοβουλίνης, Ἄνδρ' εἶδον κλέπτοντα καὶ ἐξαπατῶντα βίᾳ· ὡς καὶ τὸ βίᾳ ῥέξαι τοῦτο δικαιότατον ἦν πάλαι ταῦτα. Αἰσχύλου δὲ ταῦτα, Ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός· ψευδῶν δὲ καιρὸν ἔσθ' ὅπου τιμῇ θεός. λέγεται δὲ καὶ τῷδε αἴτιος λόγος· ὡς ἄλλο τὸ δίκαιον καὶ τὸ ἄδικόν ἐστι, διαφέρον, ὥσπερ καὶ τὤνυμα, οὕτω καὶ τὸ πρᾶγμα· ἐπεὶ αἴ τις ἐρωτήσαι τὼς λέγοντας ὡς τὸ αὐτό ἐστιν ἄδικον καὶ δίκαιον, αἴ κα δή τι δίκαιον περὶ τὼς γονέας ἔπραξαν, ὁμολογεῦντι καὶ ἄδικοι ἆρα. τὸ γὰρ αὐτὸ ἄδικον καὶ δίκαιον ὁμολογέοντι ἦμεν. φέρε, ἄλλον δέ, αἴ τινα γινώσκῃ δίκαιον ἄνδρα, καὶ ἄδικον ἆρα τὸν αὐτόν. καὶ μέγαν τοίνυν καὶ μικρὸν κατ' αὐτόν. καίτοι πολλὰ ἀδικήσας ἀποθανέτω πραξάμενος. καὶ περὶ μὲν τούτων ἅλις. εἶμι δὲ ἐφ' ἃ λέγοντες ἀξιόωντι τὸ αὐτὸ καὶ δίκαιον καὶ ἄδικον ἀποδεικνύεν. τὸ γὰρ κλέπτεν τὰ

τῶν πολεμίων, δίκαιον καὶ ἄδικον ἀποδεικνύει. τοῦτ' αὐτό. αἴκ' ἀληθὴς ὁ τήνων λόγος καὶ τἆλλα καὶ τωὐτό. τέχνας δ' ἐπάγονται ἐν αἷς οὐκ ἔστι τὸ δίκαιον καὶ τὸ ἄδικον. καὶ τοὶ ποιηταὶ οὔτι ποτ' ἀλήθειαν, ἀλλὰ ποτὶ τὰς ἡδονὰς τῶν ἀνθρώπων, τὰ ποιήματα ποιέοιντο.

## ΠΕΡΙ' ΤΩ͂ ΨΕΥ'ΔΕΟΣ ΚΑΙ' τᾶς ἀλαθείας.

Λέγονται δὲ καὶ περὶ τῶ ψεύδεος καὶ τᾶς ἀληθείας δισσοὶ λόγοι. ὧν ὁ μὲν φατί, ἄλλον μὲν τὸν ψεύσταν ἦμεν λόγον, ἄλλον δὲ τὸν ἀληθῆ· τοὶ δέ, τὸν αὐτόν. αὖ κἀγὼ τὸν δὲ λόγω πρᾶτον μέν, ὅτι τοῖς αὐτοῖς ὀνόμασι λέγονται· ἔπειτα δέ, ὅταν λόγος ῥηθῇ, αἰ μὲν ὡς λέγηται ὁ λόγος, οὕτω γένηται, ἀληθὴς ὁ λόγος· αἰ δὲ μὴ γένηται,, ψευδὴς ὁ αὐτὸς λόγος. αὐτίκα κατηγορεῖς ἱεροσυλίαν τῷ, αἴκ' ἐγένετο τὤργον, ἀληθὴς ὁ λόγος· καὶ αἰ δὲ μὴ ἐγένετο, ψεύστας. καὶ τῶ ἀπολογουμένω ὥσγε ὁ λόγος. καὶ τάγε δικαστήρια τὸν αὐτὸν λόγον καὶ ψεύσταν καὶ ἀληθῆ κρίνοντι. ἐπεί τοι καὶ ἑξῆς καθήμενοι αἰ λέγοιμι Μίμας εἰμί, τὸ αὐτὸ μὲν πάντες ἐροῦμεν, ἀλαθὴς δὲ μόνος ἐγώ· ἐπεὶ καὶ εἰμί. δᾶλον ὦν ὅτι ὁ αὐτὸς λόγος, ὅταν μὲν αὐτῷ παρῇ τὸ ψεῦδος, ψεύστας ἐστίν· ὅταν δὲ τὸ ἀληθές, ἀληθής. ὥσπερ καὶ ἄνθρωπος τὸ αὐτό, καὶ παῖς καὶ νεανίσκος καὶ ἀνὴρ καὶ γέρων ἐστίν. λέγεται δὲ καὶ ὡς ἄλλος εἴη ὁ ψεύστας λόγος, ἄλλος δὲ ὁ ἀλαθής, διαφέρων τὤνυμα. αἰ γάρ τις ἐρωτάσαι τὼς λέγοντας ὡς ὁ αὐτὸς λόγος εἴη ψεύστας καὶ ἀλαθής, ὃν αὐτοὶ λέγοντι, πότερός ἐστιν, αἰ μὲν ψεύστας, δᾶλον ὅτι δύο εἴη· αἰ δ' ἀλαθὴς ἀποκρίναιτο, καὶ ψεύστας ὁ αὐτὸς οὗτος. καὶ ἀλαθές τι πολλὰ εἶπεν, ἢ ἐξεμαρτύρησε· καὶ ψευδῆ ἄρα τὰ αὐτὰ ταῦτα. καὶ αἴ τινα ἄνδρα ἀλαθῆ οἶδε καὶ ψεύσταν τὸν αὐτόν. ἐκ δὲ τῶ λόγω λέγοντι ταῦτα, ὅτι γενομένω μὲν

τῶ πράγματος ἀγαθῆ τὸν λόγον, ἀγενήτω δὲ ψεύσαν. οὐκῶν διαφέρει αὖθις τὼς δικαστάς, ὅτι κρίνοιντο. οὐ γὰρ παρέντι τοῖς πράγμασιν. ὁμολογέοντι δὲ καὶ αὐτοί, ᾧ μὲν τὸ ψεῦδος ἀναμέμικται, ψεύσαν ἦμεν· ᾧ δὲ ἀγαθές, ἀγαθῆ. τοῦτο δὲ ὅλον διαφέρει. Ταῦτα τοὶ μαινόμενοι καὶ τοὶ σωφρονοῦντες καὶ τοὶ σοφοὶ καὶ τοὶ ἀμαθεῖς καὶ λέγοντι καὶ πράσσοντι. καὶ πρᾶτον μὲν ὀνομάζοντι ταῦτα γᾶν καὶ ἄνθρωπον καὶ ἵππον, καὶ πῦρ, καὶ τἄλλα πάντα· καὶ ποιέοντι ταῦτα, κάθηνται, καὶ ἔσθοντι καὶ πίνοντι, καὶ κατάκεινται, καὶ τἄλλα κατ' αὐτό. καὶ μὰν καὶ αὐτὸ πρᾶγμα καὶ μεῖζον καὶ μεῖόν ἐστι, καὶ πλέον καὶ ἔλασσον, καὶ βαρύτερον καὶ κουφότερον. οὕτω γὰρ εἴη ταῦτα πάντα. τὸ τάλαντον ἐστὶ βαρύτερον τῆς μνᾶς καὶ κουφότερον τῶν δύο ταλάντων. τωὐτὸν ἄρα καὶ κουφότερον καὶ βαρύτερον. καὶ ζώει ὁ αὐτὸς ἄνθρωπος καὶ οὐ ζώει, καὶ ταὐτά ἐστι καὶ οὐκ ἔστι. τὰ γὰρ τῆδε ὄντα, ἐν τῇ Λιβύᾳ οὐκ ἔστιν, οὐδέ γε τὰ ἐν Λιβύᾳ, ἐν Κύπρῳ, καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον. οὐκοῦν καὶ ἐντὶ τὰ πράγματα καὶ οὐκ ἐντί. Τοὶ τίνες λέγοντες τὼς μαινομένως καὶ τὼς σοφώς, τὼς ἀμαθεῖς ταὐτὰ διαπράσσεσθαι, καὶ λέγεν δὲ τἄλλα ἑπόμενα τῷ λόγῳ, οὐκ ὀρθῶς λέγοντι. αἰ γάρ τις αὐτὼς ἐρωτάσαι αἰ διαφέρει μανία σωφροσύνης, καὶ σοφία ἀμαθίας, φαντὶ ναί. εὖ γὰρ καὶ ἐξ ὧν πράσσοντι ἑκάτεροι, δᾶλοι ἐντὶ ὡς ὁμολογησοῦντι. οὐκοῦν καὶ ταὐτὰ πράσσοντι, καὶ τοὶ σοφοὶ μαίνονται, καὶ τοὶ μαινόμενοι σοφοί, καὶ πάντα συνταράσσονται. καὶ ἐπ' ἄρτιος λόγος, πότερον οἷον ἐν δέοντι σωφρονοῦντες λέγοντι ἢ τοὶ μαινόμενοι. ἀλλὰ γὰρ φαντὶ ὡς ταῦτα μὲν λέγοντι, ὅταν τις αὐτὼς ἐρωτῇ· ἀλλὰ τοὶ μὲν σοφοί, ἐν τῷ δέοντι, τοὶ δὲ μαινόμενοι, αἷ οὐ δεῖ· καὶ τοῦτο λέγοντες, δοκοῦντι μικρὸν ποτιθῶσαι, αἰ δεῖ καὶ μὴ δεῖ· ὥστε οὐ μηκέτι τὸ αὐτὸ ἦμεν. ἐγὼ δὲ οὐ πράγματος τοσούτω προστεθέντος ἀλλοιοῦσθαι δοκῶ τὰ πράγματα, ἀλλ' ἁρμονίας διαλλαγείσας· ὥστε

Γλαῦκος καὶ γλαυκὸς, Ξάνθος καὶ ξανθὸς, Ξοῦθος καὶ ξουθός. ταῦτα μὲν τὰν ἁρμονίαν ἀλλάξαντα διήνεικαν. τὰ δὲ μακρῶς καὶ βραχυτέρως ῥηθέντα Τύρος καὶ τυρὸς, σάκκος καὶ σάκκος. ἄτερα δὲ, γράμματα διαλλάξαντα, κάρτος καὶ κράτος, ὄνος καὶ νόος. ἐπεὶ οὖν οὐκ ἀφαιρεθέντος οὐδενὸς τοσοῦτον διαφέρει, τί δὴ αἴ τις ἢ ποτιθείη, ἢ ἀφαιρεῖ· καὶ τοῦτο δείξω οἷόν ἐστιν. αἴ τις ἀπὸ τῶν δέκα ἓν ἀφέλοι, οὐκ ἔτι δέκα οὐδὲ ἓν εἴη. καὶ τἆλλα καθ' οὕτω. τὸ δὲ τὸν αὐτὸν ἄνθρωπον καὶ ἦμεν καὶ μὴ ἦμεν ἐρωτῶ τί ἢ τὰ πάντα ἐστίν; οὐκῶν αἴ τις μὴ φαίη ἦμεν, ψεύδεται, τὰ πάντα εἰπόντες ταῦτα πάντα ὤν πη ἐστί.

## ΠΕΡΙ ΤΑΣ ΣΟΦΙΑΣ ΚΑΙ τᾶς ἀρετᾶς, εἰ διδακτόν.

Λέγεται δέ τις λόγος οὔτ' ἀλαθὴς, οὔτε καινός· ὅτι ἄρα σοφία καὶ ἀρετὰ οὔτε διδακτὸν εἴη, οὔτε μαθητόν. τοὶ δὲ ταῦτα λέγοντες ταῖσδε ἀποδείξεσι χρῶνται, ὡς οὐχ οἷόν τε εἴη, αἰ ἄλλῳ παραδοίης, τοῦτο αὐτὸ ἔτι ἔχειν. μία μὲν δὴ αὕτα. ἄλλα δὲ, ὡς αἰ διδακτὸν ἦν διδασκάλια ἀποδεδεγμένην, ὡς τᾶς μωσικᾶς. τρίτα δὲ, ὡς τοὶ ἐν τᾷ Ἑλλάδι γενόμενοι σοφοὶ ἄνδρες, τὰ αὐτῶν τέκνα ἂν ἐδίδαξαν καὶ τὼς φίλως. τετάρτα δὲ, ὅτι ἤδη τινὲς παρὰ σοφιστὰς ἐλθόντες, οὐδὲν ὠφέληθεν. πέμπτα δὲ, ὅτι πολλοὶ οὐ συγγενόμενοι σοφισταῖς, ἄξιοι λόγω γεγένηνται. ἐγὼ δὲ κάρτα εὐήθη νομίζω τόνδε τὸν λόγον. γινώσκω γὰρ τὼς διδασκάλως γράμματα διδάσκοντας ἃ καὶ αὐτὸς ἐπιστάμενος τυγχάνει, καὶ κιθαριστὰς κιθαρίζεν. πρὸς δὲ τὰν δευτέραν ἀπόδειξιν, ὡς ἄρα οὐκ ἐντὶ διδάσκαλοι ἀποδεδεγμένοι τί μὰν τοὶ σοφισταὶ διδάσκοντι, ἀλλ' ἢ σοφίαν καὶ ἀρετάν. ἢ τί δὲ Ἀναξαγόρειοι καὶ Πυθαγόρειοι ἦεν. τὸ δὲ τρίτον, ἐδίδαξε Πολύκλειτος τὸν υἱὸν ἀνδριάντας ποιεῖν. καὶ αἱ μὲν

πις μὴ διδάξῃ, οὐ σαμῆον· αἰ δ' ἐστὶν διδάξαι, τεκμήριον ὅτι δυνατόν ἐστι διδάξαι. τέταρτον δὲ, αἰ μήτοι παρὰ σοφῶν σοφιστῶν σοφοὶ γίνονται. καὶ γὰρ γράμματα πολλοὶ οὐκ ἔμαθον μαθόντες. ἔστι δέ τις καὶ φύσις. αἰ δέ τις μὴ μαθὼν παρὰ σοφιστῶν ἱκανὸς ἐγένετο ἀφυής, καὶ γενόμενος ῥαδίως συναρπάξαι τὰ πολλὰ ὀλίγα μαθών· παρ' ὧν περ καὶ τὰ ὀνόματα μανθάνομεν. καὶ τούτων τι ἤτοι πλέον, ἤτοι ἔλασσον· ὁ μὲν παρὰ πατρός, ὁ δὲ παρὰ ματρός. αἰ δέ τῳ μὴ πιστόν ἐστι τὰ ὀνόματα μανθάνειν ἅμα, ἀλλ' ἐπισταμένως ἅμα γίνεσθαι, γνώτω ἐκ τῶνδε· αἴ τις εὐθὺς γενόμενον παιδίον ἐς Πέρσας ἀποπέμψαι, καὶ τηνεῖ τράφοι, κωφὸν Ἑλλάδος φωνᾶς, περσίζοι κα· καὶ αἴ τις τηνόθεν τῇδε κομίζοι, ἑλλανίζοι κα. οὕτω μανθάνομεν τὰ ὀνόματα· καὶ τὼς διδασκάλως, οὐκ ἄμες. οὐ λέλεκταί μοι ὁ λόγος, καὶ ἔχεις ἀρχὴν καὶ τέλος καὶ μέσον· καὶ οὐ λέγω ὡς διδακτός ἐστιν, ἀλλ' ὅτι ἀποχρῶντί μοι τῆναι ταὶ ἀποδείξεις. λέγοντι δέ τινες τῶν δημαγορούντων ὡς χρὴ τὰς ἀρχὰς ἀπὸ κλάρω γίνεσθαι, οὐ βέλτιστα ταῦτα νομίζοντες. εἰ γάρ τις αὐτὸν ἐρωτῴη τὸν ταῦτα λέγοντα, Τί δὴ σὺ τοῖς οἰκέταις οὐκ ἀπὸ κλάρω τὰ ἔργα προστάσσης, ὅπως ὁ μὲν ζευγηλάτας, αἴκ' ὀψοποιὸς λάχῃ, ὀψοποιᾷ, ὁ δὲ ὀψοποιὸς ζευγηλατῇ; καὶ τἄλλα κατὰ τὸ αὐτό. καὶ πῶς οὐ καὶ τὼς χαλκέας καὶ τὼς σκυτέας συναγαγόντες καὶ τέκτονας καὶ χρυσοχόας διεκληρώσαμεν καὶ ἠναγκάσαμεν, ἃν ἅς χ' ἕκαστος λάχῃ τέχναν ἐργάζεσθαι, ἀλλὰ μὴ ἃν ἐπίσταται. τωὐτὸν δὲ καὶ ἐν ἀγῶσι τᾶς μωσικᾶς διακλαρῶσαι τὼς ἀγωνιστάς, καὶ ὅτι χ' ἕκαστος καὶ λάχῃ, ἀγωνίζεσθαι· αὐλητὰς κιθαριζέτω τυχόν, καὶ κιθαρῳδὸς αὐλήσει. καὶ ἐν τῷ πολέμῳ τὼς τοξότας καὶ τὼς ὁπλίτας ἱππασεῖται, ὁ δ' ἱππεὺς τοξεύσει. ὥστε πάντες ἃ οὐκ ἐπίστανται οὐδὲ δύνανται, οὐδὲ πραξοῦντι. λέγοντι δὲ ἀγαθὸν ἦμεν καὶ δαμοτικόν· κάρτα ἐγὼ ἥκιστα νομίζω δαμοτικόν. ἐντὶ γὰρ ἐν ταῖς πό-

λεσι

κεσι μισόδαμοι ἄνθρωποι, ὧν αἴ κα τύχῃ ὁ κύαμος, ἀπολοῦντι τὸν δᾶμον. ἀλλὰ χρὴ τὸν δᾶμον αὐτὸν ὁρῶντα, αἱρεῖσθαι πάντας τοὺς εὔνως αὐτῷ καὶ τοὺς ἐπιτηδείως στραταγὲν, ἑτέρως δὲ νομοφυλακὲν, καὶ τἆλλα. ἀνδρὸς κατὰ τὰς αὐτὰς τέχνας νομίζω κατὰ βραχύ τε δύνασθαι καὶ ἀλέγεσθαι, καὶ ἀλάθειαν τῶν πραγμάτων ἐπίστασθαι, καὶ διδασκάσασθαι ὀρθῶς, καὶ δαμαγορεῖν οἷόν τ' ἦμεν, καὶ λόγων τέχνας ἐπίστασθαι, καὶ περὶ φύσιος τῶν ἁπάντων, ὥστε ἔχει καὶ ὡς ἐγένετο, διδάσκεν. καὶ πρῶτον μὲν ὁ περὶ φύσιος τῶν ἁπάντων εἰδὼς, πῶς οὐ δυνασεῖται περὶ πάντων ὀρθῶς καὶ πράσσεν; ἔτι δὴ ὁ τὰς τέχνας τῶν λόγων εἰδὼς, ἐπιστασεῖται καὶ περὶ πάντων ὀρθῶς λέγεν. δεῖ γὰρ τὸν μέλλοντα ὀρθῶς λέγεν περὶ ὧν ἐπίσταται, περὶ τούτων λέγεν. πάντων γὰρ ἐπιστασεῖται· πάντων μὲν γὰρ τῶν λόγων τὰς τέχνας ἐπίσταται, τοὶ δὲ λόγοι πάντες περὶ πάντων τῶν ἐ- * δεῖ δὲ ἐπίστασθαι τὸν μέλλοντα ὀρθῶς λέγεν, περὶ ὅτων καὶ λέγοι, * * καὶ τὰ μὲν ἀγαθὰ ὀρθῶς διδάσκεν τὰν πόλιν πράσσεν, τὰ δὲ κακὰ τὼς κωλύεν. εἰδὼς δέ γε αὐτὰ, εἰδήσει καὶ τὰ ἄπερα τούτων· πάντα γὰρ ἐπιστασεῖται. ἔστι γὰρ ταῦτα τῶν πάντων, κεῖνα δὲ ποτὶ ταυτὸν τὰ δέοντα πραξεῖται. χρὴ κἂν μὴ ἐπίσταται αὐλὲν, αἰ δυνασεῖται αὐλὲν, αἴ κα δέῃ τοῦτο πράσσεν. τὸν δὲ δικάζεσθαι ἐπιστάμενον δεῖ τὸ δίκαιον ἐπίστασθαι ὀρθῶς. περὶ γὰρ τούτων τὰ δίκαια. εἰδὼς δὲ τοῦτο, εἰδήσει καὶ τὸ ὑπεναντίον αὐτῷ καὶ τὰ * τέρεια. δεῖ δὲ αὐτὸν καὶ τὼς νόμως ἐπίστασθαι πάντας. αἰ τοίνυν τὰ πράγματα μὴ ἐπιστασεῖται, οὐδὲ τὼς νόμως. τὸν γὰρ ἐν μωσικᾷ νόμον τίς ἐπίσταται, ὅσπερ καὶ μωσικάν· ὃς δὲ μὴ μωσικὰν, οὐδὲ τὸν νόμον. ὅς γα τὰν ἀλάθειαν τῶν πραγμάτων ἐπίσταται, ἀπετὴς ὁ λόγος ὅτι πάντως ἐπίστασθαι. ὃς δὲ βραχὺ, δεῖ νιν ἐρωτώμενον ἀποκρίνεσθαι περὶ πάντων. οὔκουν δεῖ νιν πάντ' ἐπίστασθαι. μέγιστον δὲ καὶ

κάλλιστον ἐξεύρημα εὕρηται ἐς τὸν βίον, μνάμα, καὶ ἐς πάντα χρήσιμον, ἐς φιλοσοφίαν τε καὶ σοφίαν. ἔστι δὲ τοῦτο, ἐὰν προσέχῃς τὸν νοῦν, διὰ τούτων παρελθοῦσα γνώμα μᾶλλον αἰσθησεῖται σύνολον ὃ ἔμαθες. δευτέραν δὲ μελέταν, αἴ κα ἀκούσῃς. τὸ γὰρ πολλάκις ταὐτὰ ἀκοῦσαι καὶ εἶπαι, ἐς μνάμαν παρεγένετο. τρίτον, αἴ κα ἀκούσῃς, ἔπειτα οἴδας καταθέσθαι, οἷον τόδε· δεῖ με μνᾶσθαι Χρύσιππον, κατθέμεν ἐπὶ τὸν χρυσὸν καὶ τὸν ἵππον. ἄλλο, πυριλάμπη, κατθέμεν ἐπὶ πῦρ καὶ τὸ λάμπειν. τάδε μὲν περὶ τῶν ὀνομάτων. τὰ δὲ πράγματα οὕτως περὶ ἀνδρείας, ἐπὶ τὸν Ἄρη καὶ τὸν Ἀχιλλῆα· περὶ χαλκείας δὲ, ἐπὶ τὸν Ἥφαιστον· περὶ δειλίας, ἐπὶ τὸν Ἐπειόν.

# ΛΥΣΙΔΟΣ ΠΥΘΑΓΟ-ρείου ἐπιστολὴ πρὸς Ἵππαρχον.

Μετὰ τὸ Πυθαγόραν ἐξ ἀνθρώπων γενέσθαι, οὐδέποκα διασκεδασθήσεσθαι τὸ ἄθροισμα τῶν ὁμιλητῶν ἐς τὸν ἐμαυτοῦ θυμὸν ἐβαλόμαν· ἐπεὶ δὲ παρ' ἐλπίδας, ὥσπερ ἀπὸ ναὸς μεγάλας φορτίδος ἐν ἐρήμῳ πελάγει λυθείσας, ἄλλος ἀλλαχῇ φορεύμενοι διεσπάρημεν, ὅσιον κἀμὲ μνᾶσθαι τῶν τήνου θείων καὶ σεμνῶν παραγγελμάτων, μηδὲ κοινὰ ποιεῖσθαι τὰ σοφίας ἀγαθὰ τοῖς μηδ' ὄναρ τὰς ψυχὰς κεκαθαρμένοις. οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων πειραθέντα. οὐδὲ γὰρ βεβήλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυστήρια διηγεῖσθαι. κατ' ἰσότητα δὲ ἄδικοι καὶ ἀσεβέες ἀμφότεροι οἱ ταῦτα πράξαντες. καλὸν δὲ ἀναλογίζεσθαι ὅσον χρόνου μᾶκος διαγάγομες ἐκμετρήσαντες, ἀπορρυπτόμενοι ἀπίλους τὼς ἐν τοῖς στάθεσιν ἡμῶν ἐγκεκολαμμένους. ἕως πέντε διελθόντων ἐτέων, ἐγενόμεθα δεκτικοὶ τῶν τήνου λόγων. καθάπερ γὰρ οἱ βαφεῖς προεκκαθάραντες ἔστυψαν τὰ βάψιμα τῶν ἱματίων, ὅπως ἀνέκπλυτον τὰν βαφὰν ἀναπίωντι, καὶ μηδέποκα γενησομέναν ἐξίταλον· τὸν αὐτὸν ὁ δαιμόνιος τρόπον ἀνὴρ παρεσκεύαζε τοὺς φιλοσοφίας ἐρασθέντας, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπιζομέναν ἔσεσθαι καλῶν κἀγαθῶν. οὐ γὰρ κιβδήλοις ἐνεπορεύετο λόγοις, οὐδὲ πάγας, αἷς πολλοὶ τῶν σοφιστῶν τὼς νέως ἐμπλέκοντι, ποτ' οὐδὲν χρήσιμον σχολάζοντες· ἀλλὰ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἦν ἐπιστάμων. οἱ δὲ, πρόσχημα ποιησάμενοι τὰν τήνου διδασκαλίαν, πολλὰ καὶ

δεινὰ δρῶντι, σαγηνεύοντες οὐ κατὰ κόσμον οὐδ' ὡς ἔτυχε τὼς νέως. τοιγαροῦν χαλεπούς τε καὶ προδηεῖς ἀπεργάζονται τοὺς ἀκούοντας. ἐγκιρνάντι γὰρ ἤθεσι τεταραγμένοις τε καὶ θολεροῖς θεωρήματα καὶ λόγως ἐλευθέρους. καθάπερ γὰρ, εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέαι καθαρὸν καὶ διειδὲς ὕδωρ, τόν τε βόρβορον ἐτάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν, ὁ αὐτὸς δὲ τρόπος τῶν οὕτω διδασκόντων τε καὶ διδασκομένων. πυκναὶ γὰρ καὶ βαθεῖαι λόχμαι περὶ τὰς φρένας καὶ τὴν καρδίαν ἐμπεφύκαντι τῶν μὴ καθαρῶς ὀργιασθέντων, πᾶν τὸ ἅμερον καὶ πρᾶον καὶ λογιστικὸν ἐπισκιάζουσαι προφανῆμεν αὐξηθέν. ἐγκαταδεδύκαντι δὲ τῷ δάσει τούτῳ παντοῖαι κακότητες ἐκβοσκόμεναι, καὶ κωλύουσαι καὶ μηδαμῶς ἐῶσαι προκύψαι τὸν λόγον. ὀνομάξαιμι δὲ πρᾶτον ἐπελθὼν αὐτῶν τὰς ματέρας, ἀκρασίαν τε καὶ πλεονεξίαν. ἄμφω δὲ πολύγονοι πεφύκαντι. τᾶς μὲν οὖν ἀκρασίας ἐξεβλάστησαν ἄθεσμοι καὶ μέθαι καὶ φθοραί, καὶ παρὰ φύσιν ἡδοναί, καὶ σφοδραί τινες ὁρμαί, μέχρι θανάτων καὶ κρημνῶν ἐκδιώκουσαι. ἤδη γάρ τινας ἠνάγκασαν ἐπιθυμίαι μήτε ματέρων μήτε θυγατέρων ἀποσχέσθαι. καὶ δὴ παρωσάμεναι νόμον, καὶ πατέρα, καὶ πόλιν, καὶ τύραννον, ἐκπεριαγαγοῦσαι τὼς ἀγκῶνας, ὡς αἰχμαλώτως ἐπὶ τὸν ἔσχατον ὄλεθρον μετὰ βίας ἄγουσαι κατέστασαν. τᾶς δὲ πλεονεξίας ἐκπεφύκαντι ἁρπαγαί τε καὶ πατροκτονίαι, ἱεροσυλίαι, φαρμακεῖαι, καὶ ὅσα τούτων ἀδελφά. δεῖ ὦν τό γε πρᾶτον, τὰς ὕλας τᾶς ἐνδιαιτῆται ταῦτα τὰ πάθη, πυρὶ καὶ σιδάρῳ καὶ πάσαις μηχαναῖς ἐκκαθάραντα, καὶ ῥυσάμενον τὸν λογισμὸν ἐλεύθερον τῶν τοσούτων παθέων, τηνίκα φυτεύοντά τι χρηστὸν αὐτῷ παραδιδόμεν. Ἅπερ ἔμαθες μὲν Ἵππαρχε μετὰ σπουδᾶς, οὐκ ἐτήρησας δ' ὦ γεννάϊε, γευσάμενος Σικελικᾶς πολυτελείας, ἇς οὐ χρείω τι γενέσθαι δεύτερον.

λέγοντι δὲ πολλοί σε καὶ δαμοσίᾳ φιλοσοφέν. ὅπερ ἀπαξίωσε Πυθαγόρας· ὅς γε Δαμοῖ τᾷ αὑτοῦ θυγατεὶ τὰ ὑπομνάματα παρακαταθέμενος, ἐπέσκαψε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν. ἁ δὲ, δυναμένα πολλῶν χρημάτων ἀποδόσθαι τὼς λόγως, οὐκ ἐβουλήθη· πενίαν δὲ καὶ τὰς τῶ πατρὸς ἐπισκάψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας ἔμεν. φαντὶ δὲ ὅτι καὶ Δαμὼ θνάσκοισα Βισταλίᾳ τῇ ἑαυτῆς θυγατεὶ ταὶ αὐταὶ ἐπιστολαὶ ἀπέστελεν. ἄμμες δὲ ἄνδρες ἐόντες, οὐ γνησίως αὐτῷ περιφερόμεθα, ἀλλὰ παραβάται τᾶν ὁμολογιᾶν γιγνόμεθα. εἰ μὲν οὖν μεταβάλοιο, χαρήσομαι· εἰ δὲ μὴ, τέθνακάς μοι.

# ΘΕΑΝΟΥ͂Σ ἘΠΙΣΤΟΛΑΙ͂, ἡ τῆς Πυθαγορείου σοφίας θυγάτηρ προσηγόρευται.

## Περὶ τέκνων ἀνατροφῆς.

ΘΕΑΝΩ͂ ΕΥ̓ΒΟΎΛῌ ΧΑΊΡΕΙΝ.

Ἀκούω σε τὰ παιδία τρυφερῶς ἄγειν. ἔστι δὲ ἀγαθῆς μητρὸς οὐχ ἡ πρὸς ἡδονὴν ἐπιμέλεια τῶν παίδων, ἀλλ' ἡ πρὸς τὸ σῶφρον ἀγωγή. βλέπε οὖν μὴ οὐ φιλούσης ἀλλὰ κολακευούσης ἔργον ποιήσῃς. συντρεφομένη γὰρ ἡδονὴ παισὶν, ἀκολάστους ποιεῖ. τί γὰρ ἥδιον νέοις συνήθους ἡδονῆς; χρὴ οὖν, ὦ φίλη, τὴν τροφὴν τῶν παίδων μὴ διαστροφὴν εἶναι. ἡ δὲ διαστροφὴ τῆς φύσεώς ἐστὶν, ὅταν φιλήδονοι μὲν ταῖς ψυχαῖς, ἡδυπαθεῖς δὲ τοῖς σώμασι γίνωνται· καὶ τοῖς μὲν, φυγόπονοι, τοῖς δὲ, μαλακώτεροι. δεῖ δὲ πρὸς τὰ φοβερὰ γυμνάζειν τὰ τρεφόμενα, κἂν λυπηθῆναι· κἂν πονῆσαι δέῃ· ἵνα μὴ τῶν παθῶν ᾖ δοῦλα τούτων, καὶ περὶ τὰς ἡδονὰς λίχνα, καὶ περὶ τοὺς πόνους ὀκνηρά· ἀλλ' ἵνα τὰ καλὰ πρὸ πάντων τιμῶσιν, ὧν μὲν ἀποσχόμενοι, τοῖς δὲ ἐμμένοντες. οὐδὲ πλησμονικὰ μὲν ταῖς τροφαῖς, πολυτελῆ δὲ ταῖς ἡδοναῖς, ἀκόλαστα δὲ ταῖς ἀνέδην παιδιαῖς αὐτὰ ποιεῖν· καὶ πᾶν μὲν λέγειν, πᾶν δὲ ἐπιτηδεύειν ἐᾶσαι. ἔτι δὲ φοβουμένην μὲν ἢν κλαίῃ, φιλοτιμουμένην δὲ, ἵνα γελᾷ κἂν τὸν τροφὸν παίῃ, κἂν σε κα-

κῶς εἴπῃ, γελῶσαν. καὶ τοῦ μὲν θέρους ψύχος, τοῦ δὲ χειμῶνος καῦμα παρέχουσαν. καὶ πολλὴν χλιδὴν, ὧν οἱ πενιχροί γε παῖδες οὐδενὸς πειρῶνται· καὶ τρέφονται μὲν ῥᾷον, αὔξονται δὲ οὐχ ἧσσον, διάκεινται δὲ παρὰ πολὺ κρεῖσσον. σὺ δ' οἷον Σαρδαναπάλου γονὴν τιθηνῇ τὰ τέκνα, τὴν τῶν ἀῤῥένων φύσιν θρύπτουσα ταῖς ἡδοναῖς. τί γὰρ ἂν ποιήσειέ τις παιδίον, ὃ, ἂν μὴ τάχιον φάγῃ, κλάει· κἂν ἐσθίῃ, τὰ τερπνὰ τῶν ὄψων ζητεῖ. κἂν καῦμα, παρείεται· κἂν ψύχος, πλαμαπίζει. κἂν ἐπιτιμᾷ τις, ἀντιμάχεται· κἂν μὴ πρὸς ἡδονὴν ὑπηρετῇ, λυπεῖται· κἂν μὴ μασᾶται, δυσκολαίνει· καὶ κακοσχολεῖ πρὸς ἡδονὴν καὶ βαταλίζεται παραγόμενον. ἐπιμελῶς δὲ, ὦ φίλη, εἰδυῖα ὅτι τὰ ἀπαταλῶντα τῶν παιδίων, ὅταν ἀκμάσῃ πρὸς ἄνδρας, ἀνδράποδα γίνεται, τὰς τοιαύτας ἡδονὰς ἀφαίρει. καὶ τὴν τροφὴν αὐστηρὰν, μὴ τρυφερὰν οὕτω, ποιοῦσα, καὶ ἐῶσα καὶ λιμὸν καὶ δίψος ἐνεγκεῖν, ἔτι καὶ ψῦχος καὶ θάλπος καὶ αἰδῶ τὴν ἀπὸ τῶν συνηλίκων ἢ τῶν ἐπιστατῶν. οὕτω γὰρ καὶ γυνικὰ εἶναι συμβαίνει τὰ κατὰ ψυχὴν ἀνατεινόμενα ἢ ἐπιτεινόμενα. οἱ γὰρ πόνοι, φίλη, προϋποσυφαί τινες τοῖς παισίν εἰσι τελειωθησομένης ἀρετῆς· αἷς ἐμβαφέντες ἀποχρώντως, τὴν τῆς ἀρετῆς βαφὴν οἰκειότερον φέρουσι. βλέπε οὖν, φίλη, μὴ καθάπερ τῶν ἀμπέλων αἱ κακοτροφούμεναι, τὸν καρπὸν ἐλλείπουσι, καὶ ὑπὸ τῆς τρυφῆς οἱ παῖδες ὕβρεως καὶ πολλῆς ἀχρειότητος κακίαν γεννήσωσι.

## Πρὸς τὴν ζηλοτυποῦσαν παραμυθητική.

ΘΕΑΝΩ ΝΙΚΟΣΤΡΑΤΗ ΧΑΙΡΕΙΝ.

Ἤκουον τὴν τοῦ ἀνδρός σου παράνοιαν, ὅτι τὴν ἑταίραν ἔχει· σὺ δὲ, ὅτι ζηλοτυπεῖς αὐτόν. ἐγὼ δὲ, ὦ φίλη, πολλοὺς ἔγνωκα τῆς αὐτῆς νόσου. θηρεύονται γὰρ, ὡς ἔοικεν, ὑπὸ τῶν γυναικῶν τούτων, καὶ κατέχονται, καὶ οὐκ ἔχουσι νοῦν. σὺ δὲ ἄθυμος εἶ καὶ νύκτα καὶ μεθ' ἡμέραν, καὶ ἀδημονεῖς καὶ μηχανᾷ τι κατ' αὐτοῦ. μὴ σύ γε, ὦ φίλη. γαμετῆς γὰρ ἀρετή ἐστιν οὐχ ἡ παρατήρησις τἀνδρὸς, ἀλλ' ἡ συμπεριφορά. συμπεριφορὰ δέ ἐστι τὸ φέρειν ἄγνοιαν. εἶθ' ἑταίρᾳ μὲν πρὸς ἡδονὴν ὁμιλεῖ, γαμετῇ δὲ πρὸς τὸ συμφέρον· συμφέρον δὲ, κακοῖς κακὰ μὴ μίσγειν, μηδὲ παρανοίᾳ παράνοιαν ἐπάγειν. ἔνια δὲ ἁμαρτήματα, φίλη, ἐλεγχόμενα μὲν, ἐπιπλέον ἐρεθίζεται, σιωπώμενα δὲ, παύεται μᾶλλον· ὡς τὸ πῦρ ἡσυχίᾳ φασὶ σβέννυσθαι. ἐὰν γὰρ βουλόμενόν σε λεληθέναι δοκεῖν, ἐλέγχουσα, ἀφαιρήσῃς τὸ παρακάλυμμα τοῦ πάθους, καὶ φανερῶς ἁμαρτήσεται. σὺ δὲ τὴν φιλίαν ἡγῇ τοῦ ἀνδρὸς οὐκ ἐν τῇ καλοκαγαθίᾳ. τοῦτο γὰρ ἡ χάρις τῆς κοινωνίας. νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν ῥαθυμήσοντα πορεύεσθαι ἐκεῖνον, σοὶ δὲ συμβιώσοντα παρεῖναι· καί σε μὲν φιλεῖν κατὰ γνώμην, ἐκείνην δὲ κατὰ πάθος. βραχὺς δὲ ὁ τούτου καιρός. ἅμα γάρ ποτε ἔχει καὶ κόρον, καὶ παρίσταται ταχὺ καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρός ἐστι πρὸς ἑταίραν ἀνδρὶ μὴ σφόδρα κακῷ. τί γάρ ἐστι ματαιότερον ἐπιθυμίας ἀπολαυούσης ἀδίκου; διὸ καὶ μειῶν τὸν βίον καὶ διαβάλλων τὸ εὔσχημον αἰσθήσεταί ποτε. οὐδεὶς γὰρ ἐπιμένει φρονῶν αὐθαιρέτῳ βλάβῃ. καλούμενος οὖν ὑπὸ τῶν πρὸς σὲ δικαίων, καὶ τὰς περὶ τὸν βίον ἐλαττώσεις ὁρῶν, αἰσθή-

σεταί ποτέ σου, καὶ τὴν ἀπὸ τῆς καταγνώσεως ὕβριν οὐ φέρων, τάχα μεταγνώσεται. σὺ δέ, φίλη, ζῆθι οὐχ ἑταίραις ἀποκρινομένη, τῇ μὲν ἀπαξίᾳ πρὸς τὸν ἄνδρα διαφέρουσα, τῇ δὲ ἐπιμελείᾳ πρὸς τὸν οἶκον, τῇ δὲ συναλλαγῇ περὶ τὰς χρωμένας, τῇ δὲ φιλοστοργίᾳ περὶ τὰ τέκνα. οὐ ζηλοτυπητέον οὖν σοι πρὸς ἐκείνην· πρὸς γὰρ τὰς ἐναρέτους ἐκτείνειν τὸν ζῆλον, καλόν· ἑαυτὴν δὲ παρεκτέον ἐπιτηδείαν ταῖς διαλλαγαῖς. τὰ γὰρ καλὰ ἤθη καὶ παρ' ἐχθροῖς εὔνοιαν φέρει, φίλη· καὶ μόνης καλοκαγαθίας ἔργον ἐστὶν ἡ τιμή. ταύτῃ γὰρ καὶ δυνατὸν ἀνδρὸς ἐξουσίαν καθάπερ ἔχειν γυναικί, καὶ τιμᾶσθαι πλέον ἢ θεραπεύειν τὸν ἐχθρόν. καταρώμενος οὖν ὑπὸ σοῦ, μᾶλλον αἰσχύνεται· τάχιον δὲ διαλλαγῆναι θελήσει· προσπαθέστερον δὲ φιλοστοργήσει, συνεγνωκὼς τὴν ἀδικίαν τὴν εἰς σέ, κατανοῶν τε τὴν περιοχὴν ἐπὶ τοῦ βίου, καὶ πεῖραν τῆς στοργῆς λαμβάνων τῆς πρὸς αὐτόν. ὥσπερ δὲ αἱ κακοπάθειαι τοῦ σώματος ἡδείας τὰς ἀναπαύσεις ποιοῦσιν, οὕτως αἱ διαφοραὶ τῶν φίλων οἰκειοτέρας τὰς διαλλαγὰς φέρουσι. σὺ δὲ καὶ τὰ βουλεύματα τοῦ πάθους ἀντίθες. νοσοῦντος γὰρ ἐκείνου, καὶ σὲ παρακαλεῖ νοσεῖν τῇ λύπῃ· καὶ ἁμαρτάνοντος περὶ τὸ εὔσχημον, καί σε περὶ τὸν κόσμον ἁμαρτάνειν· καὶ καταβλάπτοντος τὸν βίον, καί σε καταβλάπτειν τὸ συμφέρον. ἀφ' ὧν ἐπ' αὐτὸν συντετάχθαι δόξεις, καὶ κολαζομένη ἐκεῖνον τὸ σεαυτὴν κολάζειν. εἰ γὰρ καὶ ἀφεμένη πρεσβύσῃ, ἑτέρου ἄρα πειραθήσῃ ἀνδρὸς τοῦ προτέρου ἀπαλλαγεῖσα· κἂν ἐκεῖνος ἁμάρτῃ τὰ ὅμοια, πάλιν ἄλλου. οὐ φορητὴ γὰρ νέαις χηρεία. ἢ μόνη μένεις ἀπ' ἀνδρὸς οἷόνπερ ἄζυξ. ἀλλὰ ἀμελήσεις τοῦ οἴκου, καὶ καταφθερεῖς τὸν ἄνδρα; ἐπωδύνου ἄρα βίου συνδιαιρήσῃ τὴν βλάβην. ἀλλ' ἀμυνῇ τὴν ἑταίραν; περιστήσεταί σε φυλαττομένη. κἂν ἀμύνῃ, μάχιμός ἐστιν οὐκ ἐρυθριῶσα γυνή. ἀλλὰ καλὸν ὁσημέραι μάχεσθαι

πρὸς τὸν ἄνδρα. καὶ τί πλέον; αἱ γὰρ μάχαι καὶ λοιδορίαι τὴν μὲν ἀκολασίαν οὐ παύουσι, τὴν δὲ διαφορὰν τῆς προκοπῆς αὔξουσι. τί δέ; βουλεύσῃ τι κατ' ἐκείνου; μὴ φίλη. ζηλοτυπίας κρατεῖν ἡ τραγῳδία ἐδίδαξε, δρᾶμα ἔχουσα σύνταξιν ἐν οἷς παρηνόμησε Μήδεια. ἀλλ' ὡς παρὰ τῆς νόσου τῶν ὀφθαλμῶν ἀπέχειν δεῖ τὰς χεῖρας, οὕτω καὶ σὺ τοῦ πάθους χώριζε τὴν προσποίησιν. διακαρτεροῦσα γὰρ, θᾶττον τὸ πάθος σβέσεις.

## Περὶ θεραπαινῶν προστασίας, ὑποθετική.

### ΘΕΑΝΩ͂ ΚΑΛΛΙΣΤΟΙ͂.

Ταῖς νεωτέραις ὑμῖν ἡ μὲν ἐξουσία παρὰ τοῦ νόμου δέδοται τῶν οἰκετῶν ἄρχειν ἅμα τῷ γήμασθαι· ἡ δὲ διδασκαλία παρὰ τῶν πρεσβυτέρων ἀπαντᾶν ὀφείλει περὶ τῆς οἰκονομίας ἀεὶ παραινούντων. καλῶς γὰρ ἔχει πρότερον μανθάνειν ἃ μὴ γινώσκεται, καὶ τὴν συμβουλὴν οἰκειοτάτην τῶν πρεσβυτέρων ἡγεῖσθαι. ἐν τούτοις γὰρ παρθενοτροφεῖσθαι δεῖ νέαν ψυχήν. ἀρχὴ δέ ἐστιν οἴκου πρώτη γυναιξὶν, ἀρχὴ θεραπαινῶν. ἔστι δὲ, ὦ φίλη, μέγιστον ἐπὶ δουλείᾳ εὔνοια. αὕτη γὰρ οὐ συναγοράζεται τοῖς σώμασιν ἡ κτῆσις, ἀλλ' ἐξ ὑστέρου γεννῶσιν αὐτὴν οἱ συνετοὶ δεσπόται. δικαία δὲ χρῆσις αἰτία τούτου, ἵνα μήτε διὰ τὸν κόπον κάμνωσι, μήτε ἀδυνατῶσι διὰ τὴν ἔνδειαν. εἰσὶ γὰρ ἄνθρωποι τῇ φύσει. ἔνιαι δὲ κέρδος τὸ ἀκερδέστατον ἡγοῦνται, τὴν τῶν θεραπαινῶν κακουχίαν βαρύνουσαι μὲν τοῖς ἔργοις, ὑποστελλόμεναι δὲ τῶν ἐπιτηδείων. εἶτα ὀβολιμαῖα κέρδη περιποιούμεναι, μεγάλοις ζημιοῦνται τιμήμασι, δυσνοίαις καὶ ἐπιβουλαῖς κακίσταις. σοὶ δὲ πρόχειρον ἔστω τὸ μέτρημα

τῶν σιτίων πρὸς τὸν ἀριθμὸν τῆς ἐριουργίας τοῖς ἐφ' ἡμέραν πόνοις. καὶ πρὸς μὲν τὴν δίαιταν, οὕτως. πρὸς δὲ τὰς ἀταξίας, τὸ σοὶ πρέπειν, οὐ τὸ ἐκείναις συμφέρον ἐξυπηρετητέον. τιμᾶν μὲν γὰρ δεῖ θεραπαίνας τὸ κατ' ἀξίαν. τὸ μὲν γὰρ ὠμὸν οὐκ οἴσει τῷ θυμῷ χάριν, τὸ δὲ μισοπόνηρον οὐχ ἧττον ὁ λογισμὸς βραβεύει. ἐὰν δὲ ἡ ὑπερβολὴ τῆς κακίας τῶν θεραπαινῶν ἀνίκητος ᾖ, ἐξοριστέον μετὰ πράσεως. τὸ γὰρ ἀλλότριον τῆς χρείας, ἀλλοτριούσθω καὶ τῆς κυρίας. ἔστω δέ σοι γνώμη τοῦδε πρόεδρος, καθ' ἣν γνώσῃ τὸ μὲν ἀληθὲς τῆς ἁμαρτίας, πρὸς τὸ τῆς καταγνώσεως δίκαιον· τὸ δὲ τῶν ἡμαρτημένων μέγεθος, πρὸς τὸ κατ' ἀξίαν τῆς κολάσεως. δεσποτικὴ δὲ καὶ ἡ γνώμη, χάρις ἐφ' ἡμαρτημένης ζημίας ἀπαλλάττουσα. οὕτω δὲ τὸ πρέπον ἐπὶ τοῦ οἰκείου τόπου διαφυλάξει. ἔνιαι γάρ, ὦ φίλη, ὑπὸ ὠμότητος καὶ μαστίζουσι τὰ τῶν θεραπαινῶν σώματα, θηριούμεναι διὰ ζῆλον ἢ θυμόν, οἱ ὑπομνηματογραφούμεναι τὴν ὑπερβολὴν τῆς πικρίας. αἱ μὲν γὰρ ἀνηλώθησαν χρόνῳ διαπονούμεναι, αἱ δὲ φυγῇ τὴν σωτηρίαν ἐπείσαντο· τινὲς δὲ ἐπαύσαντο τοῦ ζῆν, αὐτόχειρι θανάτῳ μεταστᾶσαι. καὶ λοιπὸν ἡ τῆς δεσποίνης μόνωσις, ὀδυρομένης τὴν οἰκείαν ἀβουλίαν, ἔρημον μετάνοιαν ἔχει. ἀλλ' ὦ φίλη, ἴσθι μιμουμένη τὰ ὄργανα, ἃ φωνεῖ μᾶλλον ἀνειμένα, ἐκρήγνυται δὲ μᾶλλον ἐπιτεινόμενα. καὶ γὰρ ἐπὶ τῶν θεραπαινῶν ταυτόν· ἡ μὲν ἄγαν ἄνεσις διαφωνίαν ἐμποιοῦσα τῆς πειθαρχίας, ἡ δὲ ἐπίτασις τῆς ἀνάγκης, διάλυσιν τῆς φύσεως. καὶ ἐπὶ τούτου δεῖ νοεῖν, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

# ΜΕΛΙΣΣΗΣ ἘΠΙΣΤΟΛΗ.

## ΜΕΛΙΣΣΑ ΚΛΑΡΕΤΑ. ΧΑΙΡΕΙΝ.

Αὐτομάτως ἐμοὶ φαίνῃ πλέονα τῶν καλῶν ἔχειν. τῷ γὰρ ἐσπουδασμένως ἐθέλειν τι ἀκοῦσαι περὶ γυναικὸς εὐκοσμίας, καλὰν ἐλπίδα δίδοι ὅτι μέλλεις πολιοῦσθαι κατ' ἀρετάν. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν ἀσυχίᾳ κεκαλλωπισμέναν, ἀλλὰ μὴ πολυτελῶς. ἦμεν δὲ τᾷ ἐσθᾶτι λευκοείμονα καὶ καθάρειον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν. παραιτητέον γὰρ αὐτᾷ τὰν διαυγῆ καὶ διαπόρφυρον, καὶ τὰ χρυσόπαστα τῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ τάδε χρήσιμα ποτὶ τὰν τῶν πλειόνων θήραν· τᾶς δὲ ποθ' ἕνα τὸν ἴδιον εὐαρεσούσας γυναικὸς κόσμος ὁ τρόπος πέλει, καὶ οὐχ αἱ στολαί. εὔμορφον γὰρ τὰν ἐλευθέραν ἀρέσθαι τῷ αὐτᾶς ἀνδρί, ἀλλ' οὐ τοῖς πλησίον. ἔχοις δ' ἂν ἐπὶ τᾶς ὄψιος ἐρύθημα μὲν σαμεῖον αἰδοῦς, ἀντὶ φύκεος· καλοκαγαθίαν δὲ καὶ κοσμιότητα καὶ σωφροσύναν, ἀντὶ χρυσῶ καὶ σμαράγδω. οὐ γὰρ ἐς τὰν τᾶς ἐσθᾶτος πολυτέλειαν φιλοκαλεῖν δεῖ τὰν γλιχομέναν τᾶς σωφροσύνας, ἀλλ' εἰς τὰν οἰκονομίαν τῶ οἴκου· ἀρέσκειν δὲ τῷ αὐτᾶς ἀνδρὶ ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνω θελήσιας. αἱ γὰρ τῶ ἀνδρὸς θελήσιες νόμος ὀφείλει ἄγραφος εἶναι κοσμίᾳ γυναικί, ποθ' ὃν χρὴ βιῶν αὐτάν. νομίζειν δὲ προῖκα πεπενηνέχθαι ἅμα αὐτᾷ καλλίσταν καὶ μεγίσταν, τὰν εὐταξίαν. πιστεύειν γὰρ χρὴ τῷ τᾶς ψυχᾶς κάλλει τε καὶ πλούτῳ μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων. τὰ μὲν γὰρ φθόνος καὶ νοῦσος παραιρέεται, τὰ δὲ μέχρι θανάτω πάρεντι ἐντεταγμένα.

# ΜΥΙ'ΑΣ ἘΠΙΣΤΟΛΗ'.

## ΜΥΙ͂Α ΦΥ'ΛΛΙΔΙ ΧΑΙ'ΡΕΙΝ.

Γενομένᾳ τοι ματρὶ παίδων τάδε παραινέω. τιτθὰν μὲν ἐκλέξασθαι τὰν ἐπιτηδειοτάταν καὶ καθάριον, ἔτι δὲ καὶ αἰδήμονα, καὶ μὴ ὕπνῳ προσοικειουμέναν, μηδὲ μὰν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κράτιστα ποττὸ ἐκτρέφεν ἐλευθέρας παῖδας, ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ, καὶ μὴ ταῖς πρὸς ἄνδρα κοίταις εὐνίκατος πέλῃ. μεγάλα γὰρ μερὶς ἐν τῷδε καὶ πρῶτα καὶ προκαταρκτικωτέρα ἐς ὅλαν τὰν βιοτὰν πέλει ἐν τᾷ τρεφοίσᾳ, ποττὼ καλῶς τραφῆμεν. ποιήσει γὰρ πάντα καλὰ ἐν τῷ ποτεοικότι καιρῷ. τὸν τιτθόν τε καὶ μαζὸν καὶ τροφὰν δόμεν, μὴ καττὸ ἐπενθὸν, ἀλλὰ μετά τινος προνοίας. οὕτω γὰρ ἐς ὑγίειαν ἄξει τὸ βρέφος. μὴ ὅτε αὐτὰ θέλει καθεῦδεν, νικῆται, ἀλλ' ὁπόταν τὸ νεογνὸν ἀναπαύσιος ἔρον ἔχῃ. οὐ μικρὸν γὰρ ἄκος τῷ παιδὶ προσοίσει. ἔστω δὲ μήτ' ὀργίλα ἁ τιτθανά, μήτε πρόγλωσσος, μήτε ἐν ταῖς τῶν σιτίων λήψεσιν ἀδιάφορος, ἀλλὰ τεταγμένα καὶ σώφρων. δυνατῶν δὲ ὄντων, μὴ βάρβαρος, ἀλλὰ Ἑλληνίς. ἄριστον ἐὰν καὶ τοῦ γάλακτος χρησίμως πιμπλάμενον τὸ νεογνὸν, οὕτως ἐς ὕπνον τρέπηται. ἁδεῖα γὰρ νέοις ἄνεσις καὶ εὐκατέργαστος ἁ τοιάδε σίτασις. αἰ δέ κα χ' ἁτέραν δόμεν χρῆ, ἁπλουστάταν. οἴνω δὲ τοπαράπαν ἀπέχεσθαι, τῷ δύναμιν ἰσχυρὰν ἔχειν, ἢ καττὸ σπάνιον μεταδιδόμεν τᾷ κράσει δειλινὸν γαλακτῶδες. τὰ δὲ λουτρὰ μὴ ποιεῖν συνεχῆ. ἁ γὰρ τῶν σπανίων καὶ εὐκράτων χρᾶσις, ἀμείνων. καττ' αὐτὰ δὲ καὶ ἀὴρ ἐπιτάδειος θάλπεος καὶ ῥίγεος ἔχων τὰν συμμετρίαν. καὶ οἴκησις δὲ μήτε ἄγαν περιπνεομένα μήτε ἄγαν καταστεγνος. οὐ μὰν ἀλλὰ καὶ ὕδωρ

μήτε ἀπόσκληρον μήτε ὑπαραίωρον. καὶ στρωμνὰ δὲ οὐ τραχεῖα, ἀλλὰ περιστίλβουσα τῷ χρωτὶ ἐναρμόστως. ἐν πᾶσι γὰρ τούτοις τὸ οἰκεῖον ἁ φύσις ἐπιποθεῖ, ἀλλ' οὐ τὸ πολυτελές. ταῦτα μὲν ὦν ἐπὶ τοῦ παρόντος οὐκ ἀχρεῖον ὑπογράψαι τοι τὰς ἐλπίδος ἐκτρέφας ἢ κατ' ἰθὺν ὑφαγεόμενον γινομένας. θεῷ δὲ συλλαμβάνοντος ὑπὲρ τᾶς ἀγωγᾶς τῶ παιδὸς αὖθις, τὰς ἐνδεχομένας καί ποτε οἰκείας κομιοῦμες ὑπομνάσεις.

# HENRIC. STEPHAnus lectori S.D.

QVUM superior Diogenis Laertii editio quæ Basileæ prodierat, cum variis exemplaribus antiquis collata partim à me, partim ab aliis fuisset: eáque collatio magnum variarum lectionum numerum nobis dedisset: quarum pleræque meliores essent iis quas editio illa habebat, nonnullæ eiusmodi essent vt vtræ vtris anteponi deberent, dubitare quis posset: aliquæ autem leuis aut nullius etiam momenti esse viderentur: in hac variarum lectionum varietate consilium hoc à me initum fuit, (quod tibi me probaturum confido) vt quæ apertè potiores forent iis quas editio illa attulerat, istarum loco in ipsum contextum reciperentur: ex cæteris aliæ in calce ipsius libri annotarentur, aliæ prætermitterentur. Quod ad primas illas attinet, in contextu positas esse, (simúlque multos locos quibus aliqua verba, interdum sententiæ totæ deerant, expletos fuisse) collatio superioris editionis cum hac, tibi abundè testabitur. Secundæ autem, eæ sunt quas nunc annotandas censui: tertias contrà, quòd tales sint quales dixi, omnino silentio prætereundas esse indicans. Quanuis porro multis vsus sim exemplaribus, locos tamen non deesse fateor qui aliquod aliunde auxilium expectent: quorum vnumquenque, si vacasset, tibi indicassem. Sed vel ad hanc tumultuariam scriptionem vix otii paululum suffurari potui, in absoluenda editione Herodoti (quam huic sociam fore promisi) occupato. Interim tamen qualemcunque hunc laborem boni consulas velim. Vale.

# HENR. STEPHANI ANnotationes in quosdã locos Diogenis Laertii, in quibus diuersas eorũ lectiones (præter multas quæ in contextum receptæ fuerunt) affert, déque harum nõnullis etiam differit: alicubi & de quorundam locorum interpretatione agit.

ΔΙΟΓ.] γρ. Λαερτίου Διογένους βίοι καὶ γνῶμαι τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, καὶ τῶν ἑκάστῃ αἱρέσει ἀρεσκόντων, βιβλίον πρῶτον. Legitur etiam ἀρεσάντων.

Versu βυλωνίοις] γρ. καὶ pro ἤ. Agnoscit autẽ illam copulatiuam particulam, non hanc disiunctiuam, interpres. Atque ita statim pòst legitur Κελτοῖς καὶ Γαλάταις, non ἢ Γαλάταις.

V. ἔτη] Vet. cod. non habet ἔτη, potéstque subaudiri ob præcedentem genit. ἐτῶν.

Pag. 2. V. ἀφ' Ἑλλήν.] γρ. ἤρξατο pro ἦρξε.

Pag. 3. V. λόγους] γρ. λόγον pro λόγους.

V. κην] γρ. μαγείαν pro μαντείαν.

V. seq.] Δίων pro Δείνων. Sed hoc ex Plut. & Athenæo confirmari potest.

Pag. 4. V. να] γρ. Ἄρης pro Ἅδης.

V. στοιχεῖα] γρ. πάντα pro τινά.

V. τῆς] γρ. καὶ ante ἀγάλματα.

Pag. 5. V. τῖνος] γρ. Ἀρχιλόχοις pro Ἀρχιλόχῳ.

V. χῶνεία] γρ. ἐκ Κρήτης pro Κρῆτα.

V. κατὰ πλῶ] γρ. ἐφιλοσόφησε. καταλήγει &c. pro διέτριψε. καταλύει.

Pag. 6. V. εἰς ὃ] γρ. Πλάτων pro Πλάτωνος.

V. τος ὃ] γρ. Ναυκλύδης hîc & alibi pro Ναυκύδης.

Pag. 8. V. penult.] γρ. μεγαλῆς pro μικρᾶς.

Pag. 9. V. μέγεθος] γρ. εἰκοσιοστὸν pro εἰκοστόν.

V. ἀψύχοιο] γρ. ψυχῆς pro ψυχάς.

V. μητρῷον] γρ. Πάμφιλος pro Παμφίλη. Sed hæc Παμ-

φίλη citatur & alibi.

V. θαγόραν] γρ. αὐτὸς pro οὗτος.

V. τὸς πρὸς] γρ. συμμαχίαν pro συμμαχία.

V. seq.] γρ. μὲν pro δὲ.

V. υιοὶ] γρ. Κίβισον, & Κύβισον, & Κυβίσθον, necnon Κύδισον.

V. θέντα] Germ. habet δι' ἀφιλοτεκνίαν pro διὰ φιλοτεκνίαν. Estque illam lectionem sequutus interpres, non hanc. Quam tamen confirmant quidam, hoc Thaletis responsum commemorantes. quippe qui eum hoc dixisse tradant, respicientem ad illum dolorem quem parentibus mors liberorum affert. is enim eo maior est quo magis diliguntur.

Pag. 10. V. μδύης] γρ. φησὶ δὲ Ἱερώνυμος καὶ Ῥόδιος pro φησὶ καὶ ὁ Ῥόδιος Ἱερώνυμος. De qua lectione mirum est consentire inter se vet. codices: perinde ac si duo essent autores: quum tamen sit φησὶ, non φασὶ. & alibi quoque quidam Hieronymus cognominetur Rhodius. Quidam habent cum articulo, Ἱερώνυμος καὶ ὁ Ῥόδιος.

V. μδύος] γρ. φορᾶς μελλούσης ἐλαιῶν ἔσεσθαι.

V. δὴ ὁ] γρ. Λεανδρου, sed rectius Λεανδρίου.

V. πρόπισω] γρ. ὀνησω pro πρόπισω. Habes autem bis illam vocem & ex Heraclito, infrà, pag. 342. Sed ibi quoque ὀνησὸς & ὀνησὸν quidam cod. in νισὸς & νισὸν deprauarant.

V. οἱ δὲ] γρ. Δινδυμαίῳ pro Διδυμαίῳ, quod certum est. Sic tamen & infrà Δινδυμαίῳ pro Διδυμαίῳ, & in quibusdam Διδυμεῖ.

Pag. 11. V. ὁ δ'] γρ. Δαίδαλος & Δαίνδαλος pro Δαδάλος.

Pag. 12. V. σι] γρ. ἐμπίπλει.

V. seq.] γρ. Θαλῶ pro Θαλῇ.

V. μὴ πρ.] γρ. οὐ pro μή.

V. ὃς δὲ δ] γρ. ὡς σοφία τὰ πὸ ὄντα.

V. vlt.] γρ. τόδε pro τάδε.

Pag. 13. V. ἀπεφήνατο] γρ. μάστευε, idem significans

cum μάπυε, quod in contextu ex plurium codicum consensu habetur. γρ. At interpres sequutus est lectionem superioris editionis: videlicet μαίπυε. reddit enim Diuina. Est tamen nouum μαιπύω pro μαιπύομαι: præterquam quòd μάπυε seu μάςυε melius conuenit cum sequente αἰρεῦ.

V. ῥεται] Habet v. codex καὶ ante ἀποφθέγματα.

V. .. μῦνον] γρ. ἐγχόρει.

V. πῶς] Ante χεῖρον insertū est ἔφη. quod legit & interpres. Sed posit etiam subaudiri, vt alibi sæpe.

V. τίς δὴ.] γρ. Τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν ἀπαίδευτος. Et ita, Τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ τύχην ἀπαίδευτος. Fortasse perperam pro οὐκ ἀπαίδευτος. Sed οὐκ ἀπαίδευτος siue ἀπαίδευτος multo melius cum accus. ψυχὴν aut φύσιν conuenit.

Pag. 14. V. ὡς] γρ. γὰρ pro δέ.

V. ἢ] γρ. ὀλίγου pro ὀλίγον. Rectius ad euphoniam est ἢ ῥ' ὀλίγον.

V. μεγαλ.] Interpres μεγαλοφυὴς nomen proprium esse putat, & iungit cum τεῖχος.

V. ἐστὶ καὶ] γρ. ἡμῖν pro ὑμῶν.

V. πκοις] γρ. ἀναγέγραφε pro γέγραφε.

V. λεῖ μάλ.] γρ. πάντα ἐπιθέσθαι ποιητικά. In Germ. edit. πάντα ἐπιθέσθαι ποιητικά. Ego legendum puto πάντας ἐπιθέσθαι ποιητικῇ.

Pag. 15. V. τὴν] Scholiastes Euripidis priorem versum ita scriptū habet, Τοῦτ' ἔλεγχον Σώδαμος Ἐπιεράτου, ὅς μ' ἀνέθηκεν.

Pag. 16. V. φελος] γρ. ἐθέλω λεσχηνεῖν αὐτοῖν περὶ &c. Ego lubenter retineo λεσχηνωτής. cuius pluralem λεσχηνῶται (nisi potius scribendum λεσχηνωταί, seruato illo accentu) habes & infrà, pag. 50 & 51. Perperam autem in vulg. lex. tradi hanc vocem Ionibus significare Violentos & cōtumeliosos, in meo Thesauro linguæ Græcæ docui, Tomi 2. semipag. seu columna 685.

Pag. 17. V. ἄξονας] Lege cum aliis cod. τῆς πατρίδος αὐτοῦ Σαλαμῖνος ἀμφισβητουμένης ὑπὸ τῶν Ἀθ. &c. Ineptè e-

nim hîc ponitur particula δηλονότι, tãquam ex scholio proficiscens, quum omissus esset genit. Σαλαμῖνος.

V. Ἀττικὸς] Legitur in quibusd. cod. ἀφέτων, sed perperam omissa litera ν, metri causa: quod et cum ἀφέντων stare potest, ob liquidam mutæ iunctam. Hæc autem lectio, τὴν Σαλαμῖνα φυγὸν, ex interpretis verbis excogitata est. quasi verò hæc, Qui Salamina fugit, ab illorum quæ habemus verborum sententia aliena sint. Adde quòd Fugit, præs. temp. propter metrum esse debet.

Pag. 18. V. κλησίαι] γρ. δόρατος pro θώρακος.

V. τῆς] Inseritur ἐλεγεῖα post τυραννίδος. Et sic interpres quoque.

V. ἐκ νεφ.] γρ. μένος pro βία.

V. δῆμος] γρ. αἴδρις ἐὼν pro αἰδρείῃ, quomodo & interpres.

V. γίνετο] γρ. συνῴκισεν pro ᾤκισεν.

Pag. 19. V. αὐτοὶ] γρ. τούτοις pro τούτους. Iungendum autem erit τούτοις cum δόντες.

V. οὔτε] γρ. οὔτε οὐ προσῆκόν μοι, sine ὡς, & rectius. Item γρ. Κεκροπιδῶν pro Κοδριδῶν. quam lectionem sequitur interpres, licet sequatur Κόδρῳ.

V. ἐκείνου] γρ. τά γε ἄλλα.

V. σίας] καὶ inseritur ante δημοτελεῖς.

V. ἦν δὲ] γρ. τῶν ἐμῶν φίλων εἶναι, ἔσῃ αὖ ὁ πρῶτος.

Pag. 21 V. μετὰ] γρ. περδάλων pro περδαλίων.

V. vlt.] ἄριστα pro κάλλιστα.

Pag. 22 V. αἳ γὰρ] γρ. νόστων καὶ ἀργ. sine τε.

V. καὶ μετὰ π.] Pro ἀγγὰς non dubito quin reponi aliud vocabulum debeat: quũ nec sententia cõmoda ex hac lectione elici possit, nec metri lex eã admittat.

V. Ὅρα] Pro εἶχος (quod ex consensu omnium nostrorum veterum exempl. reliqui) apud interpretem legebatur ἔχθος, cui lectioni respondet eius interpretatio, habens Odium. At in editione Latina quæ meã proximè præcessit, malè repositum fuit ἔχθρος, dubium inter ἔχθος & ἐχθρός. Fuisse autem κραδίην mutan-

dum in κραδίῃ,(vt mutaui) manifestissimum est.

Pag.23.V.ἐπαγγέλλεις] γρ. ἀπαγγέλλεις,quod malo.

Pag.25.V.λεγεῖα[ita malim,quàm ἐλεγείαν.vt infrà, ἐλεγεῖα ἔπη,in Pittaco.pag.29.Sic verò & apud alios scriptores ἐλεγεῖα potius quàm ἐλεγείαν reperias.

V.αὐτοῦ] γρ. ἐπίσταμαι,εἶπεν,ἀδικεῖσθαι.Alioqui subaudiendum esset.

V.τυρος] γρ. Ἡρόδοτος ἐν τῇ πρώτῃ.

P.26.V.ταῖς ἀτ.] γρ. φέρεσθαι pro πορεύεσθαι.

V.τοῖς] γρ. Κυθήρων,à nomin.plurali Κύθηρα, qui est frequentior.

Pag.27.V.Ἐπις.]Antea pro ἐμὶν legebatur perperam ἐμήν,& καὶ pro κα:item ἐγὼ pro ἐγών.

Pag.28.V.ὡς τὸν] Scribe Τυῤῥαῖον.

Pag.30.V.Τὴν] Apud alios,ἐς οἶκον ἐπήγετο.

Pag.32.V.Τῇδε] Satius est scribere, cum aliis codicibus κέκλυθι. Alioqui retinendo κέκλυθε, mutandum esset τῇδε in ἥδε.

V.δε,ἀς.]Repone ἄρεσκε.

Pag.33.V.Χαλκῆ]Nonnulli scriptores hos versus afferentes legũt in primo, ἐπὶ σήματος ἧμαι. In quarto,Καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα.In vltimo, Σημανέω.

Pag.34.V.στάλας]Valde corruptus erat hic locus. legebatur enim,αἰπηθεπούμενος σήλας, pro αἰπηθέντα μένος στάλας.Sed, vt verum fatear, ne vet. quidem codices prorsus mendo vacui erant:vtpote in quibus esset αἰπηθέντα μένος τάλας,omisso videlicet σ in tertiæ vocis principio, ob σ quod habetur in fine præcedentis. Quem literæ huius concursum aliorum quoque errorum causam fuisse obseruaui. Quod verò quidã antea reposuit αἰπηθέμενον,stare nõ potest. Cæterùm libet hanc odæ Simonideæ particulã vertere,vtpote in cuius interpretatione ipsamet poetæ verba non repræsentauerit interpres.Reddam autem penè adverbum, ideóque rudius.Quis(inquit)mente fretus[id est, mẽte valens] laudauerit Cleobulum Lindi incolam,qui

fluuiis perennibus, & floribus vernis, solisque flammæ, aureæque lunæ, marinisque fluctibus opponat [.i.comparet] columnæ robur? Omnia enim sunt diis inferiora: at verò lapidem mortales etiam manus frangunt. Stulti viri hoc cōsilium est. [vel potius, hæc sententia. vt sit pro γνώμη]

V. Εἷς ὁ] γρ. παῖδες δυοκαίδεκα.

V. ἀλλ' ὁ] Vide num legendum ἄχαρις.

P.35. V. Πολλοὶ] γρ. ἔταροι, & hîc & paulo pòst: quod melius conuenit dialecto qua scripta est hæc epistola. Sed (quod multo maioris momenti est) videndum quid de his vocibus, πτ' αἰνιωτάτων, statui possit. Pro illis antea legebatur coniunctim πταινιωτάτων: sed ex vet. cod. illa scriptura reposita fuit. Quid si verò ποταινιωτάτων legatur, à ποταίνιος, cui noua significatio tribuatur? Interpres tamen aliam lectionem aut habuisse aut certè reposuisse videtur: quippe qui reddat, Commodissimam fore ad inhabitandum. Idem legisse videtur πολλοὶ μὲν τοι: quandoquidē interpretatur, Amici quidem tibi sunt permulti. At τύνη (quod in quibusdam cod. extat) non video quomod oferri possit.

Pag.36. V. ἐπὶ τῇ] pro φωρᾷ malè reponitur χώρᾳ. Hîc enim potius assentiēdum esse exempl. quæ illam scripturam, quàm iis quæ istam habent, verba proximè præcedentia satis ostendunt.

Pag.37. V. τὰ κερ.] Antea erat κερδαίντα voce in accentu duntaxat deprauata: malè igitur reponitur κέρδοντα pro κερδαντά.

V. αὔτι.] Pro αὐτεῖ in vet. quibusdam inueni αὔτει. quod magis placuit, tanquam tertia persona verbi αὐτῶ, & nominatiuum habens Ἀπόλλων, ex præcedentibus petendum: sed indigens interpretatione paulo alia quàm quæ passim ei tribuitur. Quin autem ex iisdem reponendum fuerit ταὶ ἐμαὶ ἐπιστολαὶ pro τὰς ἐμὰς ἐπιστολὰς, in dubium vocari minimè potest.

Pag.38.V.ταὶ] γρ. ἢ ἐγὼ ποῖα ἀμυνοῦμαι. Item pro κατακαύσαι legitur etiam κατακούσαις. quod certè ferri nō potest: sed in eo fortasse remanent veræ lectionis vestigia: quam vt habeamus, ex illo vocabulo & ex proximè sequenti duo alia debere fieri videntur. Interim autem dum lectio hæc in lucem prodeat, vix dici potest legine debeat τὴν τε θυγατέρι (vt in plerisque vet. cod.) an τῇ τε θυγατρί.

Pag.39.V.πλετ.] γρ. ἐπιπλεοῦντα. quod frequentius legitur cum hoc accusatiuo.

V.Παίτας] Rectius Ἑλλαδικοῖς, vt habes. nam Ἑλλανικοῖς haberet α longum, vt pote pro Ἑλληνικοῖς.

Pag.40.V.Ἐγὼ] γρ. εἰς τὴν γῆν τῶν Ἑλλ. Sed malè iubemur hāc lectionem sequi, quū altera sit elegantior, subaudiēdum substantiuum hoc, more Græcis vsitatissimo, relinquens. Sic initio huius paginæ immeritò affertur κράτει pro κρατεῖν, tāquam illud pro hoc reponere necesse sit: quū talem vsum infinitiuorum in præcipiendo, vel hoc ipso in libro, passim reperiamus.

P.41.V.βιούς] γρ. ἑβδομήκοντα pro ἐννενήκοντα.

P.42.V.γίνετο] γρ. μετεσκευασμένα πάντα καταλαβών. quæ etiam lectio in cōtextū recipi debuit. Eam interpres quoq; sequutus est, sed non bene interpretatus. Vertit enim, Quum verò rerum omnium faciem immutatam cerneret. quum per μετεσκευασμένα πάντα videatur voluisse significare Omnia vasa aliò translata, siue Omnem supellectilem aliò translatam. quamuis alioqui desiderari possint huius significationis exempla.

P.43.V.τήλλαξεν] γρ. Στράγγων. Item Φλέγων. Et paulo pòst, υἱὸς δὲ ὄντος τετρακοσίων.

P.44.V.δύο] γρ. Δωρίδι: quo dicitur modo infrà, pag.50, in principio, τῇ Ἰάδι γεγραφώς.

P.46.V.Χρωτὶ] Legitur etiam Χρῶ, item χροΐ. At χρωτοδῆλα coniūctim, (quod etiam affertur) nusquam legi, nec ab aliis ex vet. codice annotatum inueni. Suidas hunc locum citans, χροῒ habet.

Pag.47. V. ῥῶν] Pro ἔϐμιον legitur etiam ἔθυον, in plerisque codicibus. Quod vt minus mirum videatur facit eius vsus in fine epistolæ.

Pag.49. V.οὖσαν] γρ. ψευδοδειδῆ. quod & in præced. edit.fuit: sed ψευδοφανῆ facilius confirmari potest.

Pag.50. V.μὴν] γρ. σκεϐαῖς.

V. Εὔϐουλ.] Legendum videtur ἀϐουλότερος.

Pag.52. V. Ἀθηναίων] Legitur etiam cum interrogatione, ἐστερήθης Ἀθηναίων;

Pag.55. V.Ἀλλ' ὁ] Pro αὐτὸν reposui αὑτὸν, cum spiritu aspero, pro ἑαυτόν: sicut in principio huius pag. habes ἑαυτὸν ἐξήγαγεν, quum prius legeretur αὐτὸν ἐξήγαγεν, eodem quo hîc errore. Interpres certè, licet αὐτὸν legisse videatur, genus hoc loquendi minimè assequutus est: quippe qui reddiderit, Ac sponte inde discessisse: quum debuerit reddere, Ac mortem sibi consciuisse. Dicitur enim ἐξάγειν αὐτὸν seu ἑαυτὸν, (subaudiendo genitiuum τοῦ βίου, vel τῆς ζωῆς) Qui seipsum è vita educit, interpretando ad verbum. In epigrammatis quoque interpretatione expressa significatio horum verborum non fuit: vbi tamen aliquam etiam iniuriam factam eius autori existimo. illum enim scripsisse, Huic vitam incolumem Pericles seruauit. Tunc autem verbum Perdidit, non habens quò referatur, ad accusatiuum illum commodè referetur.

V. δῶρου] γρ. Μύσωνος.

V. φησὶν] Ita positum hunc genitiuum δήμων habes cum aliis in locis, tum pag.103, & 146. Pro συμποιεῖν autē legitur & συμπονεῖν: sed lubenter συμποιεῖν retinuerim, sicut ποιεῖν de poetica scriptione dici notum est. atque adeo habes & infrà, pag.146.

Pag.56. V.Ἐκ δ'] γρ. ἀνομολέσχης.

Pag.57. V.στύσαντα] γρ. τὰ ἀρίστεια. Sed malui alteram lectionem retinere: quòd dicatur potius παραχωρῶ σοι τοῦδε, quàm τόδε.

Pag.58. V.χρήματα] Pro προσιέμενος iubemur reponere προσιέμενος: quasi verò, vt ἀνιέμενος, ita etiam

περισσέμωρος dici non possit.

V. ὡς ἄλλ.] γράφεται τοῖς Ἕλλησι διαζῆσι. Et in versu sequente, κ' οὔτε τι.

Pag. 59. V. Βρενθ.] γράφεται βρενθύει & παραβάλλει & ἀνέχει, Atticè pro βρενθύῃ & παραβάλλῃ & ἀνέχῃ.

V. σπανὸν] Iubemur pro θαῦμα, τὰ μὲν &c. (in qua lectione consentiebant omnes nostri vet. codices) reponere θαύματα μέν. at plusquam θαυμασία esset hæc lectio. Sed qui hoc iubet, sequitur errorem interpretis: qui locum hunc ita reddidit, Dicebat autem facile cuiuis esse, quæ habet aliquis mira proloqui: amicos autem quos possideat, nominare difficillimum. Quum ita reddere debuisset, Aiebat autem mirum esse, vnũquemque facilè dicere posse quæcunque habeat, at quot amicos possideat, nominare non posse.

Pag. 60. V. τοῖς] Pro αἰσχρολογίαν legitur etiam γλισχρολογίαν. quod magis mihi probatur. siquidẽ γλισχρολογία aptè tribuitur sophistarum λόγοις ἐριστικοῖς.

V. καὶ μὴ] Inter τοῦτο & εἰδέναι iubemur inserere particulam μὴ, quam tamen nec vet. cod. nostri habebãt, nec locus admittit. Alioqui sensus esset, Socratem dixisse se nihil scire, ac ne hoc quidem scire, an videlicet verum esset, se nihil scire. Atqui ex aliis scriptoribus notum esse potest eum dicere solitũ, Vnum hoc scio, nihil scire.

Pag. 62. V. περὶ ἀμ.] Licet hanc lectionem multorum codicum consensus confirmet, magis tamen mihi probatur altera, καθάπερ Μέλιτον καὶ Ἄνυτον.

Pag. 66. V. λίω] Superior editio habebat, τοῦτον ἐν στενωπῷ φασὶν ἀπαντήσαντα Σωκράτην. quæ lectio ferri nullo modo potest. Sed quum alteruter accusatiuus in datiuũ mutandus esset, malui mutare τοῦτον, vel potius debui. quum alioqui quod à Socrate factum fuit, (vt ex sequẽtibus quoque patet) adscripturi simus Xenophonti. Non ignoro tamen in multis vet. cod. legi τούτῳ & Σωκράτει.

Pag. 68.] γράφεται ἐπαιδεύοντο.

Pag.70. V. Πυθοςράτου] γρ. Νικοςράτου.
V. ἐκλελ.] γρ. Σωκρατικὴν ἀπορίαν.

Pag.71. V. τοῦ πατρ.] γρ. ςρατηγοῦ, καὶ τῆς Δίωνος. μάλιςα ἢ μιμ. Et statim pòst, συγγέγραφε.

Pag. 72. V. καὶ περσ.] γρ. ἁρμονίας, quod malo. Quod autem paulo pòst habetur παρέφαγεν, in omnibus nostris cod. scriptum erat. Videtúrque esse ita vsus vt alibi verbo τρώγειν, item composito περιςπαρατρώγειν, in Euclide, metaphoricé. Quo dixit modo Horatius, Quem rodunt omnes.

Pag.73. V. γωμαι] Quidam scribunt βλέννον, cum νν. Habetur autem & βέλτιον in quibusdam cod. pro hac voce.

Pag.77. V. τὸν δ'] γρ. ἀισχρότερον.

Pag.80. V. τι κατας.] Altera lectio ἀνδίαν, stare nō potest. ἀνδονία autem legitur itidem suprá.

Pag.82. V. σαι] γρ. ἀλόγως. Et paulo pòst, κατηναισκασμένον pro πιεζόμενον.

Pag.85. V. ρεται] Pro πώμαλον legitur etiam πάσκαλον. in quibusdam autem cod. neutrum.

Pag.86. V. διςάζεται] Repone τύποις.

Pag.87. V. λεῖος] Scribe, διὸ καὶ Ἐλεγξῖνος ἐπεκλήθη, vt rectius in quibusdam cod. legitur. Conuenit enim ei qui φιλονεικότατος est, ἀπὸ τοῦ ἐλέγξαι. Interpres tamen vtrobique habet Alexinus, non eius fortasse sed librarii vitio.

Pag.88. V. Ὡς ἀτ.] γρ. περιεπτίρετο pro περιέπειρέ πως.
V. Διοδ.] In vet. cod. legitur, οὐ Διόδωρος, continuantúrque hæc cum præcedentibus.

Pag.89. V. δ' εὑρεσ.] Pro σοφιςεία, quod ex vet. quibusdam cod. additum fuit, legitur in duobus σοφία. Sed cum εὑρεσιολογία (siue εὑρεσιλογία, vt in aliis scriptum est) melius conuenit σοφιςεία quàm σοφία.

Pag. 90. V. τι καὶ Θεοδ.] Mirum est hîc legi θεόν, non ἄθεον, vt passim apud alios scriptores hoc, non illud, cognomen ei dari videmus, & cuius rationem in promptu esse scimus. Sed admirationem auget vete-

rum exemplarium de hac scriptura consensus, atque adeo ipsius interpretis.

V. των ἀναχ.] γρ. ταῖ τῶν ἰδίων.

V. θρώπων] Pro εἶχεν legitur etiam εἶδεν. sed huic lectioni illam præfero. Vtram harũ sequutus sit interpres, vix colligi ex eius verbis potest. Quæ autẽ apud eum subiunguntur, (vt obiter lectorem hac de re admoneam) Aiunt illum ita quẽdam de Phidiæ Minerua compellasse, malè reddita fuerunt: ob non intellectum vsum quem verbũ ἐρωτῆσαι hîc & alibi apud eos qui dialectica tractant, obtinet. Perinde enim est ac si diceremus, Talem interrogationem illi proposuisse.

V. Πόθεν] Pro κῆπον iubemur reponere κόλπον. quam vocem quidam etiam ex nostris cod. habuerunt, sed plures κῆπον. quam esse veram lectionem, meus Thesaurus Græcæ linguæ abundè te docebit.

Pag. 91. V. τόνδε] Lege potius (vt in quibusdã vet. cod.) τόνδε, ἢ τόνδε.

P. 94. V. κἀντ.] γρ. ται πλεύσαντες καὶ συγγινόμενοι εἰς Ἦλιν.

P. 95. V. ἦν γὰρ] γρ. ται ἐπισκώπτης. Eadem lectionis diuersitas infrá.

V. κλέους] Affertur συνανακάμπτοντος pro συνανακόπτοντος.

Pag. 96. V. κειμένου] Suspectum alicui possit esse vocabulum ἀγωνιάτης, vtpote cuius vsus nullum aliunde exemplum afferatur: sed vtrobique scriptum est in omnibus nostris vet. cod. Eius autem à verbo ἀγωνιᾶν origo manifesta est. Interpres tamen priore in loco reddit Ignominiæ metuens: in posteriore, Anxius atque solicitus. At Bud. Trepidator, Formidator.

P. 97. v. αὐτὰς.] Nisi ἐστρέφετο legamus, (vt habẽt pleraque vet. exempl.) necesse fuerit legere ἐτρέπετο. sed magis conuenit ἐστρέφετο. à quo etiam dicitur aliquis ἀγχίστροφος: itẽ πολύστροφον νόημα poeta quidã dixit. Hæc autẽ illi ingenio cõueniunt quod à Latinis eadẽ metaphora versatile appellatur. Ideóq; nõ debuit interpres reddere Versabat omnia. Idẽ εὑρησιλόγει aliter potius

interpretari debuit. De quo verbo ( quoniam & alibi occurrit) aliqua hîc obiter dicam. Sed incipiam à nomine εὑρησιλόγος, ex quo fit aliud nomen, videlicet εὑρησιλογία: deinde & illud verbum εὑρησιλογεῖν. Est igitur εὑρησιλόγος, siue εὑρεσιλόγος, aut etiam εὑρεσιολόγος, (Q.d. Verborum inuentor seu excogitator, vel Nouos subinde sermones excogitans) non simpliciter Verborum funditator: sed Cui nũquam deest argumentũ funditandi verba. Neque tamen intellige funditandi verba quolibet modo, sed vt in disputationib⁹, & quidem pertinacioribus, fieri solet. Dictúmq; primò fuit de philosophicis seu sophisticis disputationib⁹, postea verò latius eius vsus patuit. A Bud. redditur Facũdus, Disertus, itẽ Solers in disputando: in isto huius ipsius scriptoris loco, in Arcesilao, ἦν δὲ καὶ εὑρεσιλογώτατος ἀπαντῆσαι εὐστόχως, καὶ ἐπὶ τὸ προκείμενον ἀνενεγκεῖν τὴν περίοδον τοῦ λόγου, καὶ παντὶ συναρμόσασθαι καιρῷ. Sed hæ interpretationes, ac præsertim duæ priores, parũ mihi probantur. Hinc εὑρεσιλογία seu εὑρεσιολογία, aut etiam εὑρησιλογία, Facultas illa excogitandi verba. Legitur εὑρεσιλογία apud Plut. in Quæst. Rom. & in lib. De defectu orac. εὑρεσιολογία autem habetur apud Philonem De mundo: necnõ apud hunc scriptorem initio vitæ Stilponis: quibusdam tamen exempl. ibi legentibus εὑρεσιλογία. Tertium illud εὑρησιλογία apud eundem Plut. extat, ita scribentem, εἴγε μὴ παιδιὰν καὶ εὑρησιλογίαν ἕνεκα δόξης, ἀλλ' ἔργον ἄξιον σπουδῆς, ὥσπερ ἐστὶν, ἡγοῦνται τὴν φιλοσοφίαν. At verbum εὑρησιλογεῖν sicut hîc, ita & apud Athen. legitur, lib. 5, de Antiocho qui cognominatus fuit Epimanes, μάλιστα δὲ πρὸς τοῖς ἀργυροκοπείοις εὑρίσκετο καὶ χρυσοχοείοις εὑρησιλογῶν καὶ φιλοτεχνῶν πρὸς τοὺς τορευτὰς καὶ τοὺς ἄλλους τεχνίτας. Ex his iudicet lector an εὑρεσιλόγος seu εὑρησιλόγος propriè sit simpliciter Verborum funditator, Verbosus: εὑρεσιλογία seu εὑρησιλογία, Verborum funditatio, Verbositas: εὑρεσιλογεῖν seu εὑρησιλογεῖν, Verba funditare, Verbosum esse.

Pag. 98. V. χων] γράφεται πρακτικώτατος. sed cum præcedentibus melius altera scriptura cõuenit. vult enim docere, eum qui in disputationibus esset valde μάχιμος,(id est pugnax) omnino alium in factis fuisse: videlicet πρᾳότατον,id est clementissimum, seu placidissimum. Interim autem adiuuandus est interpres in proximè præcedentis loci interpretatione. Is enim ὑπώπια esse putauit Ardentis spiritus indicia in oculis: quum ea voce significẽtur Sugillationes in facie, præsertim in partibus quæ oculis subiacẽt. Vnde ὑπωπιάζεσθαι dicitur qui ita sugillatur: & quidem apud hunc ipsum scriptorem quoq;. vt in Cratete, Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳδὸν ὑπωπιάσθη.

Pag.99. V. πῶς] Non aliud quàm παρίχον legisse interpretem, sed aliud quàm Satiusculum scripsisse credendum est, quod videlicet à sale deriuatum esset.

Pag. 100. V. ἀκόλ.] Non ἀκόλαστον sed ἀκόλακον interpres quoque legit, & rectè interpretatus est, Ab assentatione alienum.

V. λάκις] γράφεται ἐλευθερῶσαι τὴν πατρίδα ἀπὸ τῶν.

Pag. 101. V. τοι] Pro τοιοῦτος legitur etiam ποῖος, & quidem adiuncta interrogationis nota.

V. μηκοστὸν] γράφεται ὀγδοηκοστόν.

Pag. 102. V. χος ἐν] γράφεται Ἀναξιάδης.

Pag. 103. V. εικλῆς] Perperam reponitur hîc τὸν δῆμον pro τῶν δήμων: nisi fortè in omnibus locis in quibus pluralis hic genitiuus habetur, singularem illum accusatiuum reponendum esse quis dicat. Sunt autem hi loci non pauci. Habetur enim hæc scriptura cum alibi, tum initio vitæ Socratis, & initio vitæ Xenophontis. Quinetiam (quod magis mirum est) in principio vitæ Speusippi, pro τῷ δήμῳ vet. cod. aliquot habebant itidem τῶν δήμων.

Pag. 104. V. πρὸς τ] Affertur ex coniectura ἀπολουθῆναι pro ἀπολυθῆναι: sed videtur posse ferri ἀπολυθῆναι, subaudiendo τῆς νόσου: quum dictum fuerit νοσήσαντα

Pag. 106. V. οἰκέναι](Pro ὁμοιότατα legitur etiam ὁμοιώματα, necnon ὁμοιότητες.

P. 109. V. πὰν παρὰ] Legitur etiam ποιοῖς, rectius. Estque hāc lectionem interpres quoque sequutus. vertit enim, Rectè feceris si memineris: nō autem, Rectè facis quòd memineris.

P. 110. V. αὐτὸς] γράφεται Θεόπομπος. Sed altero illo nomine, non hoc, alibi etiam appellatur.

P. 111. V. Ὦ δίαυτ'.] Antea legebatur τὸ τοῦ Πλάτωνος: & hæc verba προσέχε δὴ seorsum posita erant, tanquam ab iis versus quartus inciperet. Sed retinendo articulum illum τοῦ, longior erit versus quàm vt possis illi addere duo illa vocabula, προσέχε δή. Quare meritò ex aliquorum exemplariū consensu, articulus ille sublatus fuit.

Pag. 112. V. Ὦπλαι] Pro ἅπλαι legitur etiam ὦ παῖ. At pro παῖς τις ἐπιστρέφεται, in Anthol. epigr. habetur, πᾶσι περιβλέπεται.

V. Ἀρχαίαν.] Aliter hæc scripta inuenies in Anthol. epigr. pag. 232, meæ editionis. In versu secundo, Ἆς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' ἔρως. (Apud Athen. autem πικρὸς ἔπεστιν ἔρως) In tertio, Ἣν νέον ἡβήσασαν ἀποδρέψαντες ἐρασταὶ Πρωτοβόλοι. Sed Athenæus quoque illā scripturam agnoscit, non hanc. Ac fortassis (vt alibi dixi) mutata fuit illa scriptura ab iis quorum auribus insolēs erat hic participii ἀπαντήσαντες vsus cum genitiuo: quū alioqui itidem αἰτῆσαι apud Herodotū extet cum genitiuo, pro τυχεῖν: habeátque hunc ipsum vsum apud Homerum verbum ἀντιάαν.

P. 116. V. Ἐνθάδε.] In Anthol. Epigr. pag. 191, meæ editionis, legitur Ἐνθάδε κεῖται ἀνὴρ θεῖος Ἀριστοκλέης.

V. Τοῦτον] Ibidem legitur, οὗτος ἔχει παλαιῷ. qui nominatiuus videtur commodior. Poteſt tamē & altera lectio ferri: vt subaudiatur nominatiuus ex præcedentibus, & intelligatur τοῦτον τὸν ἔπαινον.

V. Εἰκὼν] γράφεται σῶμα δέ γε γῆς. In epigr. autem, σῶμα μὲν γῆ

P. 118. V. τεῖα] γράφεται τοῦ κάλλους pro τοῦ καλοῦ.

V. Ἄλκιβ.]

V.Ἀλκιβ.] Reponendum fuisse Ἀλκιβιάδαι (vt habent quidam vet.cod.)pro Ἀλκιβιάδης,ex sequentibus etiam apparet, vbi fit mētio Ἀλκιβιάδου δευτέρου, & Ἀλκιβιάδου τοῦ μείζονος.

Pag.120.V.ὁ δὲ πισ.] Repone τὸ καθόλου, & πιστούμενος post μέρους.

Pag.121.V.κός.] Antea legebatur ἢ περὶ φιλοκερδοῦς. Sed altera lectio confirmatur etiam ab ipsis Platonis exemplaribus.

Pag.122.V.φυσικός.]Pro ἠθικὸς legitur etiā πολιτικός. Itidémq; paulo pòst, ἢ νυκτερινὸς, πολιτικός. σύλλογος, &c.

V.κος] γρ. αι Χελιδὼν ἑβδόμη.

Pag.123.V.vlt.] Legitur etiam κεραύνιον.

Pag.124.V.συμφ.] Habet quidem superior editio ὀβολὸς,hoc in loco, sicut in proximè præcedente: sed quin vtrobique reponi debeat ὀβελὸς, minimè dubium est:quanuis & in quodam vet. cod.altera illa lectio habeatur.

V.γρος] Conflatum est ἐκδοθέντα ex ἐκδοθέντι α΄. Ita enim legendus est hic locus, ἐν τῷ περὶ Ζήνωνος νεωστὶ ἐκδοθέντι.α΄ εἴπως &c. Hanc scripturā agnoscit & interpres.

V.κίνητον.] γρ. αι λογιστικὸν μέρος.

V.γίνεσθαι] γρ. αι ὀρθουμένην.

Pag.125.V.δὲ τ] γρ. αι ἀμεταβλήτων.

Pag.129.V.τῆς ὄψιν.] γρ. αι θετόν. Sed interpres alteram lectionem sequitur, & commodum ex ea sensum elicere videtur: ita locum hunc reddēs, Neque enim consummato actu quidpiam remanet quod oculis subiectum sit:cæterùm in ipso actu vis omnis est.

Pag.131.V.καὶ διαιρ.] γρ. αι λογιστικὸν pro λογικόν:itidémque in sequentibus locis. Suprà quoque eadem lectionis varietas allata fuit.

P.133.V.διαμαρτ.] γρ. αι διαμαρτήσεσθαι καὶ οὐκ ὀρθῶς ἐρεῖν.

Pag.134.V.τῆς προσηγ.] Reponēdum puto εὐπροσηγορίας pro προσηγορίας.Scim⁹ enim ad humanitatē,id est vt humani habeamur, præcipuè requiri vt simus εὐπροσήγοροι.

P.137. V. καὶ πᾶν] γρ. καὶ πᾶν τὸ τυχὸν, καὶ τὸ ποιοῦν. Interpres autem vocem illam τυχὸν nō agnoſcit, nec certè opus ea eſſe videtur, licet in pleriſque exempl. habeatur. Paulo pòſt pro ἀμερῆ γρ. ἀμέρισα.

P.139. V. τοῖς Εὐρυμ.] γρ. τῶν μὲν δήμων. cuius lectionis mentionem feci ſuprà, annot. in pag. 103. Habes autem & initio vitæ Polemonis lectionem illam, τῶν δήμων.

P.141. V. Ξενοκρ.] γρ. Χαλκηδόνιος. quam γραφὴν & interpres ſequutus eſt.

V. νοῦ] Poſt ἀλείφω nota interrogationis ponenda non fuit, quum hæc admiratiuè pronuntientur.

P.144. V. Χαλκῆ] γρ. περισκόψας pro περισπάσας.

Pag.145. V. παπέρα] Quin ἁρματοτροφῆσαι vera ſit lectio, dubitari nō poteſt: eámque ſequutus eſt interpres. Sed idem in verborum proximè ſequentium interpretatione impegit. Nā φυγεῖν δίκην vertit Fugiſſe iudiciū: quum ſciamus φεύγειν δίκην eſſe Latinis aliud nihil quàm In iudicium vocari, Accuſari.

Pag.146. V. περὶ Εὐέρατ.] Repone ὀξῶτα, ſicut & σιλφῶτα: aut certè per nominatiuum, ὀξώτης & σιλφώτης.

V. καὶ φίλος.] Pro κατὰ τῶν κωμικῶν licet interpres legiſſe videatur κατὰ τοὺς κωμικοὺς, veriorem tamē lectionem eſſe puto κατὰ τὸν κωμικόν. Paulo poſt pro γαῦσις legitur γαῦξις, item γλύξις.

V. Κράτης.] Interpres legit, aut certè legiſſe videtur, Ἀθηναῖος poſt Κράτης. quippe qui vertat, Crates Athenienſis. Meritò certè hoc additū iri videtur, vt diſtinguatur à Thebano, de quo poſtea. Quod autem pro τῶν δήμων affertur τὸν δῆμον, huic lectioni multos opponi locos poſſe docui in annot. in pag. 103, & 139.

Pag.149. V. Ἐνδοίη] Abſque codicum aſſenſu reponere auſus non ſum ἐν δοιῇ. quod tamen reponi debere nemo mihi negare poſſit: præſertim quum apud Callimachum hæc ipſa verba legamus, hymno in Iouem, atque adeo videri poſſit totus hic verſus illius verſum eſſe imitatus. Ita enim ille cecinit, Ἐν δοιῇ

μάλα θυμός. ἐπεὶ γῆρος ἀμφήρισον. quum præcessisset, Πῶς καί νιν, Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον; Legitur tamẽ ibi ἐνδοιῇ coniũctim: sed rectius scribitur ἐν δοιῇ. habétque hanc lectionem Eustathius quoque apud Homerum.

At pro ἦσι fuisse reponendum ἤ σι, vel sequentia clarè indicãt. Versu sexto in ποι αἶσα, sequutus sum eos codices (licet numero pauciores) in quibus erat ποῖος σύ. quum ex altera lectione nullus elici sensus queat, ac ne cohærere quidem illa verba cum præcedentibus aut sequentibus possint: contrà autem hæc optimè locum hunc cõcludant, tanquam ἐπιφωνηματικῶς dubitationis illius rationem afferentia. Sed quum antea inter ἀνέμων & ποι αἶσα nulla interpũctio esset, debuit contrà inter ἀνέμων & ποῖος σὺ collocari τελεία στιγμή: quam à nobis omissam, nũc collocare tuum fuerit. Quoniã autem pulcherrimos hosce versus turpissimè tractatos esse ab interprete video, quippe qui eorũ sensum omnino peruerterit, libet mea interpretatione iis qui Græca non assequuntur, gratificari. Ac primùm interpretis versus afferam:

*Mens foret illa mihi cecini quæ feruidus olim*
*Progeniem diuûm æternam: celebrare Cupido*
*Te primum inciperem, & quot natos edidit atra*
*Nox, Erebúsque senex, alto sub gurgite lati*
*Oceani, Terráque satos, Venerísque puellum:*
*Ventorúmque vagos cursus, humanáque vota,*
*Naturámque tuam canerem, corpúsque gemellum.*

Vide, obsecro, lector, à quàm paruo erroris principio in quãtos errores aliquis prouehi possit. Primùm putauit hic ἐνδοίη esse verbum aliquod optatiui modi: deinde ex ἦσι (non animaduertens esse pro ἤ σι) putauit faciẽdum ἦτα, quod iungeretur cũ ὅτι, quasi idem valente quod ὅτι. Postremo εἴπω accepit pro εἴποιμι ἄν, & τῷ ὅσοις ita vertit ac si esset καὶ ὅσοις. Hîc vagus ferri & itinera planè deuia & mihi ignota sequi cœpit. Nunc vide contrà quàm paruum emendationis adiumentum in rectam viam reducere aliquem possit: &

hanc tamen meam interpretationem, tanquam ex tẽpore ſcriptam legendam eſſe memineris.

*In dubio eſt animus (fertur tibi quòd genus anceps)*
*Te diuûm in numero primúmne Cupido reponam,*
*Quos Erebúſque ſenex & Nox regina profũdis*
*Oceani (vt memorant) quondam genuere ſub vndis?*
*An Venere an ventis an terra te eſſe creatum*
*Dicam. nanque vagus mala tot mortalibus affers*
*Tótque bona. hinc corpus tribuit natura biforme.*

V. Ἰῶ δὲ] Rectius ἀπλέκητον. Talis autem fuerit iocus ſi Gallicè dixeris, *Vne uoix mal rabbotee.* Vnde autem interpres ſumpſerit illud Infractam, coniicere nõ poſſum. ſcimus enim ἀπλέκητον ſonare Non dolatus & cõplanatus ſecuri. At verò vtrum rectius ſcribatur, σκίφης ne an σκίφθης, nondum compertum habeo: neutrius enim ſignificationem reperio. Si tamen Suidæ credere velimus, lectionem illam ſequemur. Nam poſt σκίφη (quod non exponit) addit ea ipſa verba quæ hîc leguntur, καὶ τινος ποιητοῦ τοὺς στίχους ἔφη Κράντωρ ὁ φιλόσοφος σκίφης εἶναι μεστούς. Fortaſsis aliquis στύφους legendum dixerit, quod exponitur Stupa. ſed neque ſatis de hac ſignificatione iſtius vocabuli conſtat; neque ſatis aptè de verſibus hoc dici videtur.

V. Ἐπικλ.] γρ. νόσος κακίστη.

V. τείτω] γρ. Πιττάνης.

Pag. 150. V. δύο] γρ. τὸν μὲν ὁμοπατρείων πρεσβύτερον Πυλάδην, τὸν δὲ ὁμομητρείων Μοιρέαν. quam ſcripturam ſequutus eſt interpres.

V. Ὦ παρθ.] Repone μοι pro μή. quod mẽdum ab operis commiſſum fuit. In ſequenti autem verſu pro δμῶτ', in quibuſdam legitur δμωΐδ'.

Pag. 151. V. Τῇ γὰρ] γρ. Μενέδημον.

Pag. 152. V. δίας.] γρ. ἐπικόπτης. quæ lectionis diuerſitas fuit & ſuprà.

V. Οὐ] γρ. νίψεται pro λήψεται.

V. ἔφη] γρ. πότερον οὐδὲ αὖ οὕτω.

Pag.153.V. ὑποδ.] Antea legebatur οὐκ ἀποστεροῦντος, perperā. At interpres legisse videtur καὶ ἀποροῦντος, pro καὶ ἀποστεροῦντος. vertit enim, Quū verò is egenus esset.

Pag.154.V.τος] γρ. αλλ' Βουσέλου, item Βουσελίου, & Βουσελέου, & Βουσόλου.

V.φιλοσ.] γρ. αλλ' αὐτῷ οἱ περὶ Ἱερώνυμον τὸν Περιπατητικόν.

Pag.155.V.Οἱ δέ μιν] Antea legebatur περὶ σπιζοῦ. Hesychius tradit σπιζία vocari omnes aues: vnde fortasse suspicari possemus legendum esse, γλαῦκα περὶ σπιζία, id est aues circa noctuam: si huic voci σπιζία salua metri mensura iungi posset περιπτοῶντο.

V.Ἠλέμ.] γρ. αλλ' ὀχλοαρέσκος. Quod autem quidam annotat, ὄχλῳ ἀρέσκεις, non conuenit.

V.εὐαρεστουμένους] γρ. αλλ' ἀρεσκομένους.

V.ἔφη] Rectius, ἐκ μὲν γὰρ ἀνδρῶν.

Pag.158.V. τὸν αἰτ.] Legitur etiam cum interrogationis nota post πωλῶ. pro quo habetur & πιπράσκω.

V.Δουλοῖ.] Plutar. hunc versum afferens legit θρασυσπλαγχνος.

Pag.160.V.Βίωνα] Hi versus in superiori editione, non in certa spatia distributi, sed solutæ orationis more scripti erant. Quum autem videremus vbique iambico dimetro anacreonticum subiungi, placuit eos quo vides modo distinguere. Sed occurrerunt postea apud Aristoph. huiusmodi versus copulati, veluti in Ranis,

Ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν, οὐδὲν παρῆκ' ἂν ἀργόν.
Ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον,
Χὠ δεσπότης, χἡ παρθένος, χἡ γραῦς ἄν. Αι. εἶτα δῆτα
Οὐκ ἀποθανεῖν σε ταῦτα χρῆν τολμῶντα; Ευ. μὰ τὸν Ἀπόλλω.

Vbi animaduerte etiam, recipere Anacreonticum interdum alios pedes quàm apud Anacreontem soleat. vt in hoc quarto vides esse tribrachyn. Quod facilius perspicietur, si separetur, hoc modo,

Οὐκ ἀποθανεῖν σε ταῦτα χρῆν

Τολμῶντα. μὰ τὸν Ἀπόλλω.

Paulo antè autem versui cuidã anapæstum etiã adhibuerat. Tales porro versus apud eundem habes & in aliis comœdiis. Nunc igitur tuũ fuerit (si videbitur) hos quoque eodem modo copulare: ita scribendo,

Βίωνα τὸν Βορυσθενίτην, ὃν ἔφυσεν ἡ Σκυθὶς γῆ,

Λέγειν ἀκουόμεν θεοὺς ὡς οὐδέν εἰσιν ὄντως.

Κ' εἰ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμμενεν, ἦν ἂν εἰκός, &c.

Itidémque in cæteris. Animaduerte autem in primo, Anacreonticum duos anapæstos recipere. At hic versus,

Πεπεισμένος ἔδησε,

non video quomodo ferri possit: quum pyrrhichiũ minimè locũ habere hîc sciamus. Fortassis autem restitui possit inserendo particulam γε: hoc modo, Πεπεισμένος γ' ἔδησε. Nisi potius πεπεισμένως scribatur aduerbialiter: quod tamen durius videri hîc possit.

P.161. V. συνακμ.] Post δύο quidam cod. addunt ἰάδι. (pro qua voce perperam in quodam est ταδί) & post γεγραφώς, ita scriptum est in iisdem, ἰάδι καὶ οὗτος. τρίτος ὁ εἰρημένος φιλόσοφος. τέταρτος, &c.

Pag.162. V. Λῦσε.] Magnus est inter exemplaria consensus de lectione huius versus. quare non aliter legisse sed planè non intellexisse puto interpretem. Nam pro his verbis, διὸ δὴ μήτι Λυαῖος ἔφυ, habet, Ideo non satus ille fuit. Atqui manifestum est (aut ego valde fallor) hæc interrogatiuè dici, (ideóque post ἔφυ interrogationis notam addendam censeo) & ad etymum epitheti Λυαῖος referri. Verum est (inquit) Dionysum, quum copiosus in corpus ingressus fuerit, membra solere soluere. nónne autem hanc ob causam est Lyæus? q. d. solutor. At quidam annotauit μητιλυαῖος, vna voce, pulchrè scilicet & perquam ridiculè composita.

V. Στω.] γρ. ἐπιμελέσταται τὰ Χρ.

Pag. 163. V. σολαὶ] γρ. Ἀεραιὸν τὸν Καππ. sed huic scripturæ reclamantibus multis historicis.

V. Ἀμαθὴς] Interpres versuum qui passim hoc in libro leguntur, quicunque is sit, (alius enim est ab eo qui cætera reddidit) à sensu epigrammatis huius longè aberrauit, in secundo versu præsertim. Putauit enim hæc, ἀμαθὴς ὅς &c. de Carneade dici: vt videlicet posita sint pro ὃς ἀμαθὴς ὢν &c. Atqui ineptè postea subiungeretur, οὔτι κάτοιδεν ὅπως δειδίει τὸ θανεῖν. Cōtrà in interpretatione genuina sensum aptissimum habemus: vt subaudiatur (sicut passim solet) verbum ἐστί. perinde ac si dictum esset, ἐκεῖνος ἀμαθής ἐστιν ὃς οὔτι κάτοιδεν &c. Sed Latinam etiam expositionem addam, & quidem longius progrediens. Cur (inquit) Musa vis Carneadem à me redargui? Ingenio rudi præditus est quicunque non animaduertit quantopere mortem pertimesceret: quum ne tum quidem quū phthisi, morbo teterrimo, laboraret, dissolutionem corporis ab animo admittere voluerit. At verò interpres λύσιν vertit Curam: qua voce non video quid intelligere hoc loco potuerit: nisi fortè significare voluerit curationem qua liberaretur à morbo. Qui vocis illius vsus valde durus esset, nullo certè modo significationi Græci nominis responderet. Sed libet & vlterius in interpretatione huius epigrammatis progredi, quū itidem sequentium versuum sententia planè sit ab eo immutata. Quum (inquit) audisset Carneades Antipatrum epoto veneno extinctum esse, Date igitur & mihi, dixit, vt potem. Quídnam? quid? (Quæ interrogationes sunt eorum qui ipsum Carneadem circūstabant: ex eo scire volentium quidnā bibendum sibi præberi vellet: quum mētio veneni facta tum fuisset. Perinde ac si dicenti, Date igitur mihi quoque, responderent, Quid? itáne petis venenum, cuius potu te interimas?) Date mulsum. Hîc iam mentem mutat, & quum tanquam μεγαλόψυχος, minimé que φιλόζωος ac φιλόψυχος, venenum petiisset, (nomen quidem non addens, sed facilè id intelligendum relinquens ex iis quæ de Antipatro narrata fuerant) contrà, vt

planè μικρόψυχος, non φάρμακον, sed οἰνόμελι esse dicit quod sibi præberi vult. Sed si aliud nihil ab interprete boni hîc accipimus, lectionem saltem sexti versus meliorem nobis dat ea quam in nostris codicibus habemus: omissa videlicet particula τὶ post ἔφησε. (quod verò inter κἀμοὶ & πιεῖν interpungit, in eo manifestus est error) Nisi τὶ accipiamus non pro Aliquid, sed pro Aliquantum: perinde ac si dixisset, Date igitur & mihi bibendum aliquantum veneni. Sed τὶ non τί scribendum est. Quandoquidem autem veram huius epigrāmatis interpretationem huc vsque perduxi eam ad finem perducere visum est: præsertim quum apud interpretem vltima primis optimè (quod ad deprauatam sentētiam attĩnet) respondeant. Pro his igitur, σφόδρα τ' εἶχε περίχειρα ζωή, habet, Nam grauiter habet hæc facilis natura. quum Diogenes hoc dicat, Et valde in promptu illi erant hæc: quæ sequuntur videlicet. Q.d. Semper in ore illi erant, Semper paratissimum habebat hoc responsum, (ad eos nimirum qui eum increpabant tanquam μικρόψυχον & magis φιλόψυχον) Φύσις ἡ συνέχ. &c. id est, Natura quæ me continet, illa ipsa erit quæ etiam dissoluet me. Quibus verbis significabat expectandum esse naturale mortis tempus. Supersunt duo versus, quorum posteriorem non magis quàm cæteros intellexisse videtur interpres. Eorum sensus hic est, Et ille quidem nihilominus (id est, quanuis adeo vitæ amans fuerit, adeóque illi pepercerit) sub terram iuit. Atqui licebat ei plura mala (quæ videlicet ab eo tempore passus est) lucrato, proficisci ad inferos. Id est, Ex eo tempore quo sententiam de hauriendo veneno mutauit, multa mala perpessus est, quæ lucrifecisset, si in ea perstitisset, & epoto illo ad inferos concessisset. Quod autem ad hoc loquendi genus attinet, κέρδε' ἔχειν τὰ κακά, Diogenem puto in eo imitari voluisse vnū ex veteribus comicis, qui tamen non dicit κέρδεα seu κέρδη ἔχειν τὰ κακὰ, sed κερδαίνειν

κακά. Eum locum habes in libello quem edidi sententiarum ex comicis Græcis selectarum cum mea interpretatione.

P.164. V.Οὐδ'] γρ. ἀναλύστου. Sed ἀναλίστου rectius scribi puto, vt Academicis loquacitatem insulsam inesse dicat.

P.167. V.Ἀλλ'] γρ. ἀνδρῶν & δολίων. Apud interpretem autem (quicunque is sit qui versus interpretatus est apud Diogenem) habetur ἀνδρὸς & δολίως. sicut in eius interpretatione legimus, Insidiosè hominis vsus amicitia. Sed suspicor ab eo scriptum fuisse Insidiosi: quod deinde in Insidiose deprauatum, occasionem præbuerit ei qui Græcos versus Latinis præfixit, mutandi itidem δολίου in δολίως. Multo autē magis ridiculum est quod quidam affert, ἀνδρῶν & δολίου.

P.169. V.κάνωρ] Inter Τίμαρχον & Διοτέλη interiectum habēt plerique codices Ἵππαρχον. quod & interpres agnoscit.

P.172. V.πρὸς τὸν] Perperam quidam & ridiculè pro κατηνώτλησε reposuit κατηλώτησε. Hæc autem verba quæ paulo pòst adduntur, φέρεται γὰρ καὶ οὕτω, alium puto sensum habere quàm eum qui ab interprete illis datur. Significari enim illis, hoc quoque modo referri Aristotelis responsum, non solùm vt antea retulerit: nimirum initio pag. præcedentis. Est tamen paruum inter vtrunque discrimen. Hîc enim dicit, in stipe eroganda homini improbo non hominis sed humanitatis rationem à se habitam: at verò illic, non mores sed hominem miseratum esse.

V.λος] Legitur etiam in plerisque ἐν τῷ ἠθικῶν τῶν ἑβδόμων. quæ hypallage mira esse videtur. Tolerabilior certè erit lectio superioris editionis, (siquis ab ea quā in contextum recepimus, discedere velit) ἐν τῷ ἠθικῶν ἑβδόμῳ. Nisi fortè sub illa prima lectione, ob multorū codicū consensum, aliquid arcani latere putandū sit.

V.κὸς] γρ. φιλοσοφίας pro φιλίας. Et versu proximè sequenti, ἐρωτικῶν pro ἐρι[σ]τικῶν.

P.173. V. εἰ εἰδῶν] γρ. ἐπιχειρηματικά.

V. ā Θέσεις] γρ. ἐπιχειρηματικαὶ, πέντε καὶ εἴκοσι. Θέσεις ἐρωτικαὶ τέτταρες· φιλικαὶ δύο.

V. δικὸν] Pro εἰσαγωγῆς, legitur etiam συναγωγῆς. Et paulo pòst αἱρέσεις pro διαιρέσεις.

P.174. V. ā Περὶ] Pro ἰατρικὰ legebatur ἠθικὰ in superiori editione.

V. Ἄπακτα] Superior editio habebat προστακτά. Pro ἐξηγημένα autem in plerisque cod. est ἐξηγμένα.

V. μόκριτον] γρ. πρέσβιος Ἑκατ. vt videlicet sit pro πρέσβιστ.

P.175. V. ἐξετάζ.] Scribe potius κρίσιν.

V. ος, καὶ κάλλ.] Post παραπλησίων, legitur in quibusdam, ἐκ τρίτων ἢ, τῶν ἐκτὸς, &c.

P.176. V. τάς τε] Legitur etiam ἀπακολουθεῖν. quod malo. alibi enim de iisdem hoc verbum me legere memini.

V. πολ.] Rectius scribetur συμβιώσειν quàm συμβιῶσαι, quod pro συμβιῶναι habent vet. cod. Paulo pòst in iisdem ἐνέκρινεν pro προσέκρινεν. Et mox, ἀπολογικώτατος παρὰ πάντας ἐγένετο, eodem sensu.

V. τὴν κίν.] γρ. κυκλοφορητικήν.

P.177. V. προν] γρ. Ἀλκίππου.

P.178. V. Παμφ.] Hìc quoque exempl. quædam habent Πάμφιλος pro Παμφίλη, vt & suprà. Sed in plerisque locis huius libri Παμφίλη cum illorum omniũ assensu legitur.

V. χιλ.] Pro δικαστηρίου legitur etiam δεικτηρίου.

V. φέρ.] Interpres habet, In ea epistola scholasticum nominat. Et margini appositum est verbum καταλαζονεύεται, perinde acsi ille pro καταλαζονεύεται vertisset Nominat. Qua in re magna illi fit iniuria. Neque enim hìc legitur aliter in omnibus codicibus nostris, & in superiore etiam editione, quàm ὀνόμακε. At verò καταλαζονεύεται circa medium pag. sequentis habetur, vt docebo mox.

V. νέωτα] γρ. Φαλλίωνος.

Pag.179.V. *βίος*] Hîc demum habetur verbum illud *καζαλαζονδύεται*, de quo modò dixi. Sic autem reddit hunc locum interpres, Nisi quòd multa dulcia gloriæ obtentu vita mentitur. Sed eum legisse quidem itidem *καταλαζονδύεται*, verùm nequaquam intellexisse arbitror. Nam *καταλαζονδύεσθαι* redditur quidem interdum mentiri ( vt videlicet solent *ἀλαζόνες* ) sed hanc significationem habet potius cum alia constructione: at *καταλαζονδύομαι τοῦτο* est Arroganter commemoro, vel iacto, seu prædico.

P.180.V. *ἃ Περὶ*] Quin *χόας* pro *χείας* reponendum fuerit, dubitari non potest, quum à me editus fuerit hic Theophrasti libellus cum aliis qui nec ipsi antea in lucem prodierant.

P.183.V. *τῆς πλά.*] *γρ'* *πράξεως*.

P.184.V. *σωσαν*] *γρ'* *Κράτων* pro *Στράτων*.

P.185.V. *μάρτυρες*] Puto interpretem *Φίδωνος* reddidisse Phidonis, relinquentem subaudiendum nomē Filius: præsertim quum proximè præcederet cum alio genitiuo, vnde repeti posset. Ex quo Phidonis factum postea sit Phidonus, quod apud eum nunc legitur.

P.190.V. *κάτθανε*] Iubemur à quodam pro *δ' ἐγὼ* reponere *λέγω*. Sed cur nostram lectionem mutare nos velit, *θαυμάζω τοῦτο μάλιστα δ' ἐγὼ*, vt illismet ipsis Diogenis verbis vtar. Nec verò pro particula *αὖ*, quæ habetur in tertio versu, reponi debet *ἄν*: quum alioqui futurū eam constructionem quæ potius datur particulæ *εἰ*, sit vt orationis structura perturbetur. Habet autem cum *ἔδραμε* videlicet. Hoc, inquit, *θαυμάζω*, nimirum *εἰ ὁ πρὶν βαδίσας ποσὶν ἀλλοτρίοις, ἔδραμε τὴν οὕτως μακρὰν ὁδὸν ἀΐδαο*, idque *νυκτὶ μιᾷ*.

P.191. V. *ζεῦγος*] *γρ'* *ῥοίσκων* pro *ῥοιάκων*. Et paulo pòst *ἀμφίταπιν*. Legendo autem *ἀμφίταπον*, cum *περίστρωμα* iungendum putaret forsitan aliquis: sed & paulo pòst vides separari, interiectis etiam aliquot verbis.

V. *μὴν*] *γρ'* *ἀμνημονεῦτης*. quod magis receptū est.

V.ἀνεγν.] γρ. τὰ δ' ἀνάγνωστα pro ἀνέκδοτα.

V.καὶ] Legitur etiam ἀφίημι αὐτῇ. quam lectionem alteri præfero.

P.192.V.ἑξήκ.] γρ. τετρακοσίαις.

V.λα] γρ. Λαμίδι.

Pag.195.V.σοῦτον] Pro λόγον legitur etiam δῶρον. Pro lectione illa facit alioqui hic Euripidis locus in Phœnissis,

— πᾶν γὰρ ἐξαιρεῖ λόγος
Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

Atque adeo hic philosophus in dicto isto ad illa Euripidis verba allusisse videri possit.

P.197.V.τὸ Περὶ] Fortasse legendum αὐτῷ pro αὐτό.

V.πασι] Pro διῃρημένος legerim potius διῃρμένος, vt in quibusdam scriptum est. Vtitur autem hoc vocabulo & Hermogenes in ista significatione.

P.198.V.καὶ εἶπε] Antea legebatur, καὶ εἶπε πᾶν καλόν. In nostris codicibus, εἶχε πασκάλως, item πᾶν καλῶς. Quod autem annotat quidam, videlicet πάσκαλος, ferri nullo modo potest. Interpres vertit, Et ita per omnia habebat.

V.καὶ πρὸς] γρ. καὶ πρὸς ταῦτα Ἡρακλείδης γράμματα οὐκ ἐπέστελλεν, οὐδ' ἠξιώθη. Sed nihil opus erat accusatiuo γράμματα, nihilo magis quàm suprà cum ἀντεπέστελλεν.

P.200.V.κεδ.] Superior editio habebat πλείους ἐκ τῆς πόλεως.

P.202.V.πονηροῖς] γρ. μετὰ τῶν νοσούντων. Et paulo pòst πονηρούς pro φθονερούς.

V.μάτιον] Pro μαθημάτων scriptum est etiam μαθητῶν. id est, eorum quæ discibilia sunt, si ita licet appellare ea quæ disci possunt.

P.203.V.περιαιρ.] Pro διδακτὴν malè quidam reponit διδακτικήν.

V.κλῆς] Ab eodem reponitur οὐδ' ἀποαξιέραστος, quod ferri nullo modo potest: quum οὐδ' ἄπο tolerari posse

videatur, mihi tamen valde suspectum. In quodam veteri supererant aliqua alius lectionis vestigia, οὐδέπω videlicet.

P.206.V.πὸς] γρ. Ποσδέλω. item Παρδάλῳ.

P.207.V.αὐτῇ] γρ. Ἀθηνόδωρος. Et pro στρατηγὸς, in quibusdam est στρατιώτας.

V.ἀνδριάντας] γρ. κεχονωμένους.

P.209.V.ἐκπίνειν] γρ. συγκεκαμμένων δακτύλων. Superior autem editio habebat, συγκεκραμένοις τοῖς δακτύλοις, sine his verbis, ἐπὶ τοὺς φίλους.

V.σκοποῦμεν] Vide num reponendum sit ἀνθρώπων. Pro σκοποῦμεν autem scio quædam exemplaria habere κομποῦμεν: sed hæc lectio nullo modo admitti potest, aut ego valde fallor.

P.210.V.πε τῶ] Pro αὐτὸς in quibusdam cod. legitur αὐτὸ, in quodam αὐτῷ. Sed iis magis assentior quæ neutrum habent.

V.κυνηγεσία] Rectius scriberetur κυνηγέσια.

V.ξάνδρον] γρ. μὴ γεγόνειν, ἐθελήσαιμ' ἄν.

Pag. 211. V. αἴες] Pro ἔδραμον legitur etiam ἔτρεχον.

P.215.V.γεγραμμ.] γρ. οἴνῳ κραιπαλῶσα. sed videtur superuacaneus esse hic datiuus. Item pro τὸν κεκτημένον habetur in quibusdam τὸν κύελον: quod ex scholio fortassis irrepserit.

P.217.V.κατὰ τὸ θηρ.] γρ. χωρίον pro θηρίον. sed non dubito quin hæc lectio sequenda sit.

P.218.V.π. ἐρωτ.] Pro κονδύλου legitur etiam κόνδυλον, & inseritur ἢ περικεφαλαίαν, hoc modo, ἐρωτηθεὶς τί θέλοι, κόνδυλον λαβεῖν ἢ περικεφαλαίαν, περικεφαλαίαν ἔφη. Verùm haud video quorsum talem interrogationem illi propositurus quisquam fuerit, nec quid acuminis huic eius responso subesse possit. Vnum est quod quis miretur in altera lectione quæ genitiuum habet, nullam videlicet ei præfigi præpositionē. Sed omissa videri queat ad relinquendam maiorem ambiguitatem. Quinetiam ita fortassis dictum hoc fuerit vt

dici solet οὐκ ἂν δεξαίμην, cū genitiuo: interdum quidem præfixa præpositione ἀντὶ, interdum verò prætermissa. Andocides in oratione quam περὶ τῆς ἑαυτοῦ καθόδου inscripsit, circa principium, οὐδενὸς ἂν χρήματος δεξάμενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι. Alioqui cum præpositione ἀντὶ apud hūc ipsum oratorem legimus, in eadem oratione, ἐδεξάμην δὴ ἀντὶ πάντων χρημάτων, εἶναι ἐν ἀσφαλεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ εἰσήγγειλα.

Pag.220. V. καρποῦ.] Rectius multo scriptum est in aliis ἀπογεύεται, vt sequitur ἐσθίουσι.

Pag.221. V. πρεσπ.] γράφεται φιλοσοφίαν.

Pag.223. V. ξένου] γράφεται θεραπεύων.

V. πον τὸ] in quibusdam inseritur particula ἄρα inter ἐστὶν & ἄτοπον.

V. vlt. Rectius legetur οὐδέν γε.

Pag.224. V. κατὰ φύσιν.] Pro περὶ reponenda potius præpositio παρά.

V. ἥδυτ.] γράφεται μελετηθεῖσα.

V. λοι] γράφεται φίλοι δὲ τοῖς θεοῖς οἱ σοφοί. κοινὰ δὲ, &c.

V. πολιτ.] γράφεται πόνων pro πόλεως. Nostra lectio omnino retinenda est: sed sequentia suspecta sunt.

V. κοινὰς] γράφεται μηδὲ ὀνομάζων.

V. ἀλλὰ] Videtur legendum potius τῇ πιεσθείσῃ.

V. γὰρ] In quibusdam codic. est κρέας: sed itidem legendum esset ἄρτον, non ἄρτου.

P.227. V. ποιητικῶν] γράφεται συγγραμμάτων.

P.228. V. Μόνιμος] Superior editio Græca habebat Μόνιμος τὶς ἦν ἄνθρωπος φιλόσοφος. At in editione Latina quæ meam proximè præcessit, legitur ἄνθρωπος, ὦ φιλόσοφος. quæ lectio stare nullo modo potest.

V. Ἀδοξ.] γράφεται ἀδοξότατος.

P. 229. V. τοῦ παίγνια] Possē hîc lectori gratificari, & ex hoc παιγνίων Cratetis libro afferre elegantissimos versus, quos inueni in quodam Iuliani imperatoris libello, quem scripsit εἰς τοὺς ἀπαιδεύτους κύνας. cuius initium est hoc, Ἄνω ποταμῶν, τοῦτο δὴ τὸ τῆς παροιμίας.

ἀνὴρ κωνικὸς Διογένη φησὶ κενόδοξον. καὶ ψυχρολουτεῖν οὐ βούλεται, σφόδρα ἐρρωμένος τὸ σῶμα &c. Circa eius finem hæc ſcribit, ἵνα δὲ μή τις ὑπολάβῃ με ταῦτα ἄλλως λέγειν, ἐκ τῶν παιγνίων Κράτητος ὀλίγα σοι παραγράψω. Sed eos verſus in fronte huius libri à me accipiet.

V.λαντα] Pro δέκα legitur etiam πέντε: & πόρνῳ pro πόρνῃ.

P.230. V.τῶν ἐπιφ.] Scriptum in quibuſdam, τῶν ἀπόρων.

V.παιδ.] γρ. τοῦτον αὐτὸν πατρ.

P.232. V.βεβρ.] γρ. διὰ τοῦ λέγειν μηδέν.

P.234. V.Τίς] γρ. Τίνι παῖ παρ.

P.238. V.παχύκν.] γρ. καὶ ἀπαγής. verùm vt bene conuenire videtur hoc ἀπαγὴς cum præcedente παχύκνημος, ita malè cum ſequente ἀσθενής.

P.239. V.θενήκουε] γρ. εὔτονος.

V.θεν ὁ] γρ. αὐτὸν pro αὐτοῦ.

V.ρία] γρ. καταγῖναι.

P.240. V. Ἐγὼ] γρ. λόγου.

P.241. V. νω, ἐν] γρ. πρὸς Ἀρισόδημον.

V.δρων] Legitur etiam, Ἱπποκράτης ὁ πλέως ξυμπεπτέων. Sed alteram ſcripturam quæ habet nomina propria, ſequendam omnino eſſe puto.

P.246. V.τὰ κεκομμ.] γρ. κεκονιμένα. quæ ſcriptura magis mihi placet.

Pag.249. V.Ἀτρ.] Puto reponi debere ἀστραπτόν.

V.Ἄρσενα] Malim ἐνηθλήσω, vt in quibuſdam ſcriptũ eſt codicibus.

P.251. V.ρίαν] Poſt γεγράφως reponendum cenſeo στρατιάν, vt in quibuſdam cod. legitur. Suſpicor autem ex præcedenti accuſatiuo, qui eſt itidem ἱστορίαν, mutationem hanc contigiſſe.

V.τωνος] γρ. Μιλτιάδους.

P.252. V.τὰ προσγεγρ.] γρ. προσγεγραμμένα.

P.ος.ταῦτα] γρ. Ἀπολλώνιος.

P.προσσωμ.] γρ. σαρκωδεστέροις.

P.Εὔδημος] γρ. Εὔδρομος.

Pag.253.V.διαλεκτ.] γρ. ταὶ τὸ ὀρεστικὸν pro τὸ ὀρικόν. itidémque paulo pòst, vbi habes etiam διάκρισιν pro ἐπίγνωσιν.

V.τάξιν] Pro ὑπόκρισιν legitur etiam ἀπόκρισιν.

V. vlt.] In ſuperiori editione legebatur κερατίνας. Sed lectionem alterā confirmat locus alius in hac ipſa Zenonis vita: vbi ſcriptum eſt, καὶ ἄποροι δέ τινες εἰσὶ λόγοι ἐγκεκαλυμμένοι καὶ διαλεληθότες καὶ σωρεῖται καὶ κερατίδες καὶ οὔτιδες. Apud hunc ipſum tamen in Diodoro legimus etiam κεράτινον λόγον. vbi κερατίνην quædam exempl.habebant.

255.V.ται γδ] γρ. ταὶ ἐγκαλυπτική. Antea autem legebatur ἐγκλητική.

P.256.V.σιῶν] γρ. ταὶ ἐμφάσεις αἱ ὡς ἂν &c. Poſt γινόμεναι autem poni debuit interpunctionis nota quæ poſt ἔτι poſita eſt.

V.κατὰ] Poſt ἐναντίωσιν addita ſunt hæc in quibuſdā codicibus, τὰ δὲ φυσικῶς, τὰ δὲ κατὰ στέρησιν. Quibus ſubiūgitur, κατὰ περίπτωσιν μὲν οὖν, &c. Sed quum nulla horum modorum, ſicut reliquorum qui præcedunt, exempla poſtea afferantur, viſum fuit verba illá prætermittere.

V.νος] γρ. ταὶ μὲν ὡς Τιτυός.

V.τος. νοεῖται] Pro λεκτὰ inuenitur etiam λεκτικά, nō hîc ſolùm, ſed aliis etiam pleriſque locis. Sed retinenda eſt altera illa lectio, vtpote plurium exemplarium, & aliorum etiam locorum (non huius tantùm ſcriptoris, ſed cæterorum quoque, ac præſertim Sexti philoſophi) autoritate nitens. Quinetiam infrà vbi ſuperior editio habebat λεκτικόν, ex vet. codicum conſenſu repoſitū fuit λεκτόν. nimirum vbi ſcriptum eſt, φασὶ δὲ τὸ λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. Fateor alioqui λεκτικῶς non λεκτῶς in iiſdem legi, vbi amphibolia dicitur eſſe λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως, καὶ κατὰ τὸ αὐτὸ ἔθος. Nam ἐκτικῶς, quod in duobus legitur, pro illo λεκτικῶς, nullo modo placere mihi poteſt.

Pag.257. V.μὲν τὴν] Post ἡμέρη scriptum est in quibusdã, κατὰ δὲ τὴν Λατίνην μάρε. Quæ verba stultè addita fuerunt ab aliquo qui putarit ἡμέρη Ionibus idẽ esse quod Atticis θάλαττα. quum dialectus in eo esse tradatur quòd Iones pro ἡμέρα dicunt ἡμέρη, Attici θάλαττα pro θάλασσα.

P.258. V.πῶς] γράφεται λέξεω.

V.ἐμμ.] γράφεται ἐρυθμος: itidémque ἔρρυθμον, paulo pòst.

P.259. V.ἐννοημ.] γράφεται σύλληψις εἰς ἐννόημα. Seu puto reponendum εἰς ἓν νόημα.

V.νος οὐκ ἔχει] γράφεται εἶναι ἡ οὐσία. post ἔχει.

Pag.262. V.διαλ] γράφεται συναπτικοῦ συνδέσμου.

Pag.264. V.φοραὶ] γράφεται ἐξ ἀληθῶν εἰς ψευδῆ.

V.φῶς ἐστι] γράφεται πρόσλημμα, τὸ, Ἡμέρα.

Pag.265. V.πκ.] γράφεται οὐ μάχεται.

Pag.266. V.ἵνα] Post Στωϊκοὶ legitur in quibusdã τὰ μάλιστα κρατιωόντες διαλεκτικὸν μόνον εἶναι τὸν σοφόν.

V.τητος] Post ἐρωτήσεως scriptum est in nõnullis καὶ τῶν λοιπῶν· ὅπως τε διέταξαν &c. Pro ἔχειν autem reponẽdum videtur ἔχοιμι.

Pag.267. V.ἀ' ἀρχ.] γράφεται ἀσφαλέστερον.

V.ἧσαι] γράφεται ἀπλείπτο.

P.269 V.ειαι] γράφεται οἰκοδομία, quod & interpres sequitur: cui hîc assentior.

V.φησὶν] γράφεται λόγῳ.

V.κὴν καὶ πρακτ.] γράφεται θεωρητικὴν καὶ φυσικήν.

V.τῶν δὲ] γράφεται διάθεσιν ἀνυπέρθετον τῶν &c.

Pag.270. V.κοβουλ.] γράφεται ἀγνοίας, quod malo: quum sequatur ἐπιστῆμαι.

V.ἀγαθ.] γράφεται λογικοῦ, ἢ ὡς λογικοῦ. Legitur etiam λογικὸν, posteriore loco.

V.τῶν ἀγ.] γράφεται εἶναι περὶ ψυχήν, & rectius.

Pag.272. V.ὃ λέγ.] γράφεται τὸ πλείως ἀγαθόν.

V.ἴσον] γράφεται ἰσοδυναμεῖν τὸ καλὸν τῷ ἀγαθῷ. Legitur etiã

cc.i.

ἰσοδυναμοῦν, item ἰσοδύναμον.

V. κάλλος] γρ. ἀδοξία pro δόξα.

Pag. 273. V. καὶ δύν.] γρ. συλλαμβανομένην.

Pag. 275. V. vlt.] γρ. ἀποκλείουσαι.

Pag. 276. V. θοις πρ.] γρ. θόρυβος δὲ, φόβος μετὰ καπτ.

V. συνέστιν] Non dubium est quin κατακηλοῦσα aptius futurum sit: legebatur tamen in nostris codic. κατακλῶσα, vt habes hîc.

Pag. 277. V. φαρμ.] Legitur etiam φαρμακοποσίαν.

V. ποιούσης] γρ. τὸ πλάσμα.

Pag. 278. V. δαι γὰρ] γρ. καθαρμῶν τε καὶ τῶν ἄλλων &c.

V. εἰ δὲ γὰρ] Pro σύντομον legitur etiam εὔτονον: sed lectionem illam comprobat locus pag. 236, in fine.

Pag. 280. V. συνῆ] γρ. πάντα τε εὖ.

V. ἀρε τῶν] γρ. καὶ περιεκτικὸν τῶν ποιητέων. τὰ δὲ &c. Item ὑποθυμητέα & ὑποθυμετέα, eodémque modo aliquanto póst.

V. τὰ μὲν] γρ. αἱρετῶς ποιεῖ.

Pag. 281. V. Περὶ] Inuenitur etiam θεόπεμπτον.

Pag. 283. V. μαθ.] γρ. μαθηματικῶν.

V. φθείρ.] In quibusdam scriptum est ἀσώματα.

Pag. 284 V. σαι] γρ. ἰδίως ποιόν.

Pag. 285. V. τὸ κεν.] In quibusdam, τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων, οὐ κατεχόμενον.

V. νιος] Scriptum est in nonnullis, ἀσωμάτοις ὅμοια.

Pag. 287. V. primo] Pro νοερὸν legitur & νοτερόν.

V. γράφει] In aliis ὑπερχομένην, vel ἀπερχομένην.

V. λήνην] γρ. καὶ τὰς πανσελήνους ἐκλείπειν μόνας.

Pag. 288. V. Ἀπολλ.] γρ. καὶ παθητὴ δὲ ἐστιν. éstque reponenda hæc lectio. Ibidem ὁ αὐτός.

Pag. 290. V. μα κατ.] γρ. ἐρρωγὸς ἀπὸ νέφους, & ὑπὸ νέφους.

V. χασμ.] γρ. κυματίας.

V. γονται] γρ. οὐ συνδύουσιν.

V. λους] γρ. περὶ τὸ κέντρον. ὁ δὲ ζωδ.

Pag.292. V.ῥὴν] παρ' περὶ τὰ μετ.

V.πεποιημ.]In superiori editione non habebantur hæc verba, καὶ ὄχλῳ πεποιημένος. In quibusdam autem codic. pro πεποιημένος legitur πεπεισμένος. Sed hoc participium locum habere hîc nullum potest, meo quidem iudicio: at illud ita fuerit vsurpatum vt interdum Latini participio Factus vtuntur, quum aliquis ad rem aliquam Factus esse dicitur. Nec malè videtur interpres sensum assequutus esse: quippe qui reddiderit, Plebique se maximè accommodabat.

V.κισ.] παρ' ἐνεργείας.

Pag.293. V. primo] παρ' καθ' ἡμέραν pro καθήμενον.

Pag.296. V.τὸν] Interpres legit πλουσίων pro πλησίον. vertit enim, Suam verò inopiam diuitum opibus praferens.

Pag.298. V.ἀνασχ.] Verba hæc, ταῦτα Ζήνωνι interpres quoque iunxit sequentibus: possunt tamen & pracedentibus iungi.

Pag.299. V.τοῖς πλ.] παρ' τοῖς παισοῖς. Statim pòst, rectius αὐτῆς.

P.301. V.μαϊκῶν] παρ' ἐν στάσει. Et pro ᾠδείῳ legitur etiam οἰκιδίῳ.

Pag. 307. V. φαύλου] παρ' διαμίσων τοῦ φαύλου, περὶ Μητρ.

V. Περὶ τῶν] In priori loco ἐτυμολογιῶν, in quibusdam

V.σωύταξις] παρ' Τίμωνα pro Τιμώνακτα.

V.ἀγνοίας] Hîc quoque in quibusdam cod. vet. est ἀνοίας, atque ita & in superiori editione legebatur. Sed & suprà tale mendum animaduersum fuit. Item pro αὐτοδιαλεγομένων vet. quidam habent αὐτολεγομένων, & quidem rectius.

P.308. V.νῦν] Post λεγομένων additur in quibusdam vet. ὑπὸ τῆς, deinde cætera deesse annotantur.

Pag.309. V.ἀρχου] παρ' Σάμιος post Ἕρμιππος. vt vi-

delicet hæc verba, ὥς φησιν Ἕρμιππος, iungantur ſequētibus perinde ac ſi ſcriptum eſſet, Σάμιος ὥς φησιν Ἕρμιππος, ἢ Τυῤῥηνὸς, ὥς φησιν Ἀριστόξενος.

V. θῶν] γρ. Μαμμάκου. Itidémque Μαίμακον, paulò pòſt.

Pag. 311. V. Ἴων] γρ. τοῖς τραγικοῖς.

V. παιδὸς] Pro Σωκράτης lego cum multis cod. Σωσικράτης. quam ſcripturam & alii loci confirmant.

V. φιλοσ.] γρ. τυραννίου, λέξαι τὶ φιλόσοφον, εἰπεῖν, τὸν βίον &c.

Pag. 312 V. πῶς] Superior editio habebat, οὐκ ἐλέγχεσθαι ὑπὸ ἑαυτῶν. ſed interpres quoque alteram lectionem ſequitur.

V. νῦν] Poſt σιτίων habent quidam, μήτε τῶν ὕπνων.

Pag. 313. V. Ἥνικα] Superior editio habuit ἤνυκε. quæ fortaſſe lectio fuerit aptior vbi quidē clauditur duobus hiſce verſibus iſtud epigr. ſicut & apud Athen. at in Anthol. quatuor adiiciuntur.

Pag. 314. V. θαιρεῖν] Pro συνεπιτιθέναι quidam legerunt συναποτιθέναι. quam tamen lectionem in noſtris codic. non reperimus: at interpres eam agnouiſſe putatur, quoniam reddit, Onus vnà tollendum, neque vnà deponēdum. Ex Hieronymo quoque illa confirmari poſſe exiſtimatur, quippe qui interpretetur, Tollenti onus eſſe auxiliandum, at non adiuuandū eſſe qui deponat. Sed nullo modo συγκαθαιρεῖν ſignificare poteſt Vnà tollere ſeu ſuſtollere: imò potius cō ueniret cum συναποτιθέναι. Quare crediderim Hieronymum & hunc interpretem, alióſque qui ita reddiderunt hoc ſymbolum, legiſſe itidem συνεπιτιθέναι: ſed negatiuam particulam apud eos aliam ſedem habuiſſe: hoc modo, φορτίον μὴ συγκαθαιρεῖν, συνεπιτιθέναι δέ. Vide meas Animaduerſiones in Eraſmicas quorundā adagiorum expoſitiones, calci illius operis adiunctas. vbi & locus Plutarchi habetur, ſcribentis, μηδενὸς ἀφαιρεῖν βάρος, συνεπιτιθέναι δὲ καὶ συνεπιφορτίζειν.

*Vlterius pergere non vacauit.*

# GVLIELMI CANTERI

## Vltraiectensis animaduersiones in quosdam locos fragmentorum quæ è Pythagoreorum scriptis supersunt.

P.437. V. γίνεται τῶ] ἄδεκτα δέ. Locum mutilum sic restituimus, quum prius legeretur, ἄδεκτα δὲ, ὄψιος ἔργον, &c:

V. εὐδαιμονία] Sic hunc locum correximus, qui prius corruptè legebatur, τῶ λόγον ἔχοντι κτώμενος ἔργον, τῶ δ' ὡς τέκνα.

P.438. V. primo, ἐπιστάτας ἀγαθὼς λαβεῖν. Addenda videntur, βιοῦντος δέ κεν εἴη ὁ καλοκἀγαθὸς ἄνθρωπος.

V. τος δὲ καὶ εἴη. Fortasse rectius κεν εἴη.

V. ταν. ἁ γὰρ. Deest ἑκάστω. ἁ γὰρ ἑκάστω ἀρετά.

V. τος, οὔτε τᾷ φύσει εὐδαίμων. Deest οὔτε τᾷ φύσει ἀγαθὸς, quod paulo antè vacat.

P.440. V. στς, καὶ] ἁ καθ' ἕκαστον. Corruptè prius αἱ καθ' ἕκαστον.

V. ρωκε. τοῦτο δέ. Coniunctionem δὲ pro βοᾷ posuimus.

P.441. V. ἐστι γὰρ] ἁ δ' εὐδαιμονία. Legendum ἀνεμία.

P.443. V. αντ.] προσθέσιας. non προσθέσιος.

V. τας τᾶς] ακρότας καὶ τελειότας. Post ὀφθαλμῶν addo φύσιος.

V. σώματος] τῶ μὲν γὰρ. Sic legere malo quàm τὸ μὲν, τὸ δέ.

P.444. V. προσ τὸν γε] πενθῶμεν. Huius loco placeret mihi verbum ποθευθῶμεν.

P 445. V. ξαν τὶ] ἐπιπρτημένα. Lego κακὰ pro κατά.

V. βιαια δῦσι. Annon rectius εἶεν?

V. μὲ ἐνθυμηθέντες] νομίζοντες εἰ τά. Fortassis δὲ particula addenda, νομίζοντες δὲ εἰ τά.

P.446. V. πεχόμενοι] καὶ μεταποιούμενοι. An fortè καταρκούμενοι legendum.

V. antepen. μετὰ τὸν τᾶς ζωᾶς χρόνον. Deesse videntur

hæc, οὐκ ἀναλογίζονται. ἐπεὶ οὖν τοῦτο οὐκ ἔξεστι, &c.

P. 447. V. θῶν] οὐ δι' ἀγαθῶν ἢ μετεῖχιν. Corruptus locus. Fortè ἀμέλειαν, vel ἀμετεῖαν.

P. 448. V. μὰν διὰ] προαιρετικὰ. ποιητικὰ ſubſtituo.

V. καὶ δόξας] ἦμεν. Non πμέν.

P. 449. V. γαθῶν] ἀεὶ παρῆμεν. Rectius fortè, δεῖ παρῆμεν.

P. 450. V. ὅτι ὁ] ὅτι ὁ ἀγαθός. Lege ὅθεν ὁ ἀγαθός.

V. penult. ἀεὶ ῥέοντι. Lege ἀγχέοντι, vel ἀείροντι.

Pag. 453. V. καὶ ὁμόνοια] Aliàs ὁμολογία.

V. λόγον] λογικῶ μέρεος. Geſnerus λογιστικῶ quoque legit.

V. τέχνα] ἐξεῖν. Aliàs ἐξείη.

V. eodem] μαχανάσιος γάρ ποθεν εὑρίσκει. Legere malim, μαχανάσιας γὰρ εὑρίσκει ποτὶ τὸ ἄδικον.

V. κα περάσονται] περάσον). Geſnerus etiã περάσοντι.

P. 454. V. καὶ σωφροσύνα] δικαιοσύνη. Geſneri codex alius, δικαιότας.

P. 455. V. λόγω] μέρεος τᾶς ψυχᾶς. Lacunam hîc ſuppleuimus, τὸ δὲ στέργειν καὶ ἀγαπᾶν ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ ἀλόγῳ καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς.

P. 456. V. στικόν] τὸ μὲν θυμοειδές. Manifeſtè hîc deſunt quædam, ſic ſupplenda, τὸ δὲ ἄλογον, τὸ μὲν θυμοειδὲς, &c.

P. 457. V. κὸν μέρος] ὀνυμαίνονται. Corruptiſſimè prius legebatur, οὐ μαίνονται.

V. ſeq. ἠθικόν τι. Legere malo ἱπικόν τι.

V. κέες] ἀναρρίπτεσθαι τίσιν εἰ), ἀδικεῖν πέφυκεν. Geſnerus aliter habet, ἀναιρεῖν, δι' ἃς ἀδικεῖν πέφυκεν.

V. τούτοις] παρασκευάζοντα. Geſnerus legit quoq; ἐμπαρασκευάζοντα.

V. φόβον] μὲν δὴ τῶν νόμων. Geſnerus aliter legit, διὰ τὸν νόμον, διὰ τὸν θεὸν, διὰ τὸν λόγον.

V. vlt. ἄμ' ὀρθοπλοεῖ. Melius αἴκ' ὀρθοπλοῇ.

P. 459. V. φημίζεται] Geſneri codex alius, φατίζεται.

V. νεινγλύνται] ὄκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἡδέα. Etiam hîc ſubeſt lacuna, quam ſic reſtituimus, ὄκα δὲ ἐν τῷ ὑ-

φίσταθαι τὰ δεινά, ἀνδρεία· ὄκα δ' ἐν τῷ κατέχεν τὰ ἡδέα, σωφροσύνα, &c.

V. μεσότατας] οὕτω γὰρ καὶ μεσότατις αἱ. Videtur hîc aliquid deesse, οὕτω μὲν γὰρ καὶ τὰ δέοντα καὶ αἱ μεσότατις, &c.

V. seq. ἐντὸς, non ἐκτός.

P. 460. V. λοῖς] δυνατόν. Sic malo quàm δύναται.

P. 461. V. τὸ ὄμμα] πλαίον αὐτό γε τοῦτο. Gesnerus πλάνον, ociosum. Ego corruptum existimo, & sic lego, πλὰν οὐκ αὐτό γε τοῦτο.

V. αὐτα] τῷ καὶ ταῖ. Prius legebatur, τὶν κατὰ ταί.

V. δέον] ὅπως. Aliàs, ὅπερ.

V. antepen. εἰς ἄλληλα. Aliàs πρὸς ἄλληλα.

P. 462. V. ταὶ διάθεσιν] ἁ μὲν οὖν. Aliàs, ἁ μὲν γάρ.

V. σὺν αὐτοῖς] συνίσταται. Gesnerus aliàs, συναύξεται τούτοις.

V. penult.] τὸ λέγον ἔχον τῶ δέοντος. Videtur deesse, διὰ, vel μετὰ, hoc modo, τὸ λόγον ἔχον μετὰ τοῦ δέοντος.

P. 463. V. δαιμονίαν] καρύασεια. Mendosè καρύασεια. Nisi quis χαρίεσσα malit.

V. τις παρεόντας] παρεόντος. Sic legere malo quàm παρεόντας.

V. seq. τολμώντων. Non τολμῶντι.

V. γεσοι] ὁ λόγος. Mendose, ἀλόγως, Gesnero emendante.

V. seq. ὀρίσδων. Deprauatè ὀριάδων.

V. vlt. ἀδιαφόροις. Malè διαφόροις.

P. 464. V. penult. μήτε. Non μηδέ.

P. 466. V. μογᾶς] συντίθησιν. Aliàs, συντάσσεται.

V. eodem. ἐπῳδαῖς. Fortè ἀμαθίας, nisi aliud subsit mysterium.

V. καὶ ἡδονὰς] ἀτυχήματα. Gesnerus etiam ἀτυχίας.

V. φραίνεται] φραίνεται δή. Aliàs δέ.

## Loci aliquot emendandi.

P.150.V.Ω̃ παρθ.repone εἴσῃ μοι χάειν; P.154. V.πύμβον.Sequenda potius exempl.in quibus non habetur particula μὴ,& Ἀείδηλον ſcribendum litera maiuſcula. P.194.V.διος,rectius Καλαντιανὸς,vel Καλλαντιανὸς, vt in quibuſdam. P.236.V. Ὅθι.ſcribe μεγάροισι. P.256.V.σιῶν.Ita interpūge,γινόμεναι.ἔτι τ̃ φαιτ. Verſu cuius initium προνοεῖν,ſcribe προλίπωσιν. P.271. V.ἄφρ.lege,ἀλυπίαν καὶ πᾶσαν. P.298. V.Ϛαθ.repone συſκαταπιθεῖσθαι. Pag.377.V.πω, οὐ.repone,ἐν ᾧ ὃ οὐκ. P.393.V.τῶν βιβλ.rectius χάψαι.potéſtque φιλονεικεῖ & cum hoc χάψαι iungi.

In annot.P.6.V.των.ſcribe,Stare non poteſt, ob liquidam mutæ iūctam:quòd præcedat liquida. Hæc autem lectio &c.

In Lat.autem interpretatione, P.72.V.De virt. ſcribe fugitiui. P.135.V.rus, ſcribe Pitanæus. P. 222.V. Vna.ſcribe filia. Pag.273. V.quæſt. ſcribe x x x i x. P.234.V.ſign.Credibile eſt ab interprete ſcriptum fuiſſe deſinenti. P.249.V.ciatus.repone cedere. Pag.265. V.muit. Videtur ſcripſiſſe, Interdicentibus. P.280. V.nanti.ſcribe, Erant autem hi, vel potius, Erat autem hic. P.350.V.bror.Non dubium eſt quin ſcripſerit Tantundem. P.381, in fine,Non enim conuiuia.

15